τῆς Παλαιστίνης, ἐλπίζων ἐκεῖ εἶς τέλος διαλαθεῖν καὶ παραγενόμενος ἐν τῷ Μοναστηρίῳ τῷ πλησίον του σπηλαίου ἔνθα ὁ δεσπότης Χριστὸς ἐκ τῆς Παρθένου ἐτέχθη, ἐδέχθη ἔτυχον δὲ τότε ἐγὼ ἐκεῖ διατρίβων. Ἀλλ' οὐδὲ ἐν ἐκείνῳ ἐπὶ πολὺν χρόνον ἠδυνήθη λαθεῖν, κατὰ τὴν δεσποτικὴν φωνὴν τὴν λέγουσαν" «οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη».

Ἐλθόντες γὰρ οἱ ἀδελφοὶ ἀπὸ τῶν μερῶν τῆς Αἰγύπτου εἰς προσκύνησιν τῶν ἁγίων τόπων καὶ ἐπιγνόντες αὐτόν, πολλαῖς δεήσεσι καὶ ἱκεσίαις καὶ ὀδυρμοὺς πείσαντες, ἀπήγαγον πάλιν εἰς τὸ ἴδιον κοινόβιον. Τούτω δὲ τῷ ἁγίῳ ἀνδρὶ κάγω συνοικήσας ὀλίγον χρόνον ἐν Αἰγύπτῳ, ἅπερ ἀκῆκοα αὐτοῦ νουθετοῦντος ἕνα ἀδελφόν, ον παρουσία ἔμη ἐδέξατο, διηγήσομαι, ὡς ἂν ἐκ τούτων καταμάθητε τὸν ἄνδρα, οἵας παρὰ Θεοῦ ἠξιωται γνώσεως καὶ ἀσκητικῆς πάσης πολιτείας ἰδέαν εἰς ἄκρον ἐκ πείρας ἤπιστατο. Καὶ λοιπὸν καὶ συγγραφεὺς ἐκτίθησι τὴν τοῦ ἁγίου παραίνεσιν, ἣν ὁ βουλόμενος γνώναι, ἐν τῷ βιβλίο ἐκείνω ζητήσας εὑρήσει καὶ ἀναγνούς, ἐκπλαγήσεται.

Ερμηνεία

ΕΖΗ κάποτε ένας νέος, σπουδαίος κατά κόσμον, πλούσιος και υιός ενδόξων γονέων επί πλέον δε και αρκετά μελετημένος.

Αυτός, λοιπόν, εγκατέλειψε τον πατέρα του και όλην την κοσμικήν δόξαν και αφοσιώθη εις τον μοναχικόν βίον. Διά να δοκιμασθή δε η πίστις του και η ταπεινοφροσύνη του, τον προστάζει, μίαν ημέραν, ο Αββάς να σηκώση εις τον ώμον του δέκα ζεμπίλια και να υπάγη να τα πωλήση εις την πόλιν από την οποίαν κατήγετο. Και όχι όλα μαζί, αλλά ένα - ένα ξεχωριστά. Πράγματι εκείνος, με όλην την υπομονήν και την ταπείνωσιν, εξετέλεσε την εντολήν επήρε, δηλαδή, εις τους ώμους του τα ζεμπίλια, τα επώλησεν ένα - ένα, χωρίς να λογαριάση καθόλου τον ταπεινωτικών χαρακτήρα του πράγματος, την λαμπράν καταγωγής του και την προσβολήν, που θα του εγίνετο από την πώλησιν. Διότι έφρόντιζε συνεχώς να αποδείξη τον εαυτόν του μιμητής της ταπεινώσεως του Χριστού.

2. Και κάποιον άλλον Πατέρα εγνωρίσαμεν, τον Αββάς Πινούφριον, άνθρωπον στολισμένον με όλας τας αρετάς, που ήτο ιερεύς και Αββάς Μεγάλου Κοινοβίου εις την Αίγυπτον, κοντά εις την πόλιν Πανεφώ.

Αυτός λοιπόν επειδή έβλεπε να τον δοξάζουν και να τον τιμούν όλοι και δια την ενάρετον ζωήν του, και διά την μεγάλης ηλικίας του και διά το αξίωμα του Ηγουμένου που είχε και επειδή δεν ήμπορούσε να ασκήται εις τα έργα της ταπεινοφροσύνης, εις τα οποία εξ αρχής επεδόθη δια της αγαπητής του υποταγής, έφυγε κρυφά από το

Κοινόβιόν του. Ανεχώρησε μονάχος του εις απομακρυσμένα μέρη της Θηβαΐδος και αφού έβγαλε το σχήμα του Μοναχού και εφόρεσε κοσμικά ενδύματα, εν συνεχεία μετέβη εις το Κοινόβιον των Ταβεννησιωτών. Ένόμιζες ότι έτσι θα διέφευγε την προσοχήν ποίος ήτο, και λόγω του πλήθους των Μοναχών του Κοινοβίου για: Σύτι το Κοινόβιον αυτό των Ταβεννησιωτων ευρίσκετο πολύ μακράν από τον τόπον του ίδικού του Κοινοβίου.

Αφού επί πολλές ημέρας παρεκάλει να γίνη δεκτός, επί τέλους τον εδέχθη ο 'Αββάς, κατόπιν της υπομονής και της καρτερίας του. Επειδή δε ήτο γέρων και εις τίποτε άλλο δεν μπορούσε να χρησιμεύση, τού αναθέτει την φροντίδα και καλλιέργειας του κήπου, μαζί με κάποιον άλλον Μοναχόν, εις τον οποίον έγινε υποτακτικός και έτσι εφήρμοζε την αγαπημένης του ταπείνωσιν και υπακοήν. Δεν ήρκείτο δε εις αυτό μονάχα το διακόνημα, αλλά και όσα άλλα έργα εφαίνοντο δύσκολα εις τους άλλους, αυτός τα εξετέλει με προθυμίαν.

Έτσι επέρασαν τρία χρόνια, χωρίς να γίνη αντιληπτός από κανένα. Εν τω μεταξύ οι μαθηταί του τον αναζητούσαν εις όλην την Αίγυπτον και μόλις, μετά την τριετίαν, ανεγνωρίσθη από κάποιον αδελφόν, που είχεν έλθει εκεί. Οταν τον είδεν ο αδελφός εκείνος, τον ανεγνώρισεν από τα χαρακτηριστικά του προσώπου του και επειδή ακόμη αμφέβαλλε, προσεπάθει να ακούση και την φωνήν του. Διότι δεν ήτο βέβαιος μονάχα από την όψιν του προσώπου, επειδή έβλεπεν ένα τέτοιον άνδρα να έχη γηράσει, να κρατη δίκελλαν, να καλλιεργή την γην, να σηκώνη την κόπρον εις τους ώμους του και να την βάζη εις τας ρίζας των λαχάνων.

Οταν λοιπόν, μετά προσεκτικήν παρακολούθησιν της φωνής ήμπόρεσε να καταλάβη ποίος ήτο, αμέσως έπεσεν εις τα πόδια του, προς μεγίστην έκπληξιν των παρόντων· διότι τοιαύτας εκδηλώσεις έκαμνεν εις άνθρωπον, ο οποίος δι' αυτούς ήτο ακόμη αρχάριος, ο οποίος προ ολίγου καιρού εγκατέλειψε τον κόσμον, και εθεωρείτο τελευταίος. Ακόμη όμως περισσότερον εξεπλάγησαν, όταν έμαθον και το όνομα αυτού, το οποίον προηγουμένως ηκούετο από αυτούς με μεγάλον θαυμασμόν. Και έζητούσαν συγγνώμην, διότι, χωρίς να τον γνωρίσουν, τον κατέταξαν με τους τελευταίους. Αφού δε τον παρεκάλεσαν πάρα πολύ, τον έστειλαν εις το Κοινόβιόν του, χωρίς να θέλει και ενώ οδύρετο, διότι δεν τον άφησαν να κατορθώση την αγαπημένης του ταπείνωσιν και υπακοήν.

Αφού έμεινεν ολίγον χρόνον εις το Μοναστήρι του, εκυριεύθη και πάλιν από τον πόθον της ταπεινώσεως και της υποταγής. Δι' αυτό αφού εκοίταξε να εύρη την

κατάλληλον ευκαιρίαν έφυγε νύκτα, όχι πλέον εις την Θηβαΐδα, αλλά είς ξένην και άγνωστον χώραν. 'Αφού, δηλαδή, επεβιβάσθη εις πλοίον, ήλθεν εις την Παλαιστίνην, ελπίζων ότι εκεί θα παραμείνη, μέχρι τέλους, άγνωστος. Κατήντησε δε εις το Μοναστήρι, που είναι κοντά εις το Σπήλαιον, όπου ο Δεσπότης Χριστός ετέχθη εκ της Παρθένου και έγινε δεκτός από τον Ηγούμενον. Την εποχής εκείνην ήμουν και εγώ εκεί. Αλλ' ούτε και εκεί ήμπόρεσε να παραμείνη άγνωστος επί πολύν χρόνον, σύμφωνα με την φωνήν τού Δεσπότου μας Χριστού: «δεν ημπορεί μία πόλις, κτισμένη επάνω εις ένα βουνόν, να κρυφθη» (Ματθ. ε΄, 14).

Ηλθον, δηλαδή, οι αδελφοί από τα μέρη της Αιγύπτου, διά να προσκυνήσουν τους Αγίους Τόπους και αναγνωρίσαντες αυτόν, τον έπεισαν με πολλές παρακλήσεις και ικεσίας και θρήνους και τον οδήγησαν πίσω είς το Κοινόβιόν του.

Με αυτόν τον Αγιον άνθρωπον συγκατώκησα και εγώ δι' ολίγον χρόνον εις την Αίγυπτον: εκείνα δε που ήκουσα, όταν ένουθετούσεν ένα αδελφόν, τον οποίον ενώπιόν μου εδέχθη ως δόκιμον εις το Κοινόβιον, θα τα διηγηθώ, διά να μπορέσετε να γνωρίσετε καλώς τον άνδρα, ποίας γνώσεως ήξιώθη από τον Θεόν και πώς είς το έπακρον έγνώριζεν εκ πείρας το ιδεώδες της άσκητικής πολιτείας.

Εν συνεχεία ο συγγραφεύς εκθέτει την παραίνεσιν του Αγίου, την οποίαν αυτός που επιθυμεί να την μάθη, θα την εύρη είς εκείνο το βιβλίον και πράγματι θα εκπλαγή όταν την αναγνώστη.

Ζ'. Του Αββά Ισαάκ

ΣΜΙΚΡΥΝΟΝ σεαυτὸν ἐν πάσι πρὸς πάντας ἀνθρώπους, καὶ ὑψωθήση ἐπάνω των ἀρχόντων τοῦ αἰῶνος τούτου ἐξευτέλισον σεαυτόν, καὶ ὄψει τὴν δόξαν τοῦ Θεοῦ ἐν σεαυτῷ' ὅπου γὰρ βλαστάνει ἡ ταπείνωσις, ἐκεῖ ἢ τοῦ Θεοῦ βρύει δόξα. Ἐὰν φανερῶς ἐξουδενωθῆναι ἀγωνίση, ὑπὸ πάντων ἀνθρώπων ποιεῖ σὲ δοξασθῆναι ὁ Θεὸς ἐὰν δὲ ἐν τῇ καρδίᾳ σου ἔχῃς τὴν ταπείνωσιν, ἐν τῇ καρδίᾳ σου δείκνυσι σοὶ ὁ Θεὸς τὴν δόξαν αὐτοῦ. Γενου εὐκαταφρόνητος ἓν τὴ δικαιοσύνη σου σπούδασον τοῦ καταφρονηθῆναι, καὶ τῆς τιμῆς τοῦ Θεοῦ ἐμπλησθήση. Μίσησον τὴν τιμήν, ἵνα τιμηθῆς καὶ τρέχων ὄπισθέν της τιμῆς, φεύγει ἔμπροσθεν αὐτοῦ καὶ καὶ φεύγων αὐτήν, καταδιώκει αὐτὸν καὶ κῆρυξ γίνεται πάσιν ἀνθρώπους τῆς ταπεινώσεως αὐτοῦ. Εἰ καταφρονεῖς ἑαυτοῦ, ἕνα τιμηθῆς, ὁ Θεὸς δημοσιεύσει σὲ εἰ δὲ διὰ τὸν Θεὸν ἐπ' ἀληθείας σεαυτὸν εὐτελίζεις, ἐπιτρέπει ὁ Θεὸς πάσι τοῖς κτίσμασιν αὐτοῦ ἐπαινέσαι σε" καὶ ἀνοίξουσιν ἔμπροσθέν σου τὴν θύραν τῆς δόξης τοῦ πλαστουργοῦ σου, καὶ ἐπαινέσουσι σὲ διότι σὺ ἐν ἀληθεῖᾳ,

κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ ὑπάρχεις. "Ἄνθρωπον ταῖς μὲν ἀρεταῖς διαλάμποντα, τοῖς δὲ ἀνθρώποις εὐτελῆ φαινόμενον, καὶ φωτεινὸς μὲν τῷ βίῳ, σοφὸν δὲ τὴ γνώσει, καὶ ταπεινόν το φρονήματι, τὶς τεθέαται;

Ερμηνεία

ΜΙΚΡΥΝΕ τον εαυτόν σου εις όλα ενώπιον όλων των ανθρώπων και θα υψωθής επάνω από τους άρχοντας του αιώνος τούτου ταπείνωσε τον εαυτόν του και θα ίδης την δόξαν του Θεού εντός σου. Διότι όπου βλαστάνει η ταπείνωσις, εκεί αναβλύζει και η δόξα του Θεού.

Έαν αγωνίζεσαι φανερα να ταπεινωθής, ο Θεός σε κάμνει να δοξασθής από όλους τους ανθρώπους: αν έχης την ταπείνωσιν εις την καρδίαν σου, εις την καρδίαν σου φανερώνει ο Θεός την δόξαν Του. Όταν εργάζεσαι διά την αρετήν, να φροντίζης να σε καταφρονούν οι άνθρωποι και τότε θα τιμηθής υπό του Θεού.

Μίσησε την τιμήν, διά να τιμηθής εκείνος που τρέχει οπίσω από την τιμήν, φεύγει η τιμή από εμπρός του. Και εκείνος που αποφεύγει την τιμήν, τον καταδιώκει η τιμή και γίνεται κήρυξ της ταπεινώσεώς του είς όλους τους ανθρώπους. Αν καταφρονης υποκριτικά τον εαυτόν σου, διά να ταπεινωθής, θα σε φανερώση ο Θεός· αν όμως πραγματικά εξευτελίζης τον εαυτόν σου, τότε ο Θεός επιτρέπει εις όλα τα κτίσματά Του να σε επαινέσουν και τότε θα ανοίξουν έμπρός σου την θύραν της δόξης του Πλαστουργού σου, και θα σε επαινούν. Διότι συ υπάρχεις πραγματικά, κατ' εικόνα και ομοίωσιν του Θεού.

Ανθρωπον, που να διαλάμπη από τας αρετάς του, και να φαίνεται ασήμαντος εις τους ανθρώπους, και φωτεινόν μεν εις την ζωήν του, σοφόν δε κατά τας γνώσεις και ταπεινόν κατά το φρόνημα, ποίος είδεν έως τώρα;

Η'. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ἤρωτησε τινὰ γέροντα λέγων" πῶς τὶς μωρὸς γίνεται διὰ τὸν Κύριον καὶ ἀπεκρίθη ὁ γέρων παιδίον ἦν ἐν Κοινοβίῳ τινὶ καὶ παρεδόθη γέρονται ἀσκητή, ἵνα ἀγάγη αὐτὸ καλῶς καὶ διδάξῃ τὸν λόγον τοῦ Θεοῦ. Ἔλεγεν οὖν τὸ παιδίω ὁ γέρων τέκνον, ὅταν βρίση σὲ τὶς, εὐλόγησον αὐτὸν καὶ ὅταν καθίσης εἰς τὴν τράπεζαν, φᾶγε τὰ σαπρὰ καὶ ἄφες τὰ καλὰ καὶ ὅταν πρόκειται ἱμάτιον ἐκλέξασθαι, ἄφες τὸ καλὸν καὶ λάβε τὸ σαπρόν. Λέγει αὐτὸ τὸ παιδίον τὰχ ἄ, Ἀββᾶ, μωρὸς εἴμι ὅτι λέγεις μοὶ ταῦτα

ποιεῖν; "Ἔφη ὁ γέρων τέκνον, διὰ τοῦτο λέγω σοῖ ποιεῖν ταῦτα ἕνα γένη μωρὸς διὰ τὸν Κύριον, καὶ σοφίσει σὲ ὁ Κύριος. Ἰδού, ἔδειξεν ὁ γέρων τί ποιῶν τὶς μωρὸς γίγεται διὰ τὸν Κύριον.

2. Ἔλεγεν ὁ 'Ἀββᾶς Δανιὴλ περὶ τοῦ Ἀββᾶ Δουλά, ὅτι τὰ πρῶτα ἐν Κοιγοβίῳ ἐκάθητο ἐπὶ ἔτη τεσσαράκοντα εἶτα ἐν τῇ Σκήτει ἡσύχασε, καὶ ἐν τοῖς μεγάλους των Πατέρων: ἐλογίσθη. Οὗτος οὖν φησιν ἔλεγεν, ὅτι διαφόρως δοκιμάσας, εὗρον ὅτι οἱ ἐν τοῖς Κοινοβίοις ὑπὲρ τοὺς ἡσυχαστας πλεῖον μᾶλλον καὶ τὰ χύτερον προκόπτουσιν εἰς ἐργασίας ἀρετῶν, ἔα καὶ τὴν ὑποταγὴν ἐξ ἀληθινῆς καρδίας μετέρχωνται.

Ἀδελφὸς γὰρ τὶς ἦν ἐν Κοινοβίῳ, τῷ μὲν σχήματι εὐτελὴς τὲ καὶ ἐξουδενωμένος ὑπὲρ πάντας τους ἐν αὐτῷ, τὴ δὲ διανοία μέγας καὶ ἔντιμος. Οὗτος ὑπὸ πάντων ὑβριζόμενος τὲ καὶ χλευαζόμενος, πολλάκις δὲ καὶ τυπτόμενος ἀδίκως, ἔφερε γενναίως, μηδενὶ μηδὲν ἐγκαλῶν. "Ἕτερος δὲ τὶς τῶν ἐκεῖ ἀδελφῶν, ὑπὸ τοῦ διαβόλου ἐνεργηθεῖς, τὰ ἐν τῷ ναῷ ἱερὰ σκεύη ἐσύλησε, πάντας διαλαθῶν. Εἶτα ἐξετάσεως γενομένης περὶ τῶν συληθέντων, πάντες των ἀδελφῶ ἐκείνω τῷ ἑαυτὸν εὐτελίζοντι προσήπτον τὸ ἔγκλημα καὶ τοῦτον ἐνεργῆσαι τὴν ἱεροσυλίαν ἐξ ὑπονοίας κατέκρινον.

Ὡς δὲ ἐκεῖνος ἀγνοεῖν ὅλως περὶ τοῦ πράγματος ἔλεγε, προτροπὴ τοῦ προεστῶτος τὸ σχῆμα ἐξ αὐτοῦ ἀφελόμενοι, σίδηρα περιτιθέντες, παραδιδούσιν αὐτὸν εἰς ἐξέτασιν τῷ οἴκονομό της Λαύρας ὃς καὶ βουνεύρους μαστίξας αὐτὸν ἱκανῶς, καὶ ἄλλαις τιμωρίαις ἐκδούς, ὡς οὐδὲν ἔσχεν ὁμολογοῦντα, ἀλλ' ἐπίσης τὴν ἄγνοιαν τοῦ γενομένου σαφῶς προβαλλόμενον, τὸ ἀρχοντι τῆς χώρας τοῦτον παρέπεμψεν ἵνα πλειόνως ὑπ' αὐτοῦ κολασθῆ.

Ὁ δὲ παντοίας βασάνους εἰς αὐτὸν ἔνδειξαμενος, καὶ πυρὶ τὰς σάρκας καταφλέξας αὐτοῦ, καὶ πολυημέρω ἀσιτία καὶ εἰρκτὴ ζοφώδει καὶ πνιγηρὰ τὸν ἄνδρα ἐκδούς, ὡς τὴν ἱεροσυλίαν ὁμοίως εὕρισκεν ἀπαρνούμενον, συναινέσει τοῦ προεστῶτος καὶ τῶν ἀδελφῶν, θανάτω αὐτὸν κατεδίκασε κατὰ τὴν τοῦ νόμου διάταξιν" τῆς γὰρ ἱεροσυλίας τὸ ἐπιτίμιον, θάνατος ἤγετο οὖν ἀποκεφαλισθῆναι.

Ἰδὼν δὲ καὶ τὰ ἱερὰ συλήσας ἀδελφὸς καὶ παθῶν τὴν ψυχήν, προσελθῶν τῷ 'Ἀββᾷ, λέγει ἔμαθον ὡς εὑρέθησαν τὰ ἱερὰ σκεύη διὸ σπούδασον μὴ ἀποκεφαλίσαι τὸν ἀδελφὸν ὁ δὲ ἀναφέρει τὸ ἄρχοντι καὶ ἀπολυθεῖς ὁ ἀδελφός, ἦλθεν εἰς τὸ Κοινόβιον ἐπιζήσας δὲ τρεῖς ἡμέρας, πρὸς Κύριον ἐκδημεῖ ἐν τῷ προσεύχεσθαι καὶ ἐπὶ γόνυ πεσεῖν ἀποδοὺς τὴν ψυχήν. Ἐλθόντες οὖν πάντες οἵ της μονῆς καὶ εὑρόντες τὸ σῶμα αὐτοῦ οὕτω κείμενον εἰς μετάνοιαν, ἔλαβον αὐτὸ καὶ ἤνεγκαν εἰς τὴν Ἐκκλησίαν, ὡς ἂν ἐκεῖσε κατατεθῆ. Κρουσθέντος δὲ τοῦ ξύλου, συνήχθη πᾶσα ἡ Λαύρα καὶ πάντες προσέτρεχον τῷ σώματι, μέρος τί τῶν ἀμφίων ἢ τῶν τριχῶν ἀφελεῖν βουλόμενος ἕκαστος εὐλογίας χάριν.

ΥΠΟΘΕΣΙΣ Α΄ (Ο αυτοεξευτελισμός είναι άξιος τιμής)

Ὁ δὲ Ἀββᾶς, φοβηθεῖς μήπου καὶ τὸ σῶμα διασπασθῆ, εἰς τὸ ἱερατεῖον τοῦτο εἰσενεγκῶν, τὸ κλειδίω ἤσφαλισατό το οἴκημα, προσδεχόμενος καὶ τὸν 'Α6βάν τῆς Λαύρας παραγενέσθαι. Μετὰ δὲ βραχὺ ἔλθοντος κακείνου, ὡς ἀναψαντες πάντες κηροὺς καὶ ἀνακαύσαντες θυμιάματα, ἐζήτουν τὸ σῶμα τοῦ ἱερατείου προαγαγεῖν καὶ τὸν τῆς Μονῆς προεστώτα ἀνοίξαι τὸ τάχος κατήπειγον.

Ἀνοίξας ἐκεῖνος καὶ εἰσελθῶν μετὰ καὶ ἄλλων πολλῶν, τὰ μὲν μάτια καὶ σανδάλια τοῦ ἀπελθόντος εὗρον, τὸ δὲ σῶμα ἦν οὐδαμοῦ. "Ἤρξαντο οὖν πάντες δοξάζεις τὸν Θεὸν καὶ κράζειν πρὸς ἀλλήλους μετὰ δακρύων καὶ λέγειν βλέπετε, ἀδελφοί, οἵα προξενεῖ ἡμὶν ἡ μακροθυμία καὶ ἡ ταπείνωσις; Ἀγωνισώμεθα οὖν καὶ ἡμεῖς ὑπομένειν πειρασμὸν τὲ καὶ ἐξουδένωσιν διὰ Κύριον, καὶ ἐσόμεθα δεδοξασμένοι καὶ τίμιοι καὶ αὐτῶ εἰς αἰῶνας συμβασιλεύσομεν.

3. Παυλὸς τὶς ὀνόματι, τὴν ἀξίαν Ἰλλούστριος, ἔχων γυναῖκα καὶ τέκνα καὶ πλοῦτον πολύν, ἠθέλησε γενέσθαι Μοναχὸς καὶ καλέσας τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα, ἐξεῖπεν αὐτοῖς τὸν οἰκεῖον σκοπὸν ὁ δὲ εὗρων καὶ αὐτοὺς προθύμους εἰς τοῦτο καὶ τῆς μοναδικῆς πολιτείας ἐρώντας ὁμοίως αὐτῶ, εἶπεν αὐτοῖς εἰ τῷ ὄντι ὠφεληθῆναι βούλεσθε, ὡς δούλους ὑμᾶς ἐν Μοναστηρίοις πωλήσω" οἱ δὲ καὶ τοῦτο μετὰ χαρᾶς κατεδέξαντο.

Λαβῶν οὖν τὴν γυναῖκα αὐτοῦ, εὐτελὲς σχῆμα ἠμφιεσμενην καὶ δουλικόν, καὶ τὸ ἀνήκουν αὐτὴ τῶν πραγμάτων μέρος, ἀπέρχεται σὺν αὐτὴ εἰς Μοναστήριον γυναικὼν καὶ παραδίδωσιν αὐτὴν τὴ ἡγουμένη, οἵα δούλην εἶναι ἐν τῇ μονῇ, συμπαραδοὺς αὐτὴ καὶ τὰ πράγματα. Ὁμοίως δὲ καὶ τοὺς παίδας αὐτοῦ ἀπαγαγῶν εἰς ἕτερον Μοναστήριον, τῷ ἡγουμένῃ ὡς δούλους παρέδωκε καὶ τὰ ἐπιβάλλοντα αὐτοις πράγματα. "Ἔσχατον δὲ ἀπελθῶν καὶ αὐτὸς εἷς ἄλλο Μοναστήριον, ἐποίησεν ὁμοίως καὶ ὡς δοῦλον παρέδωκεν ἑαυτόν. Εἶτα λέγει τὸ Ἀββᾶ: εἰ κελεύεις, βούλομαι μόνος εἰσελθεῖν εἰς τὸ εὐκτήριόν" του δὲ ἐπιτρέψαντος, εἰσῆλθε καὶ τῶν θυρῶν ἀσφαλισθεισῶν, διαπετάσας τὰς χεῖρας αὐτοῦ, ἔκραξε λέγων: ὁ Θεός, σὺ γινώσκεις ὅτι ἐξ ὅλης καρδίας προσῆλθον σοί. Καὶ ἦλθεν αὐτῶ φωνὴ λέγουσα κάγω ἔγνων καὶ ὁλοκαρδίως προσεδεξάμην σε.

Διατρίψας οὖν ἐν τῷ Κοινοβίῳ συχνόν, καὶ ὡς δοῦλος πᾶσαν μετελθῶν εὐτελῆ διακονίαν, καὶ ὑποκάτω πάντων γεγονῶς, ὑψώθη ὑπὸ Θεοῦ διὰ τῆς ταπεινώσεως καὶ μετὰ τὴν τελευτὴν τὸ μνῆμα ἃ ὐ τοῦ μύρον ἔβλυσε καὶ πολλὰ σημεῖα καὶ τέρατα ἐν αὐτῷ γέγογεν.

Ερμηνεία

ΕΝΑΣ αδελφός ήρώτησε κάποιον Γέροντα:

– Πώς μπορεί κάποιος να γίνη μωρός διά τον Κύριον;

Και ο γέρων του απήντησεν

– Εις ένα Κοινόβιον ήτο κάποιο παιδί. Και το παρέδωσαν εις ένα Γέροντα ασκητήν, διά να το διαπαιδαγωγήση και να του διδάξη τον λόγον του Θεού. Έλεγε λοιπόν ο Γέρων εις το παιδί παιδί μου, όταν σε υβρίση κάποιος, συ ευλόγησε τον και όταν καθίσης εις το τραπέζι, να τρώγης τα χαλασμένα φαγητά και να αφήσης τα καλά. Και όταν πρόκειται να διαλέξης ένδυμα, άφησε το καλό και προτίμησε το άσχημο. Το παιδί, τότε, λέγει προς αυτόν: Μήπως, Αββά, είμαι ανόητος, και μου λέγεις να κάμω αυτά; Και ο Γέρων του απαντά: δι' αυτό σου λέγω να τα κάνης αυτά, διά νά γίνης, προς χάριν του Κυρίου, ανόητος και ο Κύριος θα σε αναδείξη σοφόν. Να πως έδειξεν ο Γέρων τον τρόπον, διά να γίνη κανείς μωρος χάριν του Κυρίου.

2. Ο Αββάς Δανιήλ έλεγε διά τον Αββάν Δουλάν, ότι αρχικά παρέμεινεν εις το Κοινόβιον επί σαράντα χρόνια μετά ησύχασεν εις Σκήτην και εθεωρήθη ως ένας από τους μεγάλους Πατέρας. Αυτός λοιπόν –συνεχίζει ο 'Αββάς Δανιήλ- έλεγεν, ότι αφού εδοκίμασα και τους δύο τρόπους ζωής, ευρήκα ότι εις τα Κοινόβια προκόπτουν πολύ περισσότερον εις την εργασίας των αρετών, από τους ήσυχαστάς, αν βέβαια εφαρμόζουν την υποταγήν με όλην τους την καρδιά.

Είς κάποιο Κοινόβιον έζη ένας αδελφός, ο οποίος κατά μεν την εμφάνισιν και το εξωτερικών σχήμα εφαίνετο καταφρονεμένος και ασήμαντος περισσότερον από όλους, κατά την γνώσιν όμως ήτο αξιόλογος και σπουδαίος. Αυτός λοιπόν υβρίζετο και έχλευάζετο από όλους και πολλάκις τον έδερναν άδικα: τα υπέφερεν όμως με γενναιότητα, χωρίς να κατηγορή κανένα διά τίποτε.

Ένας άλλος αδελφός, από το ίδιον Κοινόβιον, από διαβολικήν ενέργειαν, έκλεψε τα ιερά σκεύη του Ναού, χωρίς να τον αντιληφθη κανείς. Μετά, αφού έγινεν έρευνα διά τα κλαπέντα σκεύη, όλοι απέδιδον το έγκλημα εις εκείνον τον αδελφόν, που εταπείνωνε τον εαυτόν του και τον κατέκριναν ότι αυτός έκαμε την ιεροσυλίαν.

Επειδή δε εκείνος ισχυρίζετο ότι αγνοεί τελείως το ζήτημα, του αφήρεσαν το μοναχικόν σχήμα, κατά προτροπήν του Ηγουμένου, και αφού τον έδεσαν με αλυσίδας, τον παρέδωσαν εις τον οικονόμον της Λαύρας δια να τον εξετάση. Ο οικονόμος τον έμαστίγωσε με βούνευρα και του επέβαλε και άλλας τιμωρίας. Παρά ταύτα τίποτε δεν ώμολόγησεν, αλλ' εξηκολούθει, χωρίς περιστροφάς, να προβάλλη

άγνοιαν των γενομένων. Κατόπιν αυτού τον παραπέμπουν εις τον άρχοντα της χώρας, δια να τιμωρηθή από εκείνον σκληρότερον.

Ο άρχων τον υπέβαλεν εις διάφορα βασανιστήρια, έκαψε με πυρωμένον σίδηρον τας σάρκας του και τον έκλεισεν, επί πολλάς ημέρας τελείως νηστικόν, εις μίαν σκοτεινής και αποπνικτικήν φυλακήν. Επειδή όμως εξηκολούθει να αρνήται την ιεροσυλίαν, δι' αυτό, με την σύμφωνον γνώμην του Ηγουμένου και των αδελφών, τον κατεδίκασεν εις θάνατον, κατά τας διατάξεις του Νόμου. Διότι η ποινή, που επιβάλλεται εις την ιεροσυλίαν, είναι ο θάνατος. Κατόπιν αυτού οδηγείτο να αποκεφαλισθη.

Μόλις είδεν αυτό το πράγμα εκείνος που έκλεψε τα ιερά, επόνεσεν η ψυχή του και αφού έπλησίασε τον Αββάν του λέγει: έμαθα πώς ευρέθησαν τα ιερά σκεύη, δι' αυτό φρόντισε να μη αποκεφαλίσουν τον αδελφόν.

Ο Αββάς το αναφέρει εις τον Αρχοντα. Αφού δε ο αδελφός απελύθη, κατόπιν αυτού, επέστρεψεν εις το Κοινόβιον. Μετά ταύτα έπέζησε τρείς ημέρας και εξεδήμησε προς Κύριον την ώραν που προσηύχετο και παρέδωσε την ψυχήν του, καθώς ήτο γονατιστός.

Ηλθον τότε όλοι οι Μοναχοί και αφού εύρον το σώμα του μεταστάντος εις αυτήν την στάσιν της μετανοίας, το παρέλαβον και το μετέφεραν εις την Εκκλησίαν, δια να το ενταφιάσουν εκεί.

Αμέσως εκτύπησε το ξύλον (εννοεί το τάλαντον) και συνεκεντρώθη ολόκληρος η Λαύρα. Από σεβασμόν δε όλοι οι πατέρες προσέτρεχαν εις από τας τρίχας τους χάριν ευλογίας.

Ο Αββάς, από φόβον μήπως κομματιάσουν και το λείψανον, το μεταφέρει εις το ιερόν και το έκλείδωσε καλά, περιμένων να έλθη και ο Αββάς της Λαύρας. Μετ' ολίγον ήλθε και εκείνος και αφού ήναψαν όλοι κεριά και ητοίμασαν θυμίαμα, έζητούσαν να βγάλουν το λείψανον από το ιερόν και δι' αυτό εβίαζον τον προεστώτα να ανοίξη γρήγορα.

Μόλις όμως εκείνος ήνοιξε και εισήλθεν εις το ιερόν μαζί με πολύ λούς άλλους, ευρήκαν μέν τα φορέματα και τα υποδήματα του μεταστάντος, όχι όμως και το σώμα, το οποίον τελικώς δεν εύρον πουθενά.

Τότε όλοι ήρχισαν να δοξάζουν τον Θεόν, να φωνάζουν και να λέγουν μεταξύ των με δάκρυα: Βλέπετε, αδελφοί, ποία αξιοθαύμαστα πράγματα μάς προξενεί η μακροθυμία και η ταπείνωσις; Ας αγωνισθώμεν λοιπόν και ημείς να υπομείνωμεν πειρασμούς και εξευτελισμός διά τον Κύριον, και πράγματι θα δοξασθώμεν και θα τιμηθώμεν και θα συμβασιλεύσωμεν μαζί Του εις τους αιώνας.

3. Έζη κάποτε κάποιος Παύλος, Ιλλούστριος κατά το αξίωμα, που είχε γυναίκα, παιδιά και πλούτη πολλά αυτός ηθέλησε να γίνη Μοναχός. Αφού εκάλεσε την γυναίκα του και τα τέκνα του, τους εφανέρωσε τον σκοπόν του. Τους ευρήκε προθύμους εις αυτό και να επιθυμούν και αυτοί τον μοναχικόν βίον, όπως και αυτός. Κατόπιν αυτού τους είπεν: αν πραγματικά θέλετε να ωφεληθήτε, θα σας πωλήσω ως δούλους εις τα Μοναστήρια. Αυτοί δε εδέχθησαν και αυτό μετά χαράς.

Αφού λοιπόν επήρε την γυναίκα του, η οποία εν τω μεταξύ είχε φορέσει πτωχικήν ενδυμασίαν και είχε πάρει την εμφάνισιν δούλης, καθώς και το μερίδιόν της από τα πράγματα του σπιτιού, φεύγει μαζί της εις Μοναστήριον γυναικών και την παραδίδει εις την Ηγουμένην διά να είναι ως δούλη εις το Μοναστήρι μαζί παρέδωσε και τα πράγματα της. Εν συνεχεία με τον ίδιον τρόπον ώδήγησεν εις άλλο Μοναστήρι και τα παιδιά του, και τα παρέδωσεν ως δούλους εις τον Ηγούμενον, μαζί με τα πράγματά των. Τελευταία, αφού μετέβη και ο ίδιος είς άλλο Μοναστήρι, έκαμε το ίδιος και παρέδωσε τον εαυτόν του ως δούλον.

Μετά ταύτα λέγει εις τον 'Αββάν: αν μου το επιτρέπης, θέλω να εισέλθω μόνος μου εις τον Ναόν. 'Αφού του το επέτρεψεν, εισήλθεν. 'Αμέσως τότε έκλεισε καλά τας θύρας του Ναού και αφού ύψωσε τας χείρας του προς τον ουρανόν ανέκραξε: «Θεέ μου, συ γνωρίζεις, ότι με όλην μου την καρδίαν αφοσιώθην είς Σέ». Και είς απάντησιν ηκούσθη φωνή η οποία έλεγε: Και εγώ το γνωρίζω και σε εδέχθην με όλην μου την καρδίαν.

Παρέμεινε λοιπόν εις το Κοινόβιον πολύν καιρών και εξετέλει, ως δούλος, όλας τας ταπεινωτικές υπηρεσίας υποτασσόμενος άγογγύστως εις όλους. Έτσι ανυψώθη από τον Θεόν διά της ταπεινώσεως και μετά τον θάνατός του, το μνήμα του ανέβλυσε μύρον και έγιναν εις αυτο πολλά θαύματα.

Θ'. Περί Ευφροσύνου του Μαγείρου

ΕΝ ΤΙΝΙ Κοινοβίω ἀδελφὸς τὶς ἦν, νέος τὴν ἡλικίαν, Εὐφρόσυνος ὀνόματι ὑπηρέτει δὲ τοὺς ἀδελφοὺς ἐν τῷ μαγειρίων καὶ ἐλάνθανε τοὺς πολλούς, τὴ συνεχεῖ πρὸς τὴν τέφραν καὶ τὴν ἀσβόλην διατριβή, τὸ τῆς ἀρετῆς αὐτοῦ λαμπρὸν ὑποκρύπτων. Ἀεὶ γὰρ κατηθαλωμένος ὢν καὶ ρυπῶν, γέλως καὶ παίγνιον τοῖς τῶν ἀδελφῶν ἀμελεστέροις προύκειτο, οἳ καὶ ὀνειδισμοὺς αὐτὸν καὶ ὕβρεσι καὶ χλευασμοὺς διηνεκῶς ἐπλῦνον, πρὸς τὸ εὐτελές του ἐνδύματος καὶ τὸ τοῦ προσώπου αὐτοῦ πρᾶος καὶ σιωπηλὸν καὶ ἀνεξίκακον ἀφορμὴν εἰς τὸ ἀδεῶς αὐτὸν μυκτηρίζειν τὲ καὶ ἐξουθενεῖν, πολλάκις δὲ καὶ τύπτειν εὑρίσκοντες. Ἐκεῖνος δὲ τοιαῦτα παρὰ πολλῶν καθ' ὥραν ἀκούων καὶ πάσχων, ἔφερε γενναίως, μηδενὶ μηδέποτε ἀντειπῶν ἢ ἐγκαλέσας, ἢ ὅλως στυγνάσας ἐφ' οἷς ἀδίκως ὑβρίζετο ἢ καὶ ἐτύπτετο.

“Ο οὖν πατὴρ τῆς τοιαύτης μονῆς κατὰ Θεὸν ἐν πάσι πολιτευόμενος καὶ πολλὴν ἐντεῦθεν πλουτῶν τὴν πρὸς Θεὸν οἰκειότητα, ποτὲ παρηνωχλήθη ὑπὸ τινὸς λογισμοῦ τοιούτου" ἐπεθύμησε διαγνώναι τὶς ἐκ τῆς κατ' αὐτὸν μονῆς ἢ ποίμνης τὴ ἀρετὴ κρατεῖ τῶν λοιπῶν ἀδελφῶν, καὶ ἔστιν ἐν τοῖς κατὰ Θεὸν τῶν ἄλλων διαφορώτερος; Ἐνδελεχοῦντος δὲ αὐτὸ τοιούτου λογισμοῦ, ἔδεηθή του Θεοῦ εἶς ἔργον αὐτὴ τὴν ἐπιθυμίαν ἔκβηναι καὶ ἀποκαλυφθῆναι αὐτὸ τὸν ἐν τοῖς ἀδελφούς τα τῆς ἀρετῆς πρωτεῖα ἀποφερόμενον.

Προσευχόμενος οὖν ἐν νυκτὶ κατὰ μόνας, γέγονεν ἐν ἐκστάσει καὶ ἥρπαγη εἶς τινὰ τόπον, ἄρρητον τὴν τέρψιν καὶ ἡδονὴν ἔχοντας εὐωδία τὲ γὰρ θαυμαστὴ τινι κατεπνέετο καὶ δενδρεσι παντοίους πάντοθεν ἔκεκοσμητο. Οἱ δὲ ἐν τούτοις καρποὶ οὐδενὶ τῶν παρ' ἡμὶν ἦσαν ὅμοιοι, ἀλλὰ τὸ κάλλει καὶ μεγέθει πολλῶ τούτων διέφερον, ἀνθρωπίνην πᾶσαν νικῶντες διήγησιν. "Ὕδωρ τὲ διειδέστατον κατωθεν τῶν δένδρων ὑπέρρεε, καὶ ὅλως ἐξαίσιος τὶς ἦν ἢ τοῦ τόπου θέα καὶ καλλονή.

Εὐχαρίστει οὖν τῷ τῶν ἀγαθῶν αἰτίω Θεῶ ὁ ταῦτα θεώμενος καὶ ἑαυτὸν ἐμακάριζεν, ὡς τοιαύτης ἀξιωθέντα τιμῆς. Εἶτα ὀρεγόμενος τῶν θαυμασίων ἐκείγων καρπῶν, ὥρμησε λαβέσθαι τινὰς ἐξ αὐτῶν καὶ οὐκ ἴσχυσεν, εἰς ὕψος σὺν τοὺς κλάδους αἰρομένων αὐτῶν. Ὡς δὲ πολλάκις τοῦτο προθέμενος καὶ ἐπιχειρήσας ὁμοίως κεναῖς κατωθεν τῶν δένδρων ἐναπέμενε ταῖς χερσίν, ὁρᾷ τὸν ἀδελφὸς ἐκεῖνον τὸν νέον, τὸν τῆς Εὐφροσύνης ἐπώνυμον, ἐν ἐκεῖνο τὸ τερπνοτάτω παραδείσω ἔμπροσθεν αὐτοῦ πορευόμενον, καὶ πάντων των ἐκεῖ τὴν ἀπόλαυσιν ἄφθονον ἔχοντα, ὑποκατακλινομένων τῶν κλάδων αὐτῶ, καὶ τῶν ἐν αὐτοῖς καρπῶν ἕτοιμον παρεχομένων ὧν βούλεται τὴν μετάληψιν.

Ἐκπλαγεῖς οὖν ἐπὶ τῷ παραδόξῳ θαύματι, ἔφη αὐτῶν τέκνον Εὐφρόσυνε, τὶς σὲ ἐνταῦθα ἤγαγε καὶ διαγειν ἐπέτρεψεν; δ δὲ μειδιώντι προσώπω φησὶ πρὸς αὐτὸν ὦ Πάτερ, τούτων ὧν ὁρᾷς ἀγαθῶν τὴν ἀπόλαυσιν καὶ τὴν ἐξουσίας καὶ μόνος φιλάνθρωπος ἐμοὶ κατεπίστευσεν. Ὁ δὲ Πατὴρ εἶπε καὶ δύνασαι μοὶ νῦν ἐκ τούτων τί παρασχεῖν; λέγει ἐκεῖνος λάβε, Πάτερ, ὅσα καὶ βούλει καὶ ὁ Πατὴρ πάλιν' οὖ, φησι, τέκνον πολλάκις γὰρ τοῦτο ποιῆσαι θελήσας οὐκ ἠδυνήθην. Τότε ὁ Εὐφρόσυνος ἐνὶ τῶν ἐκεῖσε δένδρων προσελθῶν μετὰ θάρσους, καὶ ἐκ τῶν ἐν αὐτὸ καρπῶν λαβῶν τὴ χειρί, μῆλα δὲ ἦν, ἐξαίσια οἷα καὶ τὴν ὅρασιν καὶ τὴν εὐωδίαν, τρία τούτων τὸ γέροντα δίδωσιν.

"Ο δὲ μετὰ πολλῆς αὐτὰ δεξάμενος τῆς χαρᾶς, εἰς ἑαυτὸν ἐκ τῆς ὀπτασίας εὐθὺς ἐπανῆλθε καὶ εὗρεν ἐπ' ἀληθείας τὰ τρία μῆλα ἐν ταῖς οἰκείαις χερσί. Φρίξας δὲ ὅλος, καὶ γενόμενος συντρόμος, ἐκέλευσε παραχρῆμα κρουσθῆναι τὸ ξύλον" καὶ τότε μὲν σὺν τοῖς ἀδελφούς τους ἑωθινοὺς ὕμνους τελέσας ἡσύχασε μηδενὶ μηδὲν εἰρηκῶς ὧν ἐθεάσατο. Τοῦ δὲ καιροῦ τῆς θείας μυσταγωγίας ἐνστάντος καὶ τῶν ἀδελφῶν ἐν τῷ ναῷ συναχθέντων, ἱερουργήσας αὐτὸς καὶ σὺν τοῖς ἀδελφοὺς τελέσας τὴν θείαν μυσταγωγίαν, μετὰ τὴν ἐκπλήρωσιν, στᾶς πρὸ τοῦ θυσιαστηρίου, ἔτι τὴν ἱερατικὴν στολὴν περικείμενος, τὸν ἀδελφὸν Εὐφρόσυνον κληθῆναι προσέταττεν.

Τινὲς οὖν τῶν ἀδελφῶν πρὸς τὸ μαγειρεῖον ἀποδραμόντες, ἤγαγον αὐτὸν ἓν σπουδὴ καὶ τὸ προεστώτι παρέστησαν, ὅλον κατησβολωμένον ὄντα ἐκ τῆς τέφρας τοῦ μαγειρείου καὶ ρύπου πεπληρωμένον, τὰ τὲ ἱμάτια καὶ τὸ πρόσωπον. "Ἔφη οὖν πρὸς αὐτὸν ὁ πατὴρ ποῦ, τέκνον, ἐν ταύτῃ διέτριβες τὴ νυκτί; ὁ δὲ πρὸς γῆν νεύσας, οὐδὲν τὸ σύνολον ἀπεκρίνατο. Τοῦ δὲ προεστῶτος ἐπὶ πολὺ προτείνοντος τὴν ἐρώτησιν καὶ εἴπειν ἐκβιαζομένου, συνδακρυς ὁ νέος γενόμενος, πραεία καὶ συνεσταλμένη τὴ φωνὴ πρὸς αὐτὸν ἀπεκρίνατο' οὖ γινώσκεις, ὦ πάτερ, ὅπου ἀμφότεροι διετρίβομε ν;

Τότε φρίκη ὁ γέρων κατασχεθεῖς, τὰ τρία μῆλα παρευθὺς ἐκβαλῶν εἶπε: καὶ ἐπιγινώσκεις ταῦτα; ὁ δὲ ναί, φησι, πάτερ, οἶδας γὰρ ὡς ἐγὼ σοὶ ταῦτα παρέσχον ὑπό σου κελευσθεῖς. Λέγει οὖν πρὸς αὐτὸν ὁ πατὴρ ἐπὶ πάντων μακάριος εἰ, τέκνον Εὐφρόσυνε, ἀγαθῶν τοιούτων ἠξιωμένος διὸ δέομαι σὲ προστάτην γενέσθαι καὶ τῆς ἔμης ἀθλίας ψυχῆς καὶ ἐξῆς διηγεῖτο τοῖς ἀδελφούς, καὶ ἐν τῇ ὀπτασίᾳ τεθέαται. Εἶτα, μετὰ τὴν διήγησιν, τοῖς τοῦ Εὐφροσύνου προσπίπτει ποσίν, ἔκεινου δυσχεραίνοντος λίαν τῷ γινομένῳ, καὶ ὡς τὰ δεινότατα πάσχοντος οὕτως ὀλοφυρομένου ἐπὶ τῷ τῆς τιμῆς ὑπερβάλλοντι καὶ θρήνους ἑαυτὸν συνταράσσοντος.

Μετὰ δὲ τοῦτο καὶ προεστῶς, κρατήσας αὐτὸν τῆς χειρός, ἐν τῷ θυσιαστηρίῳ εἰσήγαγε καὶ μελίσας τὰ τρία ἐκεῖνα μῆλα ἐν ἱερὸ σκεύει, πάσι τοῖς ἀδελφοὺς τούτων μετέδωκεν ὁ δὲ νέος, μὴ φέρων τὰς ἐξ ἁπάντων τιμᾶς τὲ καὶ εὐφημίας, λάθρα ἐκ τῆς

Μονῆς ἔξελθων, ἀφανὴς γέγονε, τοὺς ἐξ ἀνθρώπων ἐπαίνους ψόγους ἀληθῶς καὶ ψυχῆς βλάβας μεγίστας εἰδῶς, καὶ διὰ τοῦτο πόρρω αὐτῶν γενέσθαι νουνεχῶς τῷ ὄντι καὶ σωτηρίως αἱρετισάμενος.

Ερμηνεία

ΕΙΣ κάποιο Κοινόβιον εζούσεν ένας νέος Μοναχός ονομαζόμενος Ευφρόσυνος. Αυτός υπηρετούσε την αδελφότητα ως μάγειρος εις το μαγειρείον. Επειδή δε ευρίσκετο συνεχώς ανακατωμένος με την στάκτην και την ασβόλην (καπνιάν), οι πολλοί δεν έδιδον εις αυτόν καμμίαν προσοχήν έτσι κατώρθωνε να αποκρύπτη την λαμπραν αρετήν του. Διότι με το να είναι πάντοτε γεμάτος στάκτης και μαυρισμένος από την καπνιάν, εγελούσαν μαζί του και τον ενέπαιζαν οι αμελέστεροι αδελφοί, οι οποίοι τον περιέλουαν συνεχώς με πειράγματα, ύβρεις και χλευασμούς: ελάμβανον δε αφορμήν προς τούτο από τα ευτελή ενδύματά του, το ήρεμον πρόσωπόν του, την σιωπήν του και την ανεξικακίαν του και έτσι χωρίς φόβον τον ενέπαιζαν, τον εξηυτέλιζαν και τον εκτυπούσαν ακόμη.

Εκείνος όμως μολονότι ήκουε και υφίστατο αυτά κάθε ώραν από τους πολλους, τα υπέμενε με γενναιότητα, χωρίς να αντιμιλήση ποτε σε κανένα, ή να κατηγορήση κανένα, ή να θυμώση δι' όσα εντελώς άδικα τον ύβριζαν και τον εκτυπούσαν ακόμη.

Ο Ηγούμενος λοιπόν του Μοναστηριού εκείνου, ο οποίος είς όλα επολιτεύετο όπως ήθελεν ο Θεός και έτσι είχεν αποκτήσει μεγάλην παρρησίαν προς τον Θεόν, έβασανίσθη κάποτε από τον εξής λογισμόν: Επεθύμησε, δηλαδή, να μάθη ακριβώς, ποίος από το Μοναστήρι του, ή το πνευματικών του ποίμνιον είναι ανώτερος, κατά την αρετήν, από τους υπολοίπους αδελφούς και διαφέρει από τους άλλους κατά την εφαρμογήν των εντολών του Θεού.

Επειδή δε διαρκώς έβασανίζετο από αυτόν τον λογισμόν, παρεκάλεσεν επιμόνως τον Θεόν να πραγματοποιηθή η επιθυμία του και να του φανερωθή εκείνος που έχει τα πρωτεία της αρετής μεταξύ των αδελφών.

Καθώς λοιπόν προσηύχετο μόνος του μίαν νύκτα, περιέπεσεν εις έκστασιν και ανηρπάγη εις κάποιον τόπον, ο οποίος είχεν απερίγραπτον χάριν και επροκαλούσε μεγάλην ευχαρίστησιν: ήτο δηλαδή γεμάτος από κάποιαν θαυμαστής ευωδίαν και

εστολίζετο από κάθε είδους δένδρα. Οι καρποί των δένδρων αυτών δεν ήσαν όμοιοι με κανένα από τους καρπους των γνωστών δένδρων, αλλά τελείως διαφορετικοί κατά την ώραιότητα και το μέγεθος, ανώτεροι από κάθε περιγραφήν. "Έτρεχε δε κάτω από τα δένδρα αυτά καθαρώτατον νερόν και ήτο πράγματι εξαισία η θέα και η ωραιότης του τόπου.

Ο Ηγούμενος, ο οποίος έβλεπεν όλα αυτά, ευχαριστούσε τον αίτιον των αγαθών Θεόν και έκαλοτύχιζε τον εαυτόν του, διότι ήξιώθη μιάς τόσον μεγάλης τιμής. Επιθυμήσας κατόπιν τους θαυμασίους εκείνους καρπούς, έτρεξε να πιάση μερικούς από αυτούς, αλλά δεν ημπόρεσε· διότι οι καρποί, μαζί με τα κλαδιά, επήγαιναν υψηλά. 'Αφού δε εδοκίμασε πολλές φορές να πραγματοποιήση την επιθυμίας του, χωρίς αποτέλεσμα, και έμεινε με άδεια τα χέρια κάτω από τα δένδρα, βλέπει τον νέον εκείνον αδελφόν, τον ώνοματισμένος με το όνομα της χαράς. τον Ευφρόσυνον, μέσα εις εκείνον τον τερπνότατον Παράδεισον να πορεύεται εμπρός από αυτόν και να απολαμβάνη άφθονα όλα όσα ευρίσκοντο εκεί, να γέρνουν έμπρός του τα κλαδιά και να του προσφέρουν ετοίμους τους καρπούς των, διά να κόψη και να φάγη όποιον ήθελε.

Έκπληκτος λοιπόν από αυτό το παράδοξον θέαμα, τού λέγει:

– Παιδί μου, Ευφρόσυνε, ποίος σε έφερε και σου επέτρεψε να μένης εδώ;

Και εκείνος με γελαστόν πρόσωπος του απαντά:

– Πάτερ, ο μόνος φιλάνθρωπος, ο Θεός, μου ενεπιστεύθη αυτά τα αγαθά που βλέπεις, να τα απολαμβάνω και να τα έχω υπό την εξουσίαν μου.

Ο Ηγούμενος είπεν εκ δευτέρου:

– Και ημπορείς τώρα θα μου δώσης κάτι από αυτά;

– Πάρε, Πάτερ, όσα θέλεις, απήντησεν ο Ευφρόσυνος.

– Όχι, παιδί μου, είπεν ο Ηγούμενος· διότι, αν και πολλάκις το εδοκίμασα, δεν ήμπόρεσα.

Τότε ο Ευφρόσυνος, αφού επλησίασεν ένα δένδρον με θάρρος και επήρε, με το χέρι του, από τους καρπούς του, ήσαν δε μήλα εξαίσια, πράγματι, να τα βλέπης και να τα μυρίζης, έδωσε τρία από αυτά εις τον Γέροντα.

ΥΠΟΘΕΣΙΣ Α΄ (Ο αυτοεξευτελισμός είναι άξιος τιμής)

Ο Ηγούμενος, αφού τα παρέλαβε με πολλήν χαράν, συνήλθεν αμέσως από την οπτασίαν, και ευρήκε πραγματικά είς τα χέρια του τα τρία εκείνα μήλα. Γεμάτος δε φρίκης και τρέμων ολόκληρος, διέταξεν αμέσως να κτυπήση το τάλαντον και τότε μέν, αφού έκαμε την πρωϊνήν ακολουθίαν μαζί με τους αδελφούς, δεν είπεν εις κανένα τίποτε από όσα είδεν. '"Όταν όμως έφθασεν η ώρα της Θείας Λειτουργίας και είχαν συγκεντρωθή εις τον Ναόν οι αδελφοί και αφού έλειτούργησεν ο ίδιος και ετέλεσε μαζί με τους αδελφούς την θείαν Μυσταγωγίαν, μετά την απόλυσιν, εστάθη έμπρός εις την Αγίαν Τράπεζας και φέρων ακόμη την ιερατικήν του στολήν, διέταξε να καλέσουν τον αδελφόν Ευφρόσυνον.

Μερικοί τότε από τους αδελφούς έτρεξαν εις το μαγειρείον και γρήγορα - γρήγορα τον έφεραν και τον οδήγησαν έμπρός εις τον Ηγούμενον έτσι καθώς ήτο μουντζουρωμένος εις το πρόσωπον και τα ενδύματά του γεμάτα από την στάκτης και την ασβόλην (μουντζούρα), του μαγειρείου.

Τον έρωτά λοιπόν ο Ηγούμενος - Παιδί μου, που ευρίσκεσο αυτήν την νύκτα;

Εκείνος έχαμήλωσε την κεφαλήν προς την γην και δεν απαντούσε καθόλου.

Επειδή όμως ο Ηγούμενος επέμενε πολύ εις την ερώτησιν και τον εβίαζε να απαντήση, ο νέος, γεμάτος δάκρυα, με ήρεμος και ταπεινην φωνήν του απήντησε:

– Δεν γνωρίζεις, Πάτερ, που ευρισκόμεθα και οι δύο;

Τότε ο Ηγούμενος, κυριευθείς από φρίκην, παρουσίασεν αμέσως τα τρία μήλα και τον έρωτά:

– Μήπως τα αναγνωρίζεις αυτά;

– Ναι, Πάτερ, απαντά ο Ευφρόσυνος: διότι γνωρίζεις, ότι εγώ σου τα έδωσα, επειδή με διέταξες.

Λέγει λοιπόν προς αυτόν, ενώπιον όλων ο Ηγούμενος:

– Παιδί μου, Ευφρόσυνε, είσαι μακάριος, διότι έχεις αξιωθή να απολαμβάνης τέτοια αγαθά δι' αυτό σε παρακαλώ να γίνης προστάτης και της ιδικής μου αθλίας ψυχής. Εν συνεχεία διηγήθη εις τους αδελφους εκείνα που είδεν εις την οπτασίαν.

Κατόπιν έπεσεν εις τους πόδας του Ευφροσύνου, ενώ εκείνος έστενοχωρείτο πάρα πολύ δι' αυτό που εγίνετο και, ωσάν να έπαθε μεγάλον κακόν, έκλαιε με στεναγμούς,

δια την υπερβολικήν τιμήν και ολόκληρος συνεταράσσετο από τους θρήνους και τα δάκρυα.

Κατόπιν ο Ηγούμενος τον έπιασεν από το χέρι και τον οδήγησεν είς το ιερόν. Εκεί αφού έκοψεν εις μικρά τεμάχια, μέσα εις ένα ιερόν σκεύος, τα τρία εκείνα μήλα, έδωσεν από αυτά είς όλους τους αδελφούς.

Ο δε νέος, επειδή δεν ήμπορούσε να δέχεται τις τιμές και τα έγκώμια εκ μέρους όλων, έφυγεν κρυφά από το Μοναστήρι και εξηφανίσθη, διότι εθεωρούσε τους επαίνους των ανθρώπων ως κατηγορίας και μεγίστης βλάβης της ψυχής. Διά τούτο επροτίμησε, με πολλήν σύνεσιν, δια να επιτύχη την σωτηρίαν του, να φύγη μακράν από αυτάς τας τιμάς.

ΥΠΟΘΕΣΙΣ Β'
(Ταπείνωση: Να αγαπούμε την εξουδένωση)

Ὅτι ἡ μὲν ἐξουδένωσις τὴν ταπείνωσιν, ἡ δὲ τιμὴ τὴν ὑπερηφανίαν προξενεῖν πέφυκε, διὸ καὶ οἱ ταπεινόφρονες ἐξουδενούμενοι μὲν χαίρουσι, τιμώμενοι δὲ λυποῦνται.

Εκ φύσεως ή μεν εξουδένωσις προξενεί ταπείνωσιν, ή δε τιμή την υπερηφάνειαν δι' αυτό και οι ταπεινόφρονες όταν μεν περιφρονούνται χαίρουν, ενώ όταν τιμώνται λυπούνται.

Α'. Γρηγορίου του Διαλόγου

ΚΩΝΣΤΑΝΤΙΝΟΣ τὶς, ἀνὴρ εὐλαβέστατος, πλησίον της πόλεως Ἀγκώνων κατοικῶν, ἐν τῷ ναῷ διηκόνες Στεφάνου τοῦ Πρωτομάρτυρος. Καὶ πότε ἐκλιπόντος αὐτῶ τοῦ ἐλαίου μὴ ἔχων ὅθεν τὰς κανδήλας σκευάσει, ὕδατος αὐτᾶς πλήσας καὶ ὡς ἔθος ἑκάστη ἐνθέμενος τὸ ἀπτρίν, προσαγαγῶν τὸ πῦρ ἦψεν, οὕτω δὲ τὸ ὕδωρ ἐν ταῖς κανδήλαις ἦψεν ὡς πὲρ ἔλαιον. Ὁ οὖν τοιοῦτος ἀνήρ, ἄκουσον καὶ ποίαν εἶχε ταπείνωσιν. Τῆς γὰρ περὶ αὐτοῦ φήμης μέχρι πολλοῦ διαδραμούσης, διὰ τὰς δυνάμεις ἃς ἐνήργει δὶ' αὐτοῦ ὁ Θεός, καὶ πολλῶν ἐκ διαφόο ρῶν τόπων συντρεχόντων ἕνα αὐτὸν ἴδωσι, γεωργὸς τὶς μήκοθεν καὶ αὐτὸς παραγέγονεν ἐπὶ τῷ τοῦτον θεάσασθαι.

Ἔτυχε δὲ τότε τὸν ἅγιον ἐν ξυλίνῳ τετραποδίω ἱστάμενον τὰς κανδήλας σκευάζειν" πάνυ δὲ βραχὺς ὑπῆρχε τὴ ἡλικία καὶ τὸ σῶμα ἰσχνὸς καὶ ἀειδὴς τὴ μορφή. Ὁ οὖν γεωργὸς ζητῶν ἐπιμελῶς δειχθῆναι αὐτῶ τὶς ἔστιν ὁ εὐλαβέστατος ἀνὴρ Κωνσταντῖνος, οἱ παρόντες τὴ γεωργῶ τοῦτον ὑπέδειξαν. Ὁ δέ, ὡς πὲρ ἐκ τῆς τοῦ σώματος κατασκευῆς τὴν ἀρετὴν ὁριζόμενος, ἰδὼν αὐτὸν οὕτω βραχὺν καὶ ἰσχνὸν ὄντα, διελογίζετο ἐν ἑαυτῷ μὴ τοῦτον εἶναι, ὃν διὰ τῆς φήμης μέγαν εἶναι ἀκήκοεν.

Ὡς δὲ παρὰ πολλῶν ἔμαθε τοῦτον εἶναι ἀληθῶς καὶ οὐκ ἄλλον τὸν εὐλαβῆ Κωνσταντῖνος, ἀπὸ τοῦ σχήματος αὐτὸν καὶ τοῦ εἴδους τοῦ σώματος βδελυξάμενος, καταγελῶν ἔφη" ἐγὼ ἄνθρωπον προσεδόκων ἰδεῖν, οὗτος δὲ ἀνθρώπου οὐδὲν ἔχει. Τοῦτο οὖν ἀκούσας καὶ τοῦ Θεοῦ ἄνθρωπος, τὰς κανδήλας καταλιπῶν, μετὰ σπουδῆς εἰς τὸν τοῦ γεωργοῦ ἀσπασμὸν ἔδραμε καὶ περιχυθεῖς αὐτῶ, ἤρξατο καταφιλεῖν τοῦτον

γνησίως καὶ μεγάλας ὁμολογεῖν αὐτω χάριτας, ὅτι περὶ αὐτοῦ οὕτως ἔκρινεν ἔλεγε γὰρ αὐτῶ, ὅτι σὺ μόνος τους ὀφθαλμούς σου ἔχεις ἀνεωγμένους εἰς ἐμέ.

Καταβόησον οὖν, Πέτρε, πόσης καὶ θαυμαστὸς οὗτος ἀνὴρ εἶχε ταπείνωσιν, ὃς τὶς τὸν βδελυσσόμενον αὐτὸν γεωργὸν περισσοτέρως μᾶλλον ἠγάπησεν ἑκάστου γὰρ τὴν ἔνδον κεκρυμμένην διάθεσιν ἢ προσαγομένη ἐκτὸς ὕβρις δοκιμάζει. Ὡς γὰρ οἱ ὑπερήφανοι ταῖς τιμαῖς, οὕτως οἱ ταπεινόφρονες ταῖς ἀτιμίαις καὶ ἐξουδενώσεσι χαίρουσι καὶ μᾶλλον εὐφραίνονται, εἰ ὑπὸ πολλῶν ὀφθαλμοῖς τὰ τῶν ἀτιμιῶν πάσχουσιν. Ἐξουδενούμενοι γάρ, τότε τὴν ἰδίαν κρίσιν, ἣν περὶ ἑαυτῶν εἶχον, βεβαίαν εἶναι πιστεύουσιν, ὅτι ὁποίους ἑαυτοὺς εἶχον, τοιοῦτοι καὶ παρὰ τοὺς ἀνθρώποις ἔνομισθησαν.

Ερμηνεία

ΚΑΠΟΙΟΣ Κωνσταντίνος, άνθρωπος πάρα πολύ ευλαβής, ο οποίος κατοικούσε κοντά εις την πόλιν Αγκώνα(*), υπηρέτει εις τον ναόν του Πρωτομάρτυρος Στεφάνου. Κάποτε του ετελείωσε το λάδι και έπειδή δεν είχε με τι να ανάψη τα κανδήλια, αφού τα έγέμισε με νερόν και έβαλε το συνηθισμένον φιτίλι εις το καθένα απ' αυτά, τα ήναψε ως εαν είχαν λάδι.

Αυτός λοιπόν ο άνθρωπος, ο οποίος έκανε τέτοια θαύματα, άκουσε πόσην ταπείνωσιν είχεν. Επειδή η φήμη του είχε φθάσει μακράν, διά τα θαύματα που έκανε δι' αυτού ο Θεός, και αρκετοί προσέτρεχαν από διάφορα μέρη για να τον δουν, ήλθε και κάποιος γεωργός από πολύ μακραν δια να τον ίδη.

Έτυχε δε τότε ο Άγιος να είναι ανεβασμένος επάνω εις ένα τετράποδον ξύλινων σκαμνί και να ετοιμάζη τα κανδήλια: ήτο δε πολύ κοντος εις το ανάστημα, με αδύνατον σώμα και άσχημον πρόσωπον. Ο γεωργός λοιπόν ανεζήτει επιμόνως να του

(*) Ο Αγκών είναι πόλις της Ιταλίας επί της ακτής της Αδριατικής θαλάσσης, κτισθείσα υπό Ελλήνων εκ Σικελίας, κατά το 394 π.Χ. Υπό των Ιταλών καλείται σήμερον Ανκόνα (Ancona), έχει δε περί τας 85.000 κατοίκων. Ο πρώτος ναός της πόλεως είναι και του Αγίου Στεφάνου, κτισθείς επί του Ασκανίου λόφου (ιταλιστί Capodimonte), ονομαστόν χριστιανικών προσκύνημα. Κατά την παράδοσιν, την οποίαν αναφέρει ο ιερός Αυγουστίνος, ο ναός αυτός εκτίσθη επί λίθου, εξ εκείνων οι οποίοι ερρίφθησαν κατά του Πρωτομάρτυρος Στεφάνου κατά τον λιθοβολισμός αυτού υπό των Εβραίων. Τον λίθον αυτόν μετέφερες από τα "Ιεροσόλυμα κάποιος ευσεβής άνθρωπος, ο οποίος παρίστατο κατά τον λιθοβολισιόν, έγινε δε απόστολος του Χριστιανισμού εις τον 'Αγκώνα.

δείξουν ποιος είναι ο ευλαβέστατος άνθρωπος Κωνσταντίνος οι παρευρισκόμενοι έδειξαν εις τον γεωργόν εκείνον (που ήτο ανεβασμένος εις το σκαμνί).

Ο γεωργός τότε, ως να έκρινε την αρετήν του ανθρώπου από αυτός, που είχεν ακούσει, από την φήμην του, ότι ήτο μεγάλος.

Όταν όμως έμαθεν από πολλούς, ότι αυτός πραγματικά είναι ο ευλαβής Κωνσταντίνος και όχι άλλος, τον έσιχάθηκεν από το σχήμα του και την σωματικής του κατασκευών και είπεν ειρωνικά:

- Εγώ επερίμενα να δω άνθρωπον αυτός όμως δεν έχει καμμίαν ομοιότητα με άνθρωπον. Μόλις ήκουσε τους λόγους αυτούς ο άνθρωπος του Θεού, άφησε τα κανδήλια και τρέχει γρήγορα να ασπασθή τον γεωργόν. Αφού τον αγκάλιασεν, ήρχισε να τον φιλή ειλικρινά και να διακηρύσση ότι τού χρεωστεί μεγάλην χάριν, διά την κρίσιν που έκαμε δι' αυτόν. Έλεγε δε προς τον γεωργόν:

– Συ μονάχα έχεις ανοικτά τα μάτια, για να ίδης ποιος είμαι. Σκέψου λοιπόν, Πέτρε, πόσην ταπείνωσιν είχεν ο αξιοθαύμαστος. εκείνος άνθρωπος, ώστε ηγάπησε, με περισσήν αγάπην, τον γεωργών εκείνον, ο οποίος τον εσιχάθη. Διότι την διάθεσιν, που έχει ο καθένας κρυμμένην μέσα του, φανερώνει ή προσβλητική ύβρις, που του γίνεται απ' έξω.

Όπως δηλαδή οι υπερήφανοι ικανοποιούνται εις τας τιμάς, έτσι και οι ταπεινόφρονες χαίρουν και εξαιρετικώς ευχαριστούνται εις τας προσβολής και την περιφρόνησιν που τους γίνονται, εαν δηλαδή διά τα μάτια των πολλών θεωρούνται αξιοκαταφρόνητοι.

Όταν, δηλαδή, εξουθενώνονται από τους άλλους, τότε την γνώμην, που έχουν οι ίδιοι δια τον εαυτόν των, την θεωρούν ως ορθήν· διότι όπως έθεώρουν τους εαυτούς των, έτσι και από τους άλλους νομίζονται.

Β'. Εν τω βίω του Οσίου Εφραίμ

ΤΩι ΘΑΥΜΑΣΤΩ. Ἐφραὶμ πρὸς ταῖς ἄλλαις αὐτοῦ ἀρεταῖς καὶ τοῦτο προσήν, τὸ πρὸς τοὺς ἐπαίνους λίαν εὐλαβῶς ἔχειν καὶ τοὺς εὐφημούντας αὐτὸν οὐ μόνον οὐχὶ προσίεσθαι, ἀλλὰ καὶ φανερῶς αὐτοῖς ἄχθεσθαι, ὡς πὲρ τοϊς κωμωδούσιν ἕτερος καὶ λοιδορουμένοις, ἐρυθριᾶν τὲ καὶ εἰς γῆν βλέπειν, καὶ χρόαν μὲν ἄλλοτε ἄλλην τῆς ὄψεως ἀμείβειν, ἰδρώτι δὲ λεπτὸ στάζεσθαι καὶ παντελῶς ἄφωνος μένειν, καθάπερ τῆς αἰσχύνης αὐτὴ τὴν φωνὴν ἐπεχούσης.

Ερμηνεία

Ο ΘΑΥΜΑΣΙΟΣ Έφραίμ κοντά εις τας άλλας αρετάς του είχεν ακόμη και αυτό το προτέρημα: το να φοβάται, δηλαδή, και να αποφεύγη τους επαίνους και όχι μόνον να μη πλησιάζη αυτους που τον επαινούσαν, αλλά και φανερά να δυσαρεστήται μαζί των, όπως ένας άλλος θα έστενοχωρείτο εναντίον εκείνων, που τον γελοιοποιούν και τον περιπαίζουν. Όταν τον επαινούσαν εκοκκίνιζεν, ήλλασσε χρώματα το πρόσωπόν του, περιλούετο από λεπτον ιδρώτα και έμενε τελείως άφωνος, ως εάν η εντροπή να του έκοβε την φωνήν.

Γ'. Εν τω βίω της Οσίας Συγκλητικής

ΕΛΕΓΕΝ ἢ μακαρία Συγκλητικὴ πρὸς τὰς ἔλθουσας πρὸς αὐτήν, ὅτι ὡς πὲρ ὁ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ἡ ψυχὴ ὑπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν ἑαυτῆς τόνον. Τὸ δὲ ἐναντίον, ὡς πὲρ ἢ ψῦξις τὸν ὑπὸ τῆς θερμότητος διαλυθέντα κηρὸν πεπηγότα καὶ συνεστῶτα ἀπεργάζεται, οὕτω καὶ ὕβρις καὶ ἐξουδένωσις συσφίγγει αὐτήν, καὶ στερεῶν ἀποδείκνυσιν «χαίρετε γάρ, φησι, καὶ ἀγαλλιάσθε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι», καὶ τὰ ἑξῆς καὶ ἀλλαχοῦ «ἐν θλίψει ἐπλάτυνας μέ»,

Οὗ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ κεφάλαιον τῶν ἀρετῶν, τὴν ταπεινοφροσύνην ἡ ἐξουδένωσις μάλιστα ἔμποιειν πέφυκε τὴ ψυχή. Νεῦρα γὰρ ὄντως τῆς ταπεινοφροσύνης εἰσὶν οἱ ὀνειδισμοί, αἱ ὕβρεις, αἱ πληγαι, αἱ ἐξουδενώσεις, ἵνα ἀκούσῃ τὶς, ἄφρων, πένης, εὐτελής, ἀσθενής, ἀπρόκοπος ἓν ἔργοις, ἄλογος ἐν προφορᾷ, ἄτιμος ἐν εἴδει.

Ταῦτα καὶ τὰ τοιαῦτα ἰσχυροποιοῦσε τὴν ταπείνωσιν" καὶ ὁ Κύριος ἡμῶν καὶ ἤκουσε καὶ ἔπαθε Σαμαρείτην γὰρ αὐτὸν εἶπον καὶ δαιμόνιον ἔχοντας ἐρραπίσθη, πληγαις ἠκίσθη, κακοῦργος καὶ πλάνος ἐκλήθη. Δεῖ οὖν καὶ ἡμᾶς μιμείσθαι τὴν ἔμπρακτον ταύτην ταπεινοφροσύνην εἰσὶ γὰρ τινὲς καὶ διὰ μὲν τῶν ἐκτὸς σχημάτων ὑποκρίνονται τὴν ταπείνωσιν, καὶ ἐκ τούτου δόξαν θηρώμενοι, ἐκ δὲ τῶν καρπῶν ἐπιγινώσκονται. Καὶ γὰρ ἐπιπολαίως ὑβρισθέντες οὐκ ἤνεγκαν, ἀλλ' εὐθύς, ὡς πὲρ ὄφεις, τὸν ἑαυτῶν ἰὸν ἐξήμεσαν.

Ερμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητική έλεγε προς εκείνας που την επεσκέφθησαν, ότι όπως το κερί λειώνει κοντά εις την φωτιάν, έτσι και η ψυχη παραλύει από τους επαίνους και χάνει την δύναμίν της. Αντιθέτως όπως η ψύξις το κερί, που διελύθη από την θερμότητα, το πήζει και το κάνει στερεόν, έτσι και η ύβρις και η καταφρόνησις

συσφίγγουν την ψυχήν και την στερεώνουν. Διότι, όπως λέγει και η Αγία Γραφή «να χαίρετε και να ευχαριστησθε, όταν σας ονειδίσουν και σας καταδιώξουν» (Ματθ. ε', 11) και τα υπόλοιπα. Και εις άλλο, πάλιν, μέρος «με την θλίψιν με έκανες μεγάλον» (Ψαλμ. δ', 1).

Όχι δε μόνον αυτό αλλά και την σπουδαιοτέραν των αρετών, την ταπεινοφροσύνην δηλαδή, η εξουδένωσις είναι εκείνη που την εμφυτεύει, εκ φύσεως, μέσα εις την ψυχήν. Διότι, πραγματικά, νεύρα της ταπεινοφροσύνης είναι οι χλευασμοί, αι ύβρεις, τα κτυπήματα, η περιφρόνησις, που μας κάνουν το να ακούση κανείς να του λέγουν είσαι άμυαλος, πτωχός, τιποτένιος, άρρωστιάρης, απρόκοπτος εις την εργασίαν, λέγεις ανοησίας, έχεις ελεεινήν μορφήν.

Αυτά και τα παρόμοια δυναμώνουν την ταπείνωσιν αυτά ήκουσε και αυτά έπαθε και ο Κύριός μας. Τον είπαν, δηλαδή, Σαμαρείτην, ότι έχει δαιμόνιον (Ιωάν. η', 48): έρραπίσθη, έπληγώθη, τον είπαν πλάνον και κακούργον. Πρέπει λοιπόν και ημείς να μιμούμεθα αυτήν την έμπρακτον ταπεινοφροσύνην του Κυρίου. Διότι υπάρχουν και μερικοί, που υποκρίνονται τους ταπεινούς με εξωτερικά σχήματα, και επιδιώκουν με αυτό την δόξαν των ανθρώπων, από τους καρπούς όμως γνωρίζονται ότι δεν είναι ταπεινοί επειδή και όταν ολίγον υβρίσθησαν, δεν το ήνέχθησαν, αλλ' αμέσως ως όφεις έχυσαν το δηλητήριόν των.

Δ'. Εν τω βίω του Αγίου Ιωάννου τού Ελεήμονος

ΤΩι ΘΑΥΜΑΣΤΩι Ἰωάννη τὸ Πατριάρχη ἀνεψιὸς ἦν Γεώργιος τούνομα οὗτος, ὑβρισθεῖς παρὰ τινὸς τῶν καπήλων τῆς πόλεως, ἰσχυρῶς τὲ ἐδήχθη καὶ χαλεπώτατα ἤνεγκε τοῦτο γὰρ ἐποίει τὸ πολὺ εἶναι τὸ μεταξὺ ἀμφοτέρων, ἢ τὲ πρὸς τὸν μέγαν αὐτοῦ ἀγχιστεία, καὶ τὸ πάνυ τοῦ ὑβρίσαντος αὐτὸν ἐξουδενωμένον. Προσέρχεται τοίνυν κατὰ μόνας τὰ μακαρίω δάκρυσιν ὁ νέος καὶ συνοχὴ καρδίας τὴν ὕβριν ἀνακλαιόμενος.

Ὁ δὲ οὕτως ἰδὼν ἡττηθέντα τοῦ πάθους, καταψᾶν αὐτὸν ὡς πὲρ καὶ ἀναλαμβάνειν βουλόμενος, καὶ ὅλως ἐτόλμησε, φησί, κατά σου στόμα διάραι; ὅλως καθυβρίσαι τὸν ἐμοὶ φίλτατον; Εὐλογητὸς Κύριος πρᾶγμα ἐπ' αὐτῶ ποιήσω, ὡς τὲ πᾶσαν ἐκπλαγῆναι τὴν Ἀλεξάνδρειαν. "Ὡς δὲ εἶδεν ἔπι τῷ λόγῳ βραχὺ τί ἀνεθέντα τῆς ἀθυμίας, τέκνον, εἶπεν, ἐμοὶ ποθεινότατον" εἰ ταῖς ἀληθείαις βούλει ἔμος ἀνεψιὸς καὶ εἶναι καὶ ὀνομάζεσθαι, παρασκεύασον σαυτὸν οὐ πρὸς βρεῖς μόνον, ἀλλ' εἰ δεῖ τί καὶ πλέον εἰπεῖν, καὶ πρὸς αὐτᾶς τὰς μάστιγας. Ἡ γὰρ ἀληθὴς εὐγένεια οὐκ ἐξ αἵματος καὶ σαρκός, ἀλλ' ἐκ τῆς ψυχικῆς ἀρετῆς οἶδε χαρακτηρίζεσθαι.

ΥΠΟΘΕΣΙΣ Β΄ (Ταπείνωση: Να αγαπούμε την εξουδένωση)

Τὸ τάχος οὖν τὸν τῶν καπήλων ἐξάρχοντα μετακαλεσάμενος, παραγγελία παρήγγειλε μηδέποτε τοῦ λοιποῦ παρὰ τοῦ ἔξυβρικοτος εἰς τὸν ἀνεψιὸν τὸ σύνηθες τέλος λαβεῖν ἢ ἄλλο τί τῶν κατὰ συνήθειαν τὴ Ἐκκλησία παρ' αὐτοῦ διδομέγων ἐφ' οἷς ἐκπλαγέντες τὸ ἀπαράβλητός της τοῦ ἀνδρὸς ἀνεξικακίας, συνήκαν ἅπαντες ταύτην εἶναι τὴν τιμωρίαν, ἣν πᾶσα ἡ Ἀλεξάνδρεια ἐκπλαγήσεσθαι ἔμελλεν.

Ερμηνεία

Ο ΘΑΥΜΑΣΤΟΣ Ιωάννης ο Πατριάρχης είχεν ένα ανεψιόν, τον οποίον έλεγον Γεώργιον. Αυτός λοιπόν υβρίσθη κάποτε από κάποιον ταβερνιάρην της πόλεως από αυτό προσεβλήθη πάρα πολύ και το έφερε βαρέως. Αιτία ήτο η μεγάλη κοινωνική διαφορά, που οφείλετο αφ' ενός μεν εις την συγγένειάν του προς τον μεγάλον Πατριάρχην, αφ' ετέρου δε εις την ασημαντότητα αυτού που τον ύβρισε. Παρουσιάζεται λοιπόν μόνος του εις τον μακάριον και του παραπονείται, με δάκρυα και σφιγμένην την καρδίαν, διά την προσβολής που του έγινε.

Ο Πατριάρχης Ιωάννης, όταν είδε τον ανεψιόν του να έχη νικηθή από το πάθος και επιθυμών να τον παρηγορήση και να του δώση θάρρος, του λέγει: ετόλμησεν αυτός να ανοίξη το στόμα του και να προσβάλη τόσον πολύ τον πολυαγαπημένον μου ανεψιόν; Ας είναι ευλογημένος ο Κύριος θα του κάνω κάτι, που να ξαφνιασθή όλη η Αλεξάνδρεια. Μόλις δε τον είδεν ότι παρηγορήθη ολίγον από την στενοχωρίαν του με τους λόγους αυτούς, προσέθεσε: περιπόθητον παιδί μου, αν πραγματικά θέλης να είσαι και να ονομάζεσαι ανεψιός μου, να είσαι προετοιμασμένος όχι μόνον να δέχεσαι ύβρεις, αλλά, αν πρέπει και κάτι παραπάνω να ειπώ, ακόμη και μαστιγώσεις. Διότι η πραγματική ευγένεια δεν χαρακτηρίζεται από την σαρκικήν συγγένειαν, αλλά από την αρετήν της ψυχής.

Εν συνεχεία εκάλεσεν αμέσως τον επόπτην των ταβερνιάρηδων και του παρήγγειλε ποτε πλέον να μη δεχθή την συνηθισμένην συνδρομήν ή οποιανδήποτε άλλην εισφορών για την Εκκλησίαν, από αυτόν, ο οποίος εξύβρισε τον ανεψιόν του. Με αυτό εθαύμασαν την ασύγκριτον ανεξικακίαν του Αγίου όλοι και ήννόησαν ότι αυτή ήτο η τιμωρία του ταβερνιάρη, διά την οποίαν επρόκειτο να απορήση ολόκληρος η Αλεξάνδρεια.

Ε'. Εν τη διηγήσει των περιόδων του Αγίου Ιωάννου του Θεολόγου

Ο ΑΠΟΣΤΟΛΟΣ Ἰωάννης διασωθεῖς ἐκ τοῦ φοβεροῦ ἐκείνου ναυαγίου μετὰ τεσσαράκοντα ἡμέρας καὶ ἐκβρασθεῖς ὑπὸ τῆς θαλάσσης πλησίον Ἐφέσου, ὡς εὗρε κάμε τὸν Προχορὸν ἐν τῷ αἰγιαλῷ ἐκείνη στάμενον, καθὼς μοὶ πρὸ τοῦ ναυαγίου παρήγγειλε, περιχυθεῖς μου καὶ εὐχαριστήσας τῷ Θεῷ, εἶτα παραλαβῶν μέ, εἰσήλθομεν εἰς "Ἔφεσον καὶ κατελύσαμεν πρὸς τὸ καλουμένη τῆς Ἀρτέμιδος τόπω, ἔνθα καὶ βαλανεῖον ἦν Διοσκορίδους τινὸς πρώτου της πόλεως. Εἶπεν οὖν μου καὶ Ἰωάννης τέκνον Προχορέ, μηδεὶς τῶν ἐν τῇ πόλει ταύτη γνώτω τίνες ἔσμεν, καὶ δι' ἣν τινὰ αἰτίαν ἐνταύθα ἤλθομεν, ἕως ἂν ὁ Κύριος ἀποκαλύψη ἡμᾶς καὶ σχῶμεν παρρησίαν.

Ταῦτα δὲ αὐτοῦ λαλοῦντος, ἐπέστη Ρωμάνα, γύναιον τί σοβαρὸν ὑπὸ τὴν ἐξουσίας τοῦ Διοσκορίδους τελοῦν καὶ τὴν τοῦ βαλανείου αὐτοῦ ποιούμενος πρόνοιαν" ἣν δὲ τοῖς πάσι φευκτον, διὰ τὴν ὑπερβολὴν τῆς ὠμότητος. Αὕτη προνοοῦσα τοῦ βαλανείου, εἶδεν ἡμᾶς καὶ λογισαμένη ὅσον ἀπὸ τῆς εὐτελείας τοῦ σχήματος, ἄρτου τὲ εἶναι ἐπιδεεῖς καὶ τὸ βαλανείω ταύτης γενέσθαι χρησίμους διὰ τὴν ἀπορίαν, μηδὲ μεγάλους μισθοὺς ἀπαιτήσοντας, παραυτίκα λέγει τὴ Ἰωάννη πόθεν ἐστέ, ἄνθρωπε; καὶ ποίας θρησκείας; “Ο δὲ ἔφη ἐξ ἀλλοδαπῆς τυγχάνομεν γῆς, Ἰουδαῖοι τὴν ρίζαν, Χριστιανοὶ τὴν χάριν, ναυαγίου ἄρτι διισωθέντες. Ἡ δὲ πρὸς αὐτὸν θέλεις μου καίειν αὐτὸς μὲν τὴν κάμινον τοῦ βαλανείου, καὶ σὸς δὲ ἑταῖρος τὸ ἔνδον ἔργον τοῦ λουτροῦ ἐπιτελεῖν; καὶ ὁ Ἰωάννης κατέθετο.

Εἰσήγαγεν οὖν ἡμᾶς εὐθὺς εἰς τὸ βαλανεῖον καὶ ἐν τοῖς τοιούτοις κατέταξεν ἔργοις ἐπεχορήγει δὲ ἡμὶν εἰς τροφὴν ἡμερήσιον λίτρας ἄρτου τρεῖς καὶ ὀβολοὺς τέσσαρας. Τὴ οὖν τετάρτη ἡμέρα τῆς ἐκεῖσε διατριβῆς ἡμῶν ἀτεχνότερον πῶς ὁ Ἰωάννης περὶ τὸ ἔργον τῆς καμίνου διατεθεῖς, τῆς συμμετρίας ἐξέπεσε τῆς ἐκκαύσεως. .

Ἐλθοῦσα δὲ ἡ Ρωμάνα καὶ κατανοήσασα τοῦτο, ἀναίδης τὸν Ἰωάννην αὐτοχειρία ἐτυπτησε καὶ τὸ ἐδάφει προσρήξασα διελοιδορεῖτο βοώσα" πελάτα, φυγόπολι, κακὴ τύχη, ἐξόριστε, εἰς οὐδὲν χρησιμεύειν δυνάμενος, διατὶ τοιούτου ἔργου ὑπῆλθες τὴν πρόνοιαν; ἐπιθέτης εἰ ὡς ἔοικεν ἐγὼ διελέγξω τὰς μηχανᾶς σου “Ρωμάνη δουλεύεις, τὴ καὶ μέχρι Ρώμης διαβοήτως δοῦλος ἔμος εἰ τοῦ λοιποῦ. Μὴ οἷου διαφυγεῖν τῆς σῆς κυρίας τὰς χεῖρας, εὔμαρως δυναμένης σὲ συλλαβεῖν, εἰ πότε τοῦτο τολμήσειας, καὶ κακηγκάκως ἐξαναλώσαι ἀμειψαι οὖν σου τὴν κακότροπον γνώμην, καὶ ὡς πὲρ τὴ τῆς τροφῆς χρεία ἤδεως οὕτω καὶ τὸ ἔργο σου πρόσεχε, πρὶν οἰκτιρμῶν δίχα διαφθαρῆς.

Ὁ δὲ Ἰωάννης πρὸς αὐτὴν κυρία, γεωστὶ ἀπηρξάμην τοῦ ἔργου, ἀμαθὴς ὢν τούτου τὸ πρότερον ὁ χρόνος δέ, πιστεύσας τὴν πεῖραν, καὶ τὸ χρησιμεύειν χαρίσεται. Ἐπὶ

τούτοις ἀπῆλθε τὸ γύναιον ἐμοὶ δὲ βαρυτάτη ἀθυμίας ἀχλὺς κατεσκεδάσθη ἐπὶ τοῖς τῷ Ἰωάννῃ ἀθρόον οὕτω συναχθείσι καὶ ἀπηνῶς καὶ ταῦτα, μηδὲ τέτταρας ὅλας ἡμέρας ἡμῶν ἐν τῷ τόπῳ διηνυκότων. .

Γνοὺς δὲ ὁ Ἰωάννης τὸ πνεύματι, εἶπε πρὸς μὲ τέκνον Προχορέ, διστάσαντός μου τοῦ λογισμοῦ, ὅτε μοὶ ἡ Ἀσία ἀπεκληρώθη, γινώσκεις οἵω ναυαγίω περιπεπτώκαμεν οὐ μόνον δὲ ἡμεῖς, ἀλλὰ καὶ οἱ ἀναίτιοι οἱ ἐν τῷ πλοίῳ, τῆς καταδίκης συμμετέσχον τῆς ἔμης, ναυαγήσαντες κακείνοι κὰν προνοία τοῦ Θεοῦ διεσώθησαν. "Ὅπως τὲ ἐποίησα τεσσαράκοντα ἡμέρας ἐν τῇ θαλάσσῃ, παιδευόμενος πείθεσθαι Θεῶ μᾶλλον ἢ λογισμοὺς ἀνθρωπίνοις, ἕως ὁ Θεὸς οἰκείους σπλάγχνοις ἐπικαμφεῖς ἀπέδωκε τὴ ξηρά. Ταύτ' οὖν εἰδότα σε, οὐκ ἀδημονεῖν, ἀλλ' εὐχαριστεῖς δεῖ ἐπὶ τοὺς πειρασμούς, καὶ μηδὲ πειρασμὸν ἡγείσθαι γυναίου ἑνὸς ψυχρᾶς ἀπειλᾶς ἀπελθε οὖν εἰς τὸ πιστευθὲν σοῖ ἔργον, καὶ ποίει αὐτὸ μετὰ πάσης ἐπιμελείας ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ποιητὴς τῶν ἁπάντων, ἡμὶν γενόμενος ὑπογραμμὸς καὶ τύπος καὶ τῆς ὑπομονῆς τὸ κέρδος παραδεικνύων, ἔφη" «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχᾶς ὑμῶν».

Τούτοις τοῖς λόγοις ἀπαντλήσας τὸ τῆς ἀθυμίας πάθος, ἀνεκτήσατο μέ. Τὴ οὖν ἐπαύριον ἦλθεν ἡ Ρωμάνα καὶ λέγει τὰ Ἰωάννη πολλὰ πάλιν ἤκουσα κατά σου, λεγόντων ὅτι τὸ ἔργο σου οὐ προσέχεις καὶ ὡς κακοθελῶς τοῦτο ποιεῖς, ὅπως ἀπολύσω" ἀλλ' εἰς μάτην ταῦτα διανοὴ καὶ κατὰ τῆς σαυτοῦ τεχνάζῃ κεφαλῆς. Εἰ γὰρ ἀληθῶς ταῦτα οὕτως ἔχοντα διαγνῶ, οὐδὲ ἕν των μελῶν σου χρησιμεύειν σου καταλείψω, ἄρδην δὲ πάντα συντρίψω καὶ τέλεον ἀχρειώσω.

Ἐπὶ τούτοις οὐκ ἀντεῖπεν ὁ Ἰωάννης ἢ δὲ περιδεὲς μᾶλλον καὶ ἰδιωτικός το πρᾶος καὶ ἡσύχιον λογισαμένη τοῦ Ἰωάννου, καταπληκτικώτερον αὐτῶ προσεφέρετο, διαπειλοῦσα καὶ λέγουσα οὐκ εἴ μοῦ δοῦλος, κακότροπε; τί λέγεις; οὐχ ὁμολογεῖς τὴν σὴν τύχην; εἰπὲ ἀποκρίθητι μοί. Καὶ ὁ Ἰωάννης ναί, δοῦλοι 5πάρχομεν ἐγὼ τὲ καὶ ὁ σὺν ἔμοι Προχορός. Ἐπιλαβομένη δὲ τούτων τῶν ρημάτων, εὐθὺς κατὰ τῆς ἐλευθερίας ἡμῶν ἐχώρησε καὶ δικολόγω τινὶ προσελθοῦσα τὰ τῆς ἐπιβουλῆς ἐξηρτύετο λέγουσα. Δύο καταλειφθέντες μοὶ δοῦλοι παρὰ τῶν γονέων ἀπέδρασαν ἐπὶ πολλὰ ἔτη, ὧν δὴ τῷ χρόνῳ καὶ τὰς ὠνᾶς προσαπώλεσα νῦν δὲ παρεγένοντο πρὸς μὲ καὶ ὁμολογούσι δοῦλοί μου ὑπάρχειν" δύναμαι οὖν ἑτέρας ὤνας ποιήσασθαι; Ὁ δὲ δικολόγος ἔφη" ἐὰν δοῦλοί σου τυγχάνειν ἐκ προγόνων ὁμολογήσωσιν ἐπὶ μαρτύρων, δύνασαι τοῦτο ποιῆσαι.

Γνοὺς δὲ ταῦτα ὁ Ἰωάννης τὸ πνεύματι, εἶπε πρὸς μὲ τέκνον Προχορέ, γίνωσκε ὅτι τὸ γύναιον τοῦτο ὁμολογίαν ἔγγραφον ἀπαιτεῖ ἡμᾶς, δούλους ταύτης εἶναι μηχανωμένη ἐπὶ μαρτύρων κυρώσαι. Μὴ οὖν σχὴς λύπην ἐν τῇ καρδίᾳ σου τούτου ἕνεκεν, μᾶλλον δὲ χαῖρε διὰ γὰρ τούτου ὁ Θεὸς δοξασθήσεται καὶ τάχιον δείξει τίνες ἐσμέν.

ΥΠΟΘΕΣΙΣ Β΄ (Ταπείνωση: Να αγαπούμε την εξουδένωση)

Ας βιάσωμεν, λοιπόν, και ημείς τους εαυτούς μας, αγαπητοί, διά να επιτύχωμεν και την Βασιλείαν των Ουρανών και τον μακαρισμός του Θεού. Οπως είπε, θα είναι «μακάριοι οι δούλοι εκείνοι, που όταν έλθη ο Κύριος θα τους εύρη να είναι επαγρυπνούντες» (Λουκ. ιβ', 37). Όχι δε μόνον τους εαυτούς μας, αλλά και τους άλλους να προτρέπωμεν και να νουθετώμεν, με αγάπην, διά να έχουν φόβον Κυρίου και να επαυξάνωμεν μεταξύ μας την προθυμίαν εις την δοξολογίαν του Θεού και Σωτήρος ημών Ιησού Χριστού έτσι όχι μόνον χάριν των εαυτών μας, αλλά και χάριν της ωφελείας του πλησίον θα απολαύσωμεν μεγάλας αμοιβας από Αυτόν, που είπε: «έφ' όσον εκάματε το καλόν εις ένα εκ των έλαχίστων αδελφών μου, εις εμέ το εκάματε» (Ματθ. κε΄, 40).

ΣΤ'. Του Αββά Ησαΐου

ΕΑΝ ΑΝΑΣΤΗΣ ἐν τῷ κελλίῳ σου ποιῆσαι τὴν λειτουργίας σου, ὅρα μὴ καταφρονήσης ἐν ἀμελεῖᾳ, καὶ ἀντὶ τοῦ τιμᾶν τὸν Θεὸν εὑρεθῆς παροργίζων αὐτόν, ἀλλὰ στήθι ἓν φόβο Θεοῦ. Μὴ κλίνης ἑαυτὸν εἰς τὸν τοῖχον καὶ μὴ χαυνώσης τοὺς πόδας σου ἱστάμενος εἰς τὸν ἕνα καὶ κουφίζων τὸν ἄλλον ὡς οἱ ἄφρονες ἀνθίστα δὲ τὴν καρδίαν σου μὴ περιεργάζεσθαι ἐν τοῖς θελήμασί σου, ἵνα ὁ Θεὸς προσδέξηται τὴν θυσίαν σου.

Ερμηνεία

ΕΑΝ ΣΗΚΩΘΗΣ την νύκτα εις το κελλί σου, διά να κάμης την προσευχήν σου, πρόσεχε μη τυχόν δείξης καταφρόνησιν πρός τήν ιερότητα της στιγμής με την αμέλειάν σου, και αντί να τιμάς τον Θεόν, τον παροργίζεις. Στάσου με φόβον Θεού. Να μη ακουμπάς εις τον τοίχον και να μη ξεκουράζης τους πόδας σου, με το να στηρίζεσαι πότε εις τον ένα και πότε εις τον άλλον, όπως κάμνουν οι άφρονες. Να συγκρατής την καρδίαν σου να μη απασχολήται με τα θελήματά σου, διά να δεχθη ο Θεός την θυσίαν σου.

Ζ'. Εκ της Διατάξεως Πέτρου και Παύλου

ΕΥΧΑΣ ἐπιτελεῖτε ὄρθρω, καὶ τρίτη ὥρα, καὶ ἕκτη, καὶ ἐνάτη, καὶ ἑσπέρα, καὶ ἄλεκτοροφωνια. Ὄρθρω μέν, ὅτι ἔφωτισεν ἡμᾶς ὁ Κύριος, παραγωγῶν τὴν νύκτα καὶ ἐπαγαγὼν τὴν ἡμέραν τρίτη δέ, ὅτι ἐν αὐτῇ τὴν ἀπόφασιν ἀπὸ Πιλάτου ἔλαβεν ὁ Χριστὸς ἕκτη δέ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη ἐνάτη δέ, ὅτι πάντα κεκίνητο τοῦ Δεσπότου ἐσταυρωμένου, φρίττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων καὶ μὴ φέροντα τῆς τοῦ Κυρίου ὕβριν. Ἐφ' ἑσπέρα δέ, ὅτι ἡμὶν ἀνάπαυσιν δέδωκε τῶν καθημερινῶν κόπων τὴν νύκτα ἄλεκτρυονων δὲ κραυγή, διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίας τῆς ἡμέρας, εἰς ἐργασίας τῶν τοῦ φωτὸς ἔργων.

Ερμηνεία

ΝΑ ΕΠΙΤΕΛΗΤΕ ευχάς εις τον όρθρον, και εις την τρίτην ώραν[(*)], και εις την έκτην, και εις την ενάτην και το εσπέρας και κατά τα μεσάνυκτα, όταν λαλούν οι πετεινοί. Εις

[(*)] Οι ιεροί συγγραφείς της Ρωμαϊκής εποχής διαιρούσι συνήθως το ημερονύκτιον εις ημέρας και νύκτα, εκάστην υποδιαιρουμένην καθ' όλας τας εποχές του έτους εις δώδεκα ώρας. Κατά την εποχής εκείνης δεν είχεν εισέτι εφαρμοσθή το σημερινόν σύστημα μετρήσεως του χρόνου, όσον αφορά την υποδιαίρεσιν του

μεν τον όρθρον, διότι μάς εφώτισεν ο Κύριος, έδιωξε την νύκτα και έφερε την ημέραν. Την τρίτην ώραν, διότι κατ' αυτήν έλαβεν ο Χριστός από τον Πιλάτον την απόφασιν της Σταυρώσεως την έκτην ώραν, διότι κατ' αυτήν εσταυρώθη· την ενάτην ώραν, διότι κατ' αυτήν όλα εσείσθησαν, επειδή έσταυρώνετο ο Κύριος, από φρίκην διά την τόλμην των ασεβών Ιουδαίων και διότι δεν υπέφερον την προσβολήν του Κυρίου.

Κατά την εσπέραν, διότι μάς έδωσεν ως ανάπαυσιν από τους καθημερινούς κόπους την επερχομένην νύκτα. Τα μεσάνυκτα, τέλος, όταν φωνάζουν οι πετεινοί, διότι από την ώραν εκείνην αναγγέλλεται η εμφάνισης της ημέρας, δια να εργασθώμεν τα έργα του φωτός.

ημερονυκτίου ήτοι των 24 ωρών σταθεράς εκάστης τούτων διαρκείας ήτοι του 1/24 του χρονικού διαστήματος το οποίον απαιτείται διά την συμπλήρωσιν του ημερονυκτίου κύκλου. Τότε η διάρκεια των ωρών της ημέρας δεν ήτο ή αυτή με την διάρκειας των ωρών της νυκτός διότι, ως είπομεν, και η ημέρα και η νυξ υποδιηρούντο ιδιαιτέρως εις 12 ώρας εκάστη, επομένως και εκάστη ώρα αποτελούσε το 1/12 του χρονικού διαστήματος το οποίον άπητείτο διά μέν την ημέραν από της ανατολής μέχρι δύσεως του ηλίου, διά δε την νύκτα από της δύσεως μέχρι της ανατολής αυτού. Κατά συνέπειαν μόνον κατά την ισημερίαν, ότε η διάρκεια της τε ημέρας και της νυκτός είναι η αυτή και το μήκος των ωρών εκάστης τούτων ήτο το αυτό. Τούτο επίσης συμβαίνει και εις την περιοχής του Ισημερινού. Διά τας εντεύθεν όμως και εκείθεν του ισημερινού περιοχάς το μήκος της ημέρας και της νυκτός ποικίλλει εκ της πλαγιότητος του ηλίου κατά τας διαφόρους εποχές του έτους.

Και η μεν αρίθμησις των ωρών της ημέρας ήρχιζεν από της ανατολής του ηλίου και ετερματίζετο κατά την δύσιν αυτού, ήτις ωνομάζετο πάντοτε δωδεκάτη ώρα της ημέρας, η δε αρίθμησις των ωρών της νυκτός ήρχιζεν από της δύσεως του ηλίου και ετερματίζετο κατά την ανατολήν ότε συνεπληρούντο αι δώδεκα ώραι της νυκτός. Κατά ταύτα το μέν θέρος, ότε η διάρκεια της ημέρας είναι μεγάλη, και αι ώραι των θερινών ημερών ήσαν μεγαλυτέρας διαρκείας, αι δε ώραι της νυκτός ήσαν μικρότεραι, εφ' όσον μικροτέρα είναι και η νύς. Τον χειμώνα εξ αντιθέτου, ότε η ημέρα είναι μικρά και αι ώραι ήσαν μικρότεραι, την δε νύκτα μεγαλύτεραι αναλόγως της διαρκείας της νυκτός. "Οταν λοιπόν ακούωμεν εν ταις Αγίας Γραφείς δωδεκάτην ώραν της ημέρας εννοούμεν πάντοτε την ώραν της δύσεως του ηλίου, έκτη δε ώρα της ημέρας είναι η μεσημβρία, ενώ έκτη της νυκτός το μεσονύκτιον.

Εκτός της εις δώδεκα ώρας υποδιαιρέσεως της ημέρας και άλλας δώδεκα της νυκτός υπήρχε κατά την εποχήν της εις τον κόσμον παρουσίας του Κυρίου ημών Ιησού Χριστού και άλλη εισέτι υποδιαίρεσις αυτών εις τέσσαρα τέταρτα. Και της μέν ημέρας το πρώτον τέταρτον εκαλείτο ώρα τρίτη ή πρωί και αντιστοιχεί πρός την σημερινήν 9ην π.μ. περίπου, το δεύτερον τέταρτον εκαλείτο ώρα έκτη ή μεσημβρία ή καύμα, όπως ελέγετο εις τας θερμές περιοχάς, και αντιστοιχεί πρός τήν σημερινήν 12ην περίπου μεσημβρινήν, το τρίτον τέταρτον εκαλείτο ενάτη ώρα ή απόγευμα και αντιστοιχεί προς την σημερινήν 3ην περίπου μετά μεσημβρίαν, το δε τεταρτον είναι η δωδεκάτη ώρα και εκαλείτο δειλινόν. Της νυκτός δε το πρώτον τέταρτον εκαλείτο πρώτη φυλακή ή Εσπέρα, το δεύτερον δευτέρα φυλακή ή Μεσονύκτιον, το τρίτον τρίτη φυλακή ή 'Αλεκτοροφωνία και το τέταρτον τετάρτη φυλακή ή "Όρθρος, ήτο το χρονικό διάστημα προ της ανατολής του ηλίου, η αυγή, τα χαράματα όπως λέγομεν σήμερον. Εις τας ώρας ταύτας θεσπίζουν διά της διαταγής των ταύτης ο "Αγιοι Απόστολοι Πέτρος και Παύλος να επιτελούμεν τας προσευχάς μας.

ΥΠΟΘΕΣΙΣ ΙΑ'
(Περί ψαλμωδίας και προσευχής και ευταξίας)

Περὶ ψαλμῳδίας καὶ προσευχῆς καὶ τῆς ἐν αὐταῖς εὐταξίας.

Περί ψαλμωδίας και προσευχής και της ευταξίας, η οποια πρέπει να τηρήται κατ' αυτάς.

Α'. Παλλαδίου

Ο ΑΒΒΑΣ Παμβῶ ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ πωλῆσαι τὸ ἐργόχειρος αὐτοῦ ποιήσας δὲ ἡμέρας ἑξ καὶ δέκα (ὡς ἔλεγεν ἡμίν), τὰς νύκτας ἐκάθευδεν ἐν τῷ νάρθηκι τῆς Ἐκκλησίας ἐν τῷ ναῷ τοῦ "Ἁγίου Ἀποστόλου Μάρκου καὶ ἰδὼν τὴν ἀκολουθίας τῆς Ἐκκλησίας, ἀνέκαμψε πρὸς τὸν γέροντα, ἔμαθε δὲ καὶ τροπάρια. Λέγει οὖν αὐτω ὁ γέρων: δρῶ σε, τέκνον, τεταραγμένον" μὴ τὶς πειρασμός σου συνέβη ἐν τῇ πόλει; 'Ἀποκρίνεται ὁ ἀδελφὸς φύσει, Ἀββᾶ, ἐν ἀμελεῖᾳ δαπανῶμεν τὰς ἡμέρας ἡμῶν ἐν τῇ ἐρήμῳ ταύτη, καὶ οὔτε κανόνας, οὔτε τροπάρια ψάλλομεν ἀπελθῶν γὰρ ἓν Ἀλεξανδρεία εἶδον τὰ τάγματα τῆς Ἐκκλησίας πῶς ψάλλουσι καὶ ἐν λύπῃ γέγονα πολλή, διότι οὐ ψάλλομεν καὶ ἡμεῖς κανόνας καὶ τροπάρια.

Λέγει αὐτῶ ὁ γέρων· οὐαὶ ἡμίν, τέκνον, ὅτι ἔφθασαν αἳ ἡμέραι, ἐν αἷς καταλείψουσιν οἱ Μοναχοὶ τὴν στερεῶν τροφὴν τὴν διὰ τοῦ Ἁγίου Πνεύματος ρηθείσαν, καὶ ἐξακολουθήσουσιν ἄσμασι καὶ ἤχοις ποία γὰρ κατάνυξις, ποία δάκρυα τίκτονται ἐκ τῶν τροπαρίων, ὅτε ἐν Ἐκκλησίαις τὶς ἵσταται ἢ ἐν κελλίῳ καὶ ὑψοὶ τὴν φωνὴν αὐτοῦ ὡς οἱ βόες; Εἰ γὰρ ἐνώπιόν του Θεοῦ παριστάμεθα, ἐν πολλῇ κατανύξει ὀφείλομεν παρίστασθαι, καὶ οὐχὶ ἐν μετεωρισμῷ. Καὶ γὰρ οὐκ ἐξῆλθον οἱ Μοναχοὶ ἐν τῇ ἐρήμῳ ταύτη ἵνα παρίστανται τῷ Θεῷ καὶ μετεωρίζωνται καὶ μελωδῶσιν ᾄσματα καὶ ρυθμίζωσιν ἤχους καὶ σείωσι χεῖρας καὶ μεταφέρωσι πόδας, ἀλλ' ὀφείλομεν ἐν φόβο Θεοῦ καὶ τρόμο, δάκρυσι τὲ καὶ στεναγμούς, μετὰ εὐλαβοῦς καὶ εὐκατανύκτου καὶ μετρίας καὶ ταπεινῆς φωνῆς τὰς προσευχᾶς τῷ Θεῷ προσφέρειν.

Ἰδοὺ γὰρ λέγω σοί, τέκνον, ὅτι ἐλεύσονται ἡμέραι, ὅτε φθερούσιν οἱ Χριστιανοὶ τὰς βίβλους τῶν Ἁγίων Εὐαγγελίων καὶ τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν θεσπεσίων Προφητῶν, λειαίνοντες τὰς Ἁγίας Γραφᾶς, καὶ γράφοντες τροπάρια καὶ Ἑλληνικοὺς λόγους, καὶ χυθήσεται ὁ νοῦς εἰς ταῦτα, ἐκείνων δὲ ἀποστήσεται. Καὶ διὰ τοῦτο οἱ

ΥΠΟΘΕΣΙΣ ΙΑ΄ (Περί ψαλμωδίας και προσευχής και ευταξίας)

Πατέρες ἡμῶν εἰρήκασιν, ἵνα οἱ ἐν τῇ ἐρήμῳ ταύτη ὄντες μὴ γράφωσι τοὺς βίους καὶ λόγους τῶν Πατέρων ἓν μεμβράναις, ἀλλ' ἐν χαρτώοις. Μέλλει γὰρ ἡ ἔρχομενη γενεὰ λειαίνειν τοὺς βίους τῶν Πατέρων καὶ γράφειν κατὰ τὰ θελήματα αὐτῶν μεγάλη γὰρ ἡ ἔρχομενη ἀνάγκη.

Καὶ εἶπεν αὐτῶ ὁ ἀδελφὸς τί οὖν; ἀλλαγήσονται τὰ ἔθη καὶ αἱ παραδόσεις τῶν Χριστιανῶν καὶ οὐκ ἔσονται ἱερεῖς ἐν τῇ Ἐκκλησίᾳ, ἵνα ταῦτα γένηται ; Καὶ εἶπεν ὁ γέρων: ἐν τοῖς τοιούτοις καιροὺς ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἔσται θλῖψις οὐκ ὀλίγη, ἐθνῶν ἐπιδρομαι καὶ λαῶν κινήσεις, βασιλέων ἀκαταστασία, ἱερέων σπατάλη, μοναζόντων ἀμέλεια. Ἔσονται οἱ ἡγούμενοι καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας καὶ τοῦ ποιμνίου, πρόθυμοι πάντες καὶ σπουδαῖοι εἰς τὰς τραπέζας, μαχιμάριοι, ὀκνηροὶ εἰς τὰς εὐχὲς καὶ εἰς τὰς καταλαλιᾶς πρόθυμοι. Πρόχειροι εἰς τὸ κατακρίναι τοὺς βίους τῶν γερόντων καὶ τοὺς λόγους αὐτῶν μήτε μιμούμενοι μήτε ἀκούοντες, ἀλλὰ μᾶλλον λοιδοροῦντες καὶ λέγοντες, ὅτι εἰ ἦμεν καὶ ἡμεῖς ἐν ταῖς ἡμέραις αὐτῶν ἤγωνισαμεθα ἂν καὶ ἡμεῖς.

Οἱ δὲ Ἐπίσκοποι ἐν ταῖς ἡμέραις ἐκείναις ἔσονται αἰδούμενοι πρόσωπα δυνατῶν, κρίνοντες κρίσεις ἕνα δώροις, μὴ ὑπερασπίζοντες πτωχοὺς ἐν κρίματι, θλίβοντες χήρας, ὀρφανοὺς καταπονοῦντες εἰσελεύσεται δὲ καὶ εἰς τὸν λαὸν ἀπιστία. μῖσος, ἔχθρα, ζῆλος, ἔριθεια, κλοπαί, μέθαι. Καὶ εἶπεν ὁ ἀδελφὸς τί οὖν ποιήσει τὶς ἐν τοῖς καιροὺς καὶ χρόνοις ἐκείνοις; Καὶ εἶπεν ὁ γέρων τέκνον, ἐν ταῖς τοιαύταις ἡμέραις καὶ σῴζων σῴζει τὴν ἑαυτου ψυχήν, καὶ μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ερμηνεία

Ο ΑΒΒΑΣ Παμβώ απέστειλε τον μαθητής του να πωλήση το εργόχειρόν του. 'Απουσίασε δε δέκα εξ ημέρας, όπως μας έλεγε. Κατά τας νύκτας εκοιμάτο εις τον νάρθηκα του ναού του Αγίου Αποστόλου Μάρκου. Και αφού είδε πώς γίνεται η ακολουθία εις τας Εκκλησίας των πόλεων, έμαθε δε και μερικά τροπάρια, επέστρεψεν εις τον Γέροντά του.

- Τέκνον μου, - του λέγει ο Γέρων - σε βλέπω ταραγμένον μήπως σου συνέβη κανένας πειρασμός εις την πόλιν;

– Πραγματικώς, Αββά, – απήντησεν ο αδελφός – έξοδεύομεν άνωφελώς τας ημέρας μας είς αυτήν την έρημον και δεν ψάλλομεν ούτε κανόνας, ούτε τροπάρια. Τώρα δηλαδή που επήγα εις την Αλεξάνδρειαν είδα πώς ψάλλουν οι ψάλται εις την Εκκλησίας και ελυπήθηκα πολύ, διότι δεν ψάλλομεν και ημείς κανόνας και τροπάρια.

Ο Γέρων τότε του απαντά:

- Αλλοίμονον τέκνον μου, διότι έφθασαν αι ημέραι, κατά τας οποίας θα εγκαταλείψουν οι Μοναχοί την στερεαν τροφήν, η οποία παρει δόθη εις αυτούς διά του Αγίου Πνεύματος, και θα ακολουθήσουν άσματα και ήχους. Διότι ποία κατάνυξις, ποία δάκρυα γεννώνται από τα τροπάρια, όταν στέκη κανείς εις τας Εκκλησίας ή εις το κελλί του και ψώνει την φωνήν του όπως τα βόδια; Διότι εφ' όσον στεκόμεθα εμπρός εις τον Θεόν, πρέπει να στέκωμεν με πολλήν κατάνυξιν και να μη περιπλανάται άσκοπα εδώ και εκεί ο νους μας. Βεβαίως οι Μοναχοί δεν έβγήκαν εις αυτήν την έρημον ίνα, όταν παρίστανται ενώπιον του Θεού, φουσκώνουν την διάνοιά των με το να ψάλλουν άσματα και να ρυθμίζουν ήχους και να κινούν τας χείρας και να μετακινούν τους πόδας. Απ' εναντίας, οφείλομεν, με φόβον Θεού και με τρόμον, με δάκρυα και στεναγμούς να προσφέρωμεν τας προσευχάς μας εις τον Θεόν και η φωνή μας να είναι σοβαρά, κατανυκτική, μετρία και ταπεινή.

Διότι σε διαβεβαιώ, τέκνον μου —συνέχισεν ο 'Αββάς Παμβώότι θα έλθουν ημέραι, κατά τας οποίας οι Χριστιανοί θα καταστρέψουν τα βιβλία των Αγίων Ευαγγελίων και των Αγίων Αποστόλων και των θεσπεσίων Προφητών, με το να αποξέουν από τας μεμβράνας τας Αγίας Γραφάς και να γράφουν επάνω εις αυτάς τροπάρια και Ελληνικούς λόγους και ο νους των, τότε, θα αφοσιωθή εις αυτά και θα απομακρυνθη από τας Αγίας Γραφάς. Δι' αυτό οι Πατέρες έδωσαν έντολήν να μη γράφουν, αυτοί που ασκητεύουν εις την έρημον αυτήν, τους βίους και τους λόγους των Πατέρων είς μεμβράνας, αλλ' εις χάρτην. Διότι πρόκειται η έρχομένη γενεά να αποξέη από τις μεμβράνας τους βίους των Πατέρων και να αναγράφη αυτά που θα θέλει. Θα είναι δηλαδή μεγάλη η έρχομένη ανάγκη.

Ήρώτησε, πάλιν, ο αδελφός τον 'Αββάς Παμβώ:

- Τί λοιπόν; Θα αλλάξουν τα έθιμα και αι παραδόσεις των Χριστιανών; Και δεν θα υπάρχουν ιερείς εις την Εκκλησίαν, διά να συμβούν αυτά;

Και ο Γέρων απήντησεν:

- Εις τους καιρούς αυτούς θα ψυχρανθή η αγάπη των πολλών και θα υπάρξη θλίψις όχι όλίγη, επιθέσεις εθνών και μεταναστεύσεις λαών, ακαταστασία βασιλέων, σπατάλη ιερέων, αμέλεια μοναζόντων. Οι Ηγούμενοι θα αδιαφορούν δια την σωτηρίαν των και του ποιμνίου των, όλοι θα είναι πρόθυμοι να τρέχουν εις τα τραπέζια, θα είναι φιλόνικοι, οκνηροι εις την προσευχήν και πρόθυμοι εις την καταλαλιάν, έτοιμοι να κατακρίνουν τους βίους των Γερόντων και τα λόγια των, χωρίς

να τους προσέχουν ή να τους μιμούνται, αλλά μάλλον να τους κατηγορούν και να λέγουν, ότι αν είμεθα και ημείς εις την εποχήν των και ημείς θα ήγωνιζόμεθα.

Οι Επίσκοποι –συνέχισεν ο Αββάς Παμβώ- θα φοβούνται, κατ' εκείνας τας ημέρας, τους ισχυρούς και θα κρίνουν ανάλογα με τα δώρα που θα λαμβάνουν από αυτούς δεν θα υπερασπίζουν τους πτωχούς, όταν ζητούν το δίκαιόν των, θα στενοχωρούν τας χήρας, θα καταπιέζουν τα ορφανά. Και εις τον λαόν θα έλθη απιστία, μίσος, έχθρα. φθόνος, φιλονεικία θα συνηθίσουν οι άνθρωποι εις τας κλοπές και την μέθην.

Και ο αδελφός ήρώτησεν εκ νέου:

- Και τι θα πρέπει να κάνη κανείς εις εκείνους τους χρόνους και τους καιρούς;

Εις αυτό απήντησεν ο Γέρων:

– Τέκνον μου, εις τας τοιαύτας ημέρας όποιος θέλει να σωθεί ας σώζη την ψυχήν του και θα αναδειχθή μέγας εις την Βασιλείαν των Ουρανών.

Β'. Εν τω βίω του Οσίου Λουκά του Νέου

Ο ΟΣΙΟΣ Λουκᾶς παρέβαλε πότε πρὸς τινὰ τῶν συνήθων (σπουδαῖος δὲ καὶ οὗτος καὶ ποίμνης φιλοθέων ἀνδρῶν ἐξηγούμενος). Ὡς δὲ τρίτης ἡμέραν αὐτῳ συνδιήγαγε, πόθος αὐτὸν τῆς καλύβης καὶ τῆς ἐρημίας ἐλάμβανε καὶ ἤξιου τὴν ἀναχώρησιν, ὁ δὲ προεστῶς οὐκ ἐδίδου πόθος γὰρ αὐτὸν πάλιν καὶ τοῦ ἀνδρὸς εἶχε καὶ οὐκ ἤνειχετο τὴν διάζευξιν, ἐπεῖ καὶ δριμεῖς των κατὰ Θεὸν φιλούντων οἱ πόθοι καὶ τῶν φυσικῶν ἰσχυρότεροι. Ὡς δὲ αὐτὸς οὐ μεθίει, ἀλλ' ἀπήτει φανερῶς τὴν ἐπάνοδον, ὁ προεστῶς, ἐπεῖ καὶ ἀφορμῆς τινὸς ἐδράξατο, ἑορτῆς τινὸς ἐν γειτόνων οὔσης, τραχύτερον πὼς ἅτε δὴ καὶ τοῦ πόθου τὴν ψυχὴν ὑποθήγοντος, φησὶ πρὸς αὐτὸν μέχρι τίνος οὕτως ἀγροικικῶς ἐνστήση, καὶ τὴν ἐρημίαν τῆς Ἐκκλησιαστικῆς συνάξεως προτιμήσεις; καὶ ταῦτα πανδήμου ἑορτῆς ἐπὶ θύραις οὔσης, ἧς τὰς ἱερολογίας ζημιωθεῖς τὴν μεγίστην ἐποίσεις σεαυτῷ ζημίαν;

Πρὸς ταῦτα ὁ Θεοφόρος μετὰ τῆς ἴσης αὐτὸ καὶ μακαρίας ἁπλότητος φησε διδάσκαλε ἀγαθέ, ποιμὴν εὐλογημένε, καλῶς κελεύεις, ἀλλ' οἱ κανόνες δηλαδὴ καὶ τὰ ἀναγνώσματα, εἰ γὲ προσεκτέον αὐτοῖς, ἢ τὲ Ἐκκλησιαστικὴ πᾶσα ἀκολουθία, πρὸς τί φέρουσας καὶ τοὺς ἐκείνους σκοπὸς πάντως, ὥσπερ αὐτὸς διδάσκεις, πρὸς Θεοῦ φόβον ὁδηγούσι τὲ καὶ ἀναγουσι τοὺς σπουδαίους. Ὁ τοίνυν αὐτὸν ἔκεινον εἰς καρδίαν ἔχειν ἐσπουδακῶς, ἄρα τούτων ὧν λέγεις χρείαν ἔχει τινά; Ἐπεῖ ταῦτα ἐκεῖνος ἤκουσε,

μεγάλως θαυμάσας αὐτὸν τῆς ἀπολογίας, οὐκέτι ἐπισχεῖν εὐδόκησεν ὅλως, ἀλλ' ἀνῆκεν εὐθὺς εἰς τὴν ἰδίαν ἀφικέσθαι σκηνήν.

Ερμηνεία

ΚΑΠΟΤΕ ο Οσιος Λουκάς επεσκέφθη κάποιον γνωστόν του, πολύ αξιόλογον και ηγούμενον ποίμνης φιλοθέων ανδρών. Αφού δε επέρασε μαζί του τρείς ημέρας, τον κατέλαβεν ο πόθος της ερημίας και της καλύβης του: εζήτει δε την άδειαν να αναχωρήση. Αλλά και προεστώς που τον έφιλοξένει, δεν επέτρεπε. Διότι και αυτός πάλιν επεθύμει την συντροφιάν του ανδρός και δεν ήθελε τον αποχωρισμός του, επειδή είναι έντονα τα αισθήματα αυτών που αγαπούν κατά Θεόν και ισχυρότερα από τα αισθήματα φιλίας των κατά σάρκα συγγενών. Επειδή δε και Όσιος Λουκάς δεν υπεχώρει, αλλ' εζήτει επιμόνως την επιστροφής του εις την έρημον, ο προεστώς, αφού εύρηκεν αφορμήν και από κάποιαν μεγάλην εορτήν, που επλησίαζεν, του είπε κάπως αυστηρότερα, εξ αιτίας και του πόθου που έπαρακινούσε την ψυχήν του:

– Μέχρι πότε θα επιμένης με τόσον πείσμα και θα προτιμάς την ερημίαν από την εκκλησιαστικήν ακολουθίαν; Και μάλιστα τώρα, που έφθασεν ήδη η μεγάλη εορτή, κατά την οποίαν, εφ' όσον δεν θα λειτουργηθής, θα ζημιωθής πάρα πολύ;

Είς αυτά ο Θεοφόρος Λουκάς του απήντησε με την γνωστής του μακαρίαν απλότητα:

- Αγαθέ μου διδάσκαλε, ποιμήν ευλογημένε, καλά με παροτρύνεις· αλλ' οι κανόνες και τα αναγνώσματα, αν βεβαίως πρέπει να τα προσέχωμεν, και ολόκληρος η Εκκλησιαστική ακολουθία, που οδηγούν; Και ποιος ο σκοπός των; Πάντως, όπως και συ ο ίδιος διδάσκεις, οδηγούν προς τον φόβον του Θεού και ανυψώνουν αυτούς που έχουν ζήλον. Αυτός λοιπόν που εφρόντισε να έχη τον φόβον του Θεού εις την καρδίαν, του, έχει άραγε καμμίαν ανάγκην από αυτά, που λέγεις;

Μόλις ήκουσεν αυτά ο Προεστώς τον έθαύμασε πάρα πολύ, διά την επιχειρηματολογίας του, και δεν ήθέλησε πλέον να τον κρατήση, αλλά τον άφησε να επιστρέψη εις την καλύβαν του.

Γ'. Του Αγίου Διαδόχου

ΟΤΑΝ ἐν εὐθηνίᾳ καὶ ἡ ψυχὴ τῶν φυσικῶν αὐτῆς καρπῶν, μεγαλοφωνότερον καὶ τὴν ψαλμῳδίαν ποιεῖται καὶ φωνὴ μᾶλλον θέλει προσεύχεσθαι" ὅτε δὲ ὑπὸ τοῦ Ἁγίου

Πνεύματος ἐνεργεῖται, μετὰ πάσης ἀνέσεως καὶ ἡδύτητος ψάλλει καὶ εὔχεται ἐν ὅλῃ τῇ καρδία. Ἔπεται δὲ ἐκείνη μὲν τῇ διαθέσει καὶ χαρὰ πεφαντασμένη, ταύτῃ δὲ πνευματικῶν δάκρυον, καὶ μετὰ ταῦτα θυμηδία τὶς φιλήσυχος. Θερμὴ γὰρ ἡ μνήμη διὰ τὴν τῆς φωνῆς μένουσαν συμμετρίαν, δακρυώδεις τινὰς καὶ ἠπίους ἐννοίας τὴν καρδίαν φέρειν παρασκευάζει πάντων ὅθεν ὄντων ἐστὶν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας χαρὰ ἔνσπειρομεγα, διὰ τὴν ἐλπίδα τοῦ θερισμοῦ. Πλὴν ὅτε ὑπὸ πολλῆς δυσθυμίας βαρούμεθα, δεῖ ὀλίγον μείζονι τὴ φωνὴ ποιείσθαι ἡμᾶς τὴν ψαλμῳδίαν, τὴ τῆς ἐλπίδος χαρὰ τοὺς φθόγγους τῆς ψυχῆς ἀνακρούοντας, ἄχρις οὗ τὸ νέφος ἐκεῖνο τὸ βαρύτατον ὑπὸ τῶν ἀνέμων τοῦ μέλους διαλυθῆ.

Ερμηνεία

Όταν η ψυχή ευρίσκεται εις άφθονίαν των φυσικών της καρπών, τότε ψάλλει με μεγαλυτέραν κάπως φωνήν και θέλει να προσεύχεται φωναχτά όταν πάλιν η ψυχή δέχεται την ενέργειας του Αγίου Πνεύματος, τότε ψάλλει με όλην την ευχαρίστησιν και γλυκύτητα και προσεύχεται με όλην την καρδίαν της. Εις την πρώτην περίπτωσιν ακολουθεί ζωηρά χαρά, εις την δευτέραν δε πνευματικών δάκρυον, και μετά από αυτά κάποια εσωτερική αγαλλίασις, που γεννά εις την ψυχήν την αγάπην της ησυχίας.

Θερμαίνεται, δηλαδή, η μνήμη από τα αποτυπωθέντα εις την ψυχήν, δια της εναρμονίου φωνής, και κάμνει να έρχονται εις την καρδίαν μερικαι γλυκείαι σκέψεις, που φέρουν δάκρυα. Από όλα αυτά ήμπορεί να ίδη κανείς, πράγματι, να σπείρωνται μέσα εις την γήν της καρδίας τα σπέρματα της ευχής με δάκρυα, που προξενούν όμως χαράν, δια την ελπίδα του θερισμού. Ως τόσον, όταν καταλαμβανώμεθα από μεγάλην στενοχωρίαν, πρέπει να ψάλλωμεν με ολίγον έντονωτέραν φωνήν, κτυπώντες τας χορδές της ψυχής με την ελπίδα της χαράς, μέχρις ότου διαλυθή εκείνο το βαρύτατον νέφος από τας αύρας της μελωδίας.

Δ'. Του Αββά Κασσιανού

ΠΑΝΤΑ τὰ ἀνατολικὰ Κοινόβια, καὶ μάλιστα τὰ Αἰγύπτια, τοιοῦτον κανόνα ἐπὶ τῶν προσευχῶν καὶ ψαλμῳδιῶν ἔχουσι. Συναγομένων τῶν ἀδελφῶν ἐπὶ τὸ αὐτὸ κατὰ τὸν καιρὸν τῆς συνάξεως, ἡνίκα τελειωθῇ ὁ ψαλμός, οὐ παραχρῆμα πρὸς γονυκλισίαν ὁρμῶσιν, ἀλλὰ πρὶν ἢ τὰ γόνατα κάμψαι, πρὸς ὅλιγον ἱστάμενοι καὶ τὰς χεῖρας ἐκτεταμένας ἔχοντες, εὔχονται. Καὶ μετὰ ταῦτα χαμαι προσπίπτοντες, καὶ πρὸς ὅλιγον πάλιν ἐν τῇ γονυκλισίᾳ εὐχόμενοι, πάντες ἅμα ἐγείρονται, καὶ πάλιν διαπτάσαντες τὰς χεῖρας ἐκτενέστερον καὶ ἐπιτεταμένως τὰς ἱκεσίας ἀποπληρούσιν, οὐδενὸς γόνυ

κλίνοντος ἢ ἐκ τῆς γονυκλισίας ἀνισταμένου, ἕως ἂν ὁ ποιῶν αὐτοῖς τὴν εὐχὴν κλίνη πρῶτος καὶ ἀνάστη πρῶτος. Ο

Καθ' ἃ τοίνυν εἴρηται, ὅτε τὰς προειρημένας συνάξεις ἐπιτελέσαντες συνέρχονται, τοσαύτη ὑπὸ πάντων παρέχεται σιωπή, ὡς νομίσαι μηδένα ἄνθρωπος ἐν τῇ τοσαύτῃ πολυαριθμήτω τῶν ἀδελφῶν πληθύϊ παρεῖναι. Ἐξαιρέτως δέ, ἐν τῷ καιρῷ τῶν προσευχῶν, ὅτε οὔτε πτύσμα προπέμπεται, οὔτε βὴξ διηχεῖ, οὐκ ἀκηδία ἢ νυσταγμοῦ χάσμη, οὐ στεναγμὸς μετ' ἤχου ἀναπέμπεται. Τὸν γὰρ ἓν χαυνότητι μετὰ κραυγῆς τὰς εὐχᾶς ἐπιτελοῦντα, διπλῶς ἁμαρτάνειν λέγουσι πρώτον μὲν ὡς ραθύμως εὐχόμενον, δεύτερον δὲ ὡς ἀπαιδεύτω τὴ φωνή, ἀλλ' οὐ τὴν ἀκοὴν κατακτυποῦντα καὶ διασκεδάζοντα τὴν διάνοιαν, συνεπιτιθεμένων καὶ τῶν πονηρῶν δαιμόνων, οἱ ἐπειδᾶν ἴδωσιν ἡμᾶς εἰς εὐχὴν ἱσταμένους, λογισμοὺς ἀπρεπέσι καὶ ἀκηδία τὴν ψυχὴν καταβαρύνουσι. Καὶ τούτου χάριν καὶ τοὺς ψαλμοὺς οὐ μετὰ θορύβου καὶ ταραχῆς σπεύδουσιν ἐπιτελεῖν, οὐδὲ τῷ πλήθει τῶν στίχων, ἀλλὰ τὴ τῆς διανοίας νοήσει εὐφραίνεσθαι, ἐκείνω τῷ λόγῳ κατακολουθοῦντες, τὰ φάσκοντι, «ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τὰ νοῦ». Ὠφελιμώτερον γὰρ ἔχουσι τὸ δέκα στίχους μετὰ συνέσεως ψάλλειν, ἢ ὅλον τὸν ψαλμὸν μετὰ συγχύσεως διαγοίας.

Τελεσθέντων δὲ τῶν ψαλμῶν καὶ τοῦ κανόνος, ὡς ἀνωτέρω εἴπομεν, οὐδεὶς τῶν ἀδελφῶν καν πρὸς ὄλιγον στῆναι καὶ ὁμιλῆσαι μετὰ ἄλλου τολμᾷ, ἀλλ' εἰς τὸ ἴδιον κελλίον εἰσελθῶν, τῷ ἔργῳ προσκαρτερεῖ, καὶ μετὰ χεῖρας ἕκαστος ἔχει, 'Αποστολικὸν ποιούντες παράγγελμα. Καὶ ἐν τῷ καιρῷ δὲ τῆς συνάξεως, τρίτης, ἕκτης καὶ ἐνάτης ὥρας, εἰ τὶς πρὶν ἢ ὁ πρῶτος τελεσθῆ ψαλμὸς ἀπαντήσει, τοῦ λοιποῦ εἰς τὸ εὐκτήριον εἰσελθεῖν οὐ τολμᾷ, οὔτε ἑαυτὸν καταμίξαι τοῖς ψάλλουσιν. Ἀλλὰ πρὸ τῶν θυρῶν ἱστάμενος ἐκδέχεται τῶν ἀδελφῶν τὴν ἀπόλυσιν, καὶ ἐξερχομένων πάντων, βαλῶν ἐπὶ τὴν γῆν μετάνοιαν, ἐξαιτεῖ τῆς οἰκείας ραθυμίας συγχώρησιν ἐν δὲ ταις νυκτεριναίς συνάξεσιν, ἕως τοῦ δευτέρου ψαλμοῦ παρέχεται συγγνώμη τοῖς βραδυνουσιν.

Ερμηνεία

ΟΛΑ τα Κοινόβια της Ανατολής και μάλιστα της Αιγύπτου, έχουν την εξής τάξιν εις τας προσευχές και ψαλμωδίας. Οταν συγκεντρώνονται οι αδελφοί, κατά την ώραν της ακολουθίας, μόλις τελειώση ο ψαλμός, δέν γονατίζουν αμέσως αλλά πριν να κάμψουν τα γόνατα, στέκουν ολίγον όρθιοι και προσεύχονται με υψωμένα τα χέρια. Μετά ταύτα πίπτουν χάμω όλοι και προσεύχονται πάλιν γονατιστοί έπειτα σηκώνονται όλοι μαζί και αφού πάλιν υψώσουν τα χέρια συμπληρώνουν τας παρακλήσεις των επί περισσότερος χρόνος και με μεγαλυτέραν επιμονήν. Κανείς δεν γονατίζει, ούτε

σηκώνεται από την γονυκλισίαν, έως ότου γονατίση πρώτος ή σηκωθή αυτός που προϊσταται της ακολουθίας.

Καθώς λοιπόν ελέχθη, όταν συγκεντρώνονται οι Μοναχοί διά τας ακολουθίας που ανεφέραμεν, τέτοια σιωπη επικρατεί από όλους, ώστε να νομίζη κανείς ότι ούτε ένας άνθρωπος δεν παρίσταται εις την πολυάριθμον αυτήν σύναξις των αδελφών. Εξαιρετικά δε κατά την ώραν των προσευχών ούτε πτύει κανείς, ούτε βήχας ακούεται, ούτε αμέλεια παρατηρείται, ούτε χασμουρητόν νύστας, ούτε από τα στήθη κανενός βγαίνει αναστεναγμός φωνακτός. Διότι λέγουν, ότι εκείνος που επιτελεί τας ευχας με αποχαυνωμένον νούν και άμουσον κραυγήν αμαρτάνει διπλά πρώτον μεν διότι προσεύχεται χωρίς ψυχικήν όρεξιν, δεύτερον δε, διότι με την ακαλλιέργητον φωνήν του όχι μόνον την ακοήν των παρευρισκομένων ενοχλεί, αλλά και την διάνοιάν των διασκορπίζει. Τότε επιτίθενται μαζί και οι πονηροι δαίμονες, οι οποίοι όταν μάς ίδουν να στεκώμεθα εις προσευχήν καταβαρύνουν την ψυχήν με απρεπείς λογισμούς και αδιαφορίαν.

Δι' αυτόν ακριβώς τον λόγον και οι Μοναχοί των Κοινοβίων της Ανατολής φροντίζουν και τους ψαλμούς να αναγιγνώσκουν χωρίς θόρυβον και εκνευρισμόν και να δοκιμάζουν ψυχικήν χαράν, όχι από τους πολλούς στίχους, αλλά από την βαθυτέραν κατανόησιν υπό της διανοίας των αναγιγνωσκομένων, σύμφωνα με εκείνο το ρητόν, που λέγει: «θα ψάλλω με το πνεύμα, θα ψάλλω και με τον νούν». Διότι θεωρούν πολύ πιο ωφέλιμον να ψάλουν δέκα στίχους, αλλά να αιχμαλωτίζεται ο νους των από τα νοήματα, παρά ολόκληρον τον ψαλμόν και να είναι σκορπισμένος ο νους των.

Οταν τελειώσουν οι ψαλμοι και ο κανών (ή ακολουθία του "Ορθρου), όπως είπομεν προηγουμένως, κανείς από τους 'Αδελφους δεν τολμα να σταθή δια να συνομιλήση, έστω και δι' ολίγον, με άλλον, αλλ' αφού εισέλθη εις το κελλί του, αμέσως συνεχίζει την εργασίας που έχει ο καθένας αναλάβει, εκτελούντες έτσι παραγγελίαν Αποστολικήν. Οποιος δε κατά την ακολουθίαν της τρίτης, της έκτης και ενάτης ώρας, δεν προλάβη να ευρεθή εκεί πριν τελειώση ή ανάγνωσις του προηγουμένου ψαλμού, δεν τολμά πλέον να εισέλθη εις τον χώρον των προσευχών, ούτε να λάβη μέρος εις τον χορόν των ψαλτών, αλλά στέκεται όρθιος εμπρός εις τας θύρας και περιμένει την απόλυσιν των αδελφών καθώς δε εξέρχονται μετά την ακολουθίαν όλοι, γονατίζει και ζητεί συγχώρησιν διά την ραθυμίαν του. Κατά τας συνάξεις, διά τάς νυκτερινας

άκολουθίας, δίδεται συγχώρησις εις εκείνους, που καθυστερούν να προσέλθουν μέχρι του δευτέρου ψαλμού.

Ε'. Εν τω Γεροντικώ

Ο ΑΒΒΑΣ Μακάριος ὁ μέγας, ὡς ἀπέλυεν ἡ Ἐκκλησία, ἔλεγε τοῖς ἀδελφοις φεύγετε, ἀδελφοί. Εἶπε δὲ τὶς αὐτὸ τῶν γερόντων: Πάτερ, ποῦ ἔχομεν φυγεῖν πλέον τῆς ἐρήμου ταύτης; ὁ δὲ θεῖς τὸν δάκτυλον αὐτοῦ εἰς τὸ στόμα ἑαυτοῦ ἔφη τοῦτο φεύγετε καὶ λοιπὸν εἰσήρχετο εἰς τὸ κελλίον καὶ κλείων τὴν θύραν ἐκάθητο.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σισώη τοῦ Θηβαίου, ὅτι ὡς ἀπέλυεν ἡ Ἐκκλησία, εὐθὺς ὥρμα πρὸς τὸ ἑαυτοῦ κελλίον, βαδίζων σπουδαίως καὶ ἔοικως φεύγονται τινὲς δὲ τῶν δρώντων αὐτὸν τοῦτο ποιούντα ἔλεγον οὗτος δαίμονα ἔχει. Ἐκεῖνος δὲ τὸ τοῦ Θεοῦ ἔργον ποιῶν, οὐ προσεῖχε τοῖς κατ' αὐτοῦ λέγουσιν.

3. Ἀδελφὸς ἠρωτησε τὸν Ἀββᾶς Σιλουανὸν λέγων· τί ποιήσω, Ἀββᾶ; πῶς κτήσομαι τὴν κατάνυξιν; πάνυ γὰρ ὄχλουμαι ὑπὸ τῆς ἀκηδίας καὶ τοῦ ὕπνου καὶ τοῦ στεναγμοῦ, καὶ ὅτε ἀνίσταμαι ἐκ τοῦ ὕπνου, πυκτεύω πολλὰ ἐν τῇ ψαλμῳδία καὶ οὐ δύναμαι περιγενέσθαι τοῦ νυσταγμοῦ, οὔτε ψαλμὸν ἄνευ ἤχου λέγω. Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων τέκνον, τὸ λέγειν σὲ τοὺς ψαλμοὺς μετὰ ἤχου πρώτον μὲν ὑπερηφανία ἐστὶν ὑποβάλλει σοὶ γὰρ ὅτι ἐγὼ ψάλλω, ὁ ἀδελφὸς οὐ ψάλλει, δεύτερον δὲ καὶ σκληρύνει σου τὴν καρδίαν καὶ οὐκ ἔα κατανυγῆναι. Εἰ οὖν θέλεις τὴν κατάνυξιν, ἄφες τὸ ᾆσμα, καὶ ὅτε ἵστασαι τὰς εὐχᾶς σου ποιῶν, ἐρευνάτω ὁ νοῦς σου τοῦ στίχου τὴν δύναμιν καὶ λογίζου ὅτι ἐνώπιόν του Θεοῦ παρίστασαι, τοῦ ἐτάζοντος καρδίας καὶ νεφρούς. Ὅτε δὲ ἀναστῆς ἐκ τοῦ ὕπνου, πρὸ πάντων δοξασάτω τὸ στόμα σου τὸν Θεόν, εἶτα στιχολόγησον τὴν πίστιν καὶ τὸ Πάτερ ἡμῶν, καὶ τότε ἄρξαι τοῦ κανόνος σου ἀνετῶς, στενάζων καὶ ἐνθυμούμενος τὰς ἁμαρτίας σου καὶ τὴν κόλασιν, ἐν ἢ μέλλεις βασανίζεσθαι.

Λέγει ὁ ἀδελφὸς ἐγώ, Ἀββᾶ, ἐξότου ἐμόνασα, τὴν ἀκολουθίαν τοῦ κανόνος καὶ τὰς ὥρας κατὰ τὴν ὀκτώηχον ψάλλω. Ἀπεκρίθη ὁ γέρων καὶ διὰ τοῦτο ἡ κατάνυξις καὶ τὸ πένθος φεύγει ἀπό σου ἐννόησον γὰρ τοὺς μεγάλους Πατέρας πῶς, ἰδιώται ὑπάρχοντες καὶ μήτε ἤχους μήτε τροπάρια ἐπιστάμενοι, εἴμη ὀλίγους ψαλμούς, δίκην φωστήρων ἐν κόσμῳ ἔλαμψαν. Οἷος ἦν ὁ Ἀββᾶς Παῦλος καὶ ἁπλούς, καὶ ὁ Ἀββᾶς Παμβῶ, καὶ ὁ Ἀββᾶς Ἀπολλώ, καὶ οἱ λοιποὶ Θεοφόροι Πατέρες, οἱ καὶ νεκροὺς ἤγειραν καὶ μεγάλας δυνάμεις ἐποίησαν καὶ τὴν κατὰ δαιμόνων ἐξουσίαν ἐδέξαντο, οὐκ ἐν ἄσμασι καὶ τροπαρίοις καὶ ἤχους ἀλλ' ἐν προσευχῇ τῇ μετὰ συντετριμμένης καρδίας καὶ νηστεία, δι' ὧν καὶ τοῦ Θεοῦ φόβος τῇ καρδία ἔγγινεται ἀδιαλείπτως, καὶ τὸ πένθος κρατύνεται τὸ πάσης ἁμαρτίας ἐκκαθαῖρον τὸν ἄνθρωπος καὶ τὸν νοῦν λευκότερος καὶ χιόνος ἀπεργαζόμενον.

ΥΠΟΘΕΣΙΣ ΙΑ΄ (Περί ψαλμωδίας και προσευχής και ευταξίας)

Τὸ δὲ ᾆσμα πολλοὺς εἰς τὰ κατώτατά της γῆς κατήγαγεν, οὐ μόνον κοσμικούς, ἀλλὰ καὶ ἱερεῖς, ἐκθηλῦναν αὐτοὺς καὶ εἷς πορνείαν καὶ εἰς ἕτερα πάθη αἰσχρὰ κατακρημνῖσαν αὐτούς. Τὸ οὖν ᾆσμα τῶν κοσμικῶν ἐστι, διὰ τοῦτο καὶ ὁ λαὸς συναθροίζεται ἐν ταῖς Ἐκκλησίαις. Ἐννόησον, τέκνον, πόσα τάγματα εἰσιν ἐν τῷ οὐρανῷ, καὶ οὐ γέγραπται περὶ τινὸς αὐτῶν ὅτι μετὰ τῆς Ὀκτωήχου ψάλλουσιν ἀλλ' ἐν μὲν τάγμα ἀκαταπαύστως τὸ ἀλληλούϊα, ἕτερον δὲ τὸ Ἅγιος Ἅγιος Ἅγιος Σαβαώθ, ἄλλο δὲ εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου καὶ ἐκ τοῦ οἴκου αὐτοῦ. Σὺ οὖν, τέκνον, μίμησαι τοὺς Πατέρας, εἰ θέλεις ἐν ταῖς προσευχαις κατάνυξιν κτήσασθαι, φυλάττων τὸν νοῦν ὡς δύνῃ ἀρέμβαστον. Ἀγάπησον τὴν ταπείγωσιν τοῦ Χριστοῦ καὶ ὅπου δ' ἂν παραβάλῃς, μὴ δεικνύης ἑαυτὸν ὡς ἀγχίνουν καὶ καθηγητήν, ἀλλ' ὡς ἰδιώτης καὶ μαθητήν, καὶ ὁ Θεὸς παρέχει σοὶ τὴν κατάνυξιν.

4. Εἶπε γέρων: οἱ προσευχόμενοι τῷ Θεῷ ὀφείλουσιν ἐν εἰρήνῃ καὶ ἡσυχία πολλῇ καὶ καταστάσει τὴν προσευχὴν ποιείσθαι, καὶ οὐχὶ ἀπρεπέσι κραυγαϊς καὶ συγκεχυμέναις ἑαυτοὺς ἔκταρασσειν καὶ τοὺς πλησίον, ἀλλὰ πάνω καρδίας καὶ λογισμοὺς νήφουσι προσέχειν τῷ Κυρίῳ. "Ὥσπερ γὰρ εἰσὶ τινὲς ἔχοντες πάθη σωματικά, καὶ ἐν τῷ καυτηριάζεσθαι ἢ χειρουργείσθαι ἀνδρείας καὶ ὑπομονητικῶς τὸν πόνον φέρουσι, μὴ κραυγάζοντες ἢ ταρασσόμενου, ἀλλὰ κρατοῦντες ἑαυτῶν τὰς ἐκ τῆς ἰατρείας ὀδύνας ἐν σιωπῇ ὑπομένοντες, ἕτεροι δὲ τούτοις ὁμοίως ἔχοντες καὶ τὰ αὐτὰ ὑφιστάμενοι, κραυγαϊς ἀπρεπέσι καὶ ταραχαϊς κέχρηνται, καὶ αὐτὸς δὲ πόνος τῶν τὲ βοώντων καὶ τῶν μὴ βοώντων ἐστίν, οὕτω καὶ ἐπὶ τῶν προσευχῶν καὶ τῶν κατανύξεων.

Εἰσὶ τινὲς ἐν ἡσυχίᾳ προσευχόμενοι καὶ τὸν τῆς καρδίας τόνον τὴ ἀταραξία μᾶλλον φυλάττοντες ἕτεροι δὲ μηδὲ κατέχοντες ἑαυτούς, μετὰ ταραχῆς καὶ θορύβου ποιοῦνται τὰς προσευχᾶς, ὡς τὲ καὶ τοὺς ἀκούοντας σκανδαλίζεσθαι. Οὗ χρῆ δὲ τὸν τοῦ Θεοῦ δοῦλον ἓν ἀκαταστασία εἶναι, ἀλλ' ἐν πάσῃ ταπεινοφροσύνη καὶ ἡσυχία, καθὼς ἐν τῷ Προφήτῃ λέγει: «ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;». Οἱ γὰρ οὕτω διάγοντες καὶ τοὺς δρώντας πάντας οἰκοδομούσιν.

Ερμηνεία

Ο ΑΒΒΑΣ Μακάριος ο μέγας, όταν απέλυεν η Εκκλησία, έλεγεν εις τους αδελφούς:

Φεύγετε, αδελφοί. Κάποιος από τους Γέροντας τον ήρώτησε τότε:

- Πάτερ, που ήμπορούμεν να φύγωμεν μακρύτερα από αυτήν την

Εις απάντησιν ο Αββάς Μακάριος, αφού έθεσε τον δάκτυλόν του εις το στόμα του, είπεν:

– Από αυτό να φύγεις και κατόπιν εισήρχετο εις το κελλίον του και αφού έκλειε την θύραν, εκάθητο.

2. Έλεγον διά τον 'Αββάν Σισώην τον Θηβαίον, ότι μόλις απέλυεν η Εκκλησία, έτρεχεν αμέσως προς το κελλί του. Έβάδιζε βιαστικα και ωμοίαζεν ώς να τον κατεδίωκε κάποιος. Μερικοί που τον έβλεπον να φεύγη έτσι, έλεγον αυτός έχει δαίμονα. Εκείνος όμως, επειδή εκτελούσε τα έργα του Θεού, δεν επρόσεχεν αυτούς, που έλεγον έναντίον του.

3. Ένας αδελφός ήρώτησε τον Αββάν Σιλουανόν:

– Τι πρέπει να κάνω, Αββά, του είπε: πώς να αποκτήσω την κατάνυξιν, διότι ενοχλούμαι από την οκνηρίαν, τον ύπνον και τον γογγυσμόν; Οταν σηκώνομαι από τον ύπνον, αγωνίζομαι πάρα πολύ εις την ψαλμωδίαν και δεν ήμπορώ να νικήσω την νύσταν, ούτε λέγω ψαλμόν χωρίς ήχον.

Είς αυτά ο Γέρων απήντησε:

– Τέκνον μου, το να λέγης τους ψαλμούς με ήχον είναι, πρώτον, υπερηφάνεια: διότι σε κάμνει να σκέπτεσαι, ότι εγώ ψάλλω, ενώ ο αδελφος δεν ψάλλει δεύτερον δέ, σκληρύνει την καρδίαν σου και δεν την αφήνει να αισθανθή κατάνυξιν.

Εάν, λοιπόν, θέλης να αισθανθής κατάνυξιν, άφησε το άσμα και όταν στέκης, διά να κάμης τας ευχάς σου, ας αναζητή ο νους σου την πνευματικήν δύναμιν του στίχου και ας σκέπτεται ότι ευρίσκεται ενώπιον του Θεού, που εξετάζει τας καρδίας και τους νεφρούς, δηλαδή ολόκληρον τον εσωτερικόν μας κόσμον. Όταν σηκωθής από τον ύπνον, ας δοξάσης, πριν από όλα, τον Θεόν μετά να είπης το σύμβολον της Πίστεως και το Πάτερ ημών, και τότε να αρχίσης τον κανόνα σου απελευθερωμένος από κάθε γήϊνην σκέψιν, αναστενάζων και ενθυμούμενος τας αμαρτίας σου, καθώς και την κόλασιν εις την οποίαν μέλλεις να βασανίζεσαι.

Του λέγει, πάλιν, ο αδελφός:

-Εγώ, Αββά μου, από τότε που έγινα μοναχός ψάλλω τον κανόνα και τας ώρας, σύμφωνα με την Οκτώηχον.

Ο Γέρων του απεκρίθη:

– Και δι' αυτό φεύγουν από την ψυχήν σου η κατάνυξις και το πένθος. Σκέψου τους μεγάλους Πατέρας, ότι, ενώ ήσαν αμόρφωτοι και δεν εγνώριζαν ούτε ήχους ούτε

τροπάρια, παρά μονάχα ολίγους ψαλμούς, έλαμψαν ως φωστήρες εις τον κόσμον. Τέτοιος ήτο ο Αββάς Παύλος ο απλούς, και ο Αββάς Παμβώ, και ο Αββάς Απολλώ, και οι άλλοι Θεοφόροι Πατέρες, οι οποίοι ανέστησαν και νεκρούς, έκαναν πολλά θαύματα και εξουσίαν έλαβον από τον Θεόν εναντίον των δαιμόνων.

Όλα δε αυτά τα επέτυχον όχι με άσματα και τροπάρια και ήχους, αλλά με προσευχήν, που εξέρχεται από καρδίαν συντετριμμένην και με νηστείαν, με τα οποία ο φόβος του Θεού διατηρείται συνεχώς εις την καρδίαν και δυναμώνεται το πένθος, που καθαρίζει τον άνθρωπος από κάθε αμαρτίαν και λευκαίνει τον νούν περισσότερον και από το χιόνι.

Ενώ το άσμα κατέρριψε πολλούς εις τα κατώτατα της γης, όχι μόνον κοσμικούς, αλλά και ιερείς, επειδή έχαλάρωσε τον ανδρικόν τους χαρακτήρα και τους κατεκρήμνισεν εις την πορνείαν και εις πάθη αισχρά. Το άσμα, λοιπόν, είναι διά τους κοσμικούς και διά το άσμα συγκεντρώνεται ο λαός εις τας Εκκλησίας. Σκέψου, τέκνον μου, πόσα τάγματα υπάρχουν εις τον ουρανόν και δεν λέγει, διά κάποιο από αυτά, η Αγία Γραφή, ότι ψάλλουν σύμφωνα με την Οκτώηχον. 'Αλλ' ένα τάγμα ψάλλει ακαταπαύστως το «άλληλούϊα», άλλο το «"Αγιος, Αγιος, Αγιος Κύριος Σαβαώθ», άλλο «ευλογημένη η δόξα του Κυρίου από τον τόπον και τον οίκον Αυτού». Σύ, λοιπόν, τέκνον μου, να μιμηθής τους Πατέρας, αν θέλης να αποκτήσης εις τας προσευχάς σου κατάνυξιν και να διατηρης τον νούν σου όσον ήμπορείς συμμαζευμένον, χωρίς να ρεμβάζη. Να αγαπήσης την ταπείνωσιν του Χριστού και όπου αν υπάγης να μη παρουσιάζεσαι ως έξυπνος και καθηγητής, αλλά ως αγράμματος και μαθητής και ο Θεός θα σου χαρίση την κατάνυξιν.

4. Ένας Γέρων είπεν αυτοί, που προσεύχονται εις τον Θεόν οφείλουν να προσεύχονται με ειρήνην και πολλήν ήσυχίαν και εις ευλαβή στάσιν· και να μη χρησιμοποιούν απρεπείς κραυγάς, χωρίς ξεκαθαρισμένας τας λέξεις, που συνταράσσουν τον εαυτόν των και τους πλησίον, αλλά να αφοσιώνονται εις τον Κύριον με πόνον καρδίας και αγνούς λογισμούς. Με τας προσευχές και την κατάνυξιν συμβαίνει το ίδιον με εκείνο το οποίον συμβαίνει με εκείνους που υφίστανται θεραπείαν διά σωματικά πάθη. Υπάρχουν, δηλαδή, μερικοί ασθενείς, πού, όταν καυτηριάζωνται ή χειρουργούνται, υποφέρουν τον πόνον με ανδρείαν και υπομονήν, χωρίς να κραυγάζουν ή να ταράσσωνται, αλλ' επιβάλλονται εις τους εαυτούς των υπομένοντες σιωπηλά τους πόνους της ιατρείας. Άλλοι, πάλιν, ενώ υφίστανται την ιδίαν θεραπείας με τους προηγουμένους, εν τούτοις χρησιμοποιούν απρεπείς

κραυγές και ταραχάς. Το ίδιον όμως πονούν και αυτοί που φωνάζουν και εκείνοι που δεν φωνάζουν. Έτσι ακριβώς συμβαίνει και εις την περίπτωσιν των προσευχών και των κατανύξεων.

Υπάρχουν μερικοί που προσεύχονται με ησυχίαν και διατηρούν τον τόνον της καρδίας των μάλλον με αταραξίαν· άλλοι, πάλιν, δεν ήμπορούν να συγκρατήσουν τους εαυτούς των, αλλά προσεύχονται με ταραχήν και θόρυβον, ώστε να σκανδαλίζωνται και αυτοί που τους ακούουν. Δεν πρέπει όμως ο δούλος του Θεού να μη έχη τάξιν, αλλά να διατηρή παντού ταπεινοφροσύνην και ήσυχίαν, όπως λέγει και ο Προφήτης «είς, ποίον άλλον θα επιβλέψω; παρά εις τον πράον και ήσυχον και εις αυτόν που τρέμει τους λόγους μου;» (Ησ. ξστ', 2). Διότι αυτοί που δείχνουν τοιαύτην διαγωγήν, οικοδομούν εις την πίστιν και εκείνους οι οποίοι τους βλέπουν.

ΣΤ'. Του Αγίου Εφραίμ

ΑΠΑΝΤΩΝ πρὸ πάντων εἰς τὴν σύναξιν, καλὸν καὶ σωτήριόν" το δὲ πρὸ τῆς ἀπολύσεως ἔξιεναι ἐκ τῆς συνάξεως δίχα ἀνάγκης, βλαβερῶν καὶ ὀλέθριον. Σὺ οὖν ἔκδεξαι καὶ ἄκους τῶν θείων γραφῶν, ὅπως ὤφεληθης. "Ὃν τρόπον γὰρ ἐν καύματι ἀνδρὶ ὁδοιπόρω- ποτήριον ψυχροῦν προσηνές, οὕτω θεῖοι λόγοι δροσίζουσι ψυχήν. Ἐὰν βούλη ἀκούειν, ἔκδεξαι, καὶ ἐὰν ἀκούσης, σοφὸς ἔσῃ εἰ δὲ τὴν ὑπομονὴν τοῦ ἀκούσαι τὸν λόγον βαρέως φέρεις, πόσο μᾶλλον τὴν πρᾶξιν; Ἐντεῦθεν τοιγαροῦν ἐπιγνωθι σεαυτόν, ὅτι ἀμελὴς ὑπάρχεις, δν τρόπον κάγω. Εἰσιόντων δὲ ἡμῶν εἰς οἶκον Κυρίου, πᾶς μετεωρισμὸς ἀπέστω τῆς διανοίας ἡμῶν, καὶ σχολαζέτω καὶ ἔσω ἡμῶν ἄνθρωπος εἰς θεωρίας καὶ προσευχήν, καὶ μὴ τινὲς ἀλλότριοι λογισμοὶ τὸν νοῦν ἡμῶν ἔκταρασσωσι.

Γνῶμεν δὲ τίνι ἐν τῇ προσευχῇ παριστάμεθα, καὶ ἔστω ἡμῶν ὅλη ἡ ψυχὴ καὶ ἡ καρδία πρὸς αὐτὸν γεύουσα καὶ μηδὲν ἄλλο φανταζομένη. Νόει δὲ τὸ λεγόμενον καὶ ἐκ παραδείγματος οἷον ἐὰν λαβῶν τὶς ἐνδεσμον ἀργυρίου ἐν τῇ χειρὶ αὐτοῦ πορευθῆ εἰς πανήγυριν θέλων βόας ἀγορᾶσαι, μὴ χοίρους κατανοεῖ; Εἰ δὲ καὶ ὄνους ὠνήσασθαι βούλεται, μὴ κύνας καταμανθάνει; οὐχὶ πᾶσα ἡ ἔννοια αὐτοῦ ἔγκειται οις ἐπιθυμεῖ καὶ ἐκεῖνα μόνον περισκοπεῖ, ἵνα μὴ χλευασθεῖς, τὰ ἐν χερσὶν ἀπολέση διακενῆς; Οὕτω καὶ ἡμεῖς, ὅταν εἰς τὸν ἱερὸν εἰσελθόντες οἶκον τῷ Θεῷ παριστάμεθα, πᾶσαν ἡμῶν τὴν διάνοιαν εἰς αὐτὸν ἀνατείνωμεν καὶ τὰ αὐτοῦ μόνα καὶ σκοπῶμεν καὶ φανταζώμεθα, ἵνα καὶ τὴν σωτηρίαν ἡμῶν ἐντεῦθεν ἐμπορευσώμεθα, καὶ τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσωμεν. Ἀλλὰ μηδὲ εἷς τινὰ ὁμιλίαν μετὰ τοῦ πλησίον τραπῶμεν, ἵνα μή, ἀντὶ τοῦ ἔλεωσασθαι τὸν οὐρανοῦ καὶ γῆς ποιητής, εὑρεθῶμεν αὐτῷ παροργίζοντες.

ΥΠΟΘΕΣΙΣ ΙΑ΄ (Περί ψαλμωδίας και προσευχής και ευταξίας)

Ὡς πὲρ γὰρ τὶς παρεστῶς καὶ ὁμιλῶν βασιλεῖ, εἰ καλέσαντος αὐτὸν σὺν ἀσύλου καταλείπῃ τὴν θαυμαστῆς καὶ ἔνδοξον ὁμιλίας τοῦ βασιλέως, καὶ στραφεῖς τῷ συνδούλῳ συνομιλεῖ, τὸ καθ' αὐτὸν ὑβρίζει τὸν βασιλέα καὶ φοβερὰν τὴν παρ' ἐκείνου ἀγανάκτησιν ἑαυτῷ προξενεῖ, οὕτω καὶ ὁ λαλῶν ἐν καιρῷ τῆς ψαλμῳδίας καὶ προσευχῆς. Ὀφείλομεν οὖν ὃν τρόπον οἱ Ἄγγελοι μετὰ πολλοῦ τρόμου παρεστῶες ἐκτελοῦσε τὴν ὑμνολογίαν τῷ κτίσαντι, οὕτω καὶ ἡμεῖς ἐν τῇ ψαλμῳδία παρίστασθαι. Εἰ δ' ἴσως καὶ ὁ ἔγγιστά σου ἱστάμενος ἀδελφός, ἀσθενὴς ὑπάρχων τῷ ὕματι, βήσσει ἢ πτύει πολλά, μὴ σιάνου ἀπ' αὐτοῦ, ἀλλὰ μνήσθητι ὅτι πολλοὶ Ἐπὶ ἑαυτοὺς ἔδωκαν ἀρρώστους τὲ καὶ λελωβημένοις ὑπηρετεῖν, ἕνα ἐκ τούτου μεάλα κερδήσωσι, πεῖρα μαθόντες τῆς ἀγάπης καὶ τὴν συμπάθειαν. Καὶ σὺ δὲ ὡς καὶ αὐτὸ περικείμενος σῶμα, ἐγγὺς εἰ τῶν τοιούτων ἀσθενειῶν, εἰ καὶ πρὸς τὸ πάτον φιλανθρωπία Θεοῦ ὑγιαίνεις τὸ σώματι διο μὴ ἐπαίρου κατὰ τοῦ ἀσθενοῦς, ἀλλὰ φοβοῦ, ἵνα μὴ τὰ αὐτὰ πάθης ἢ χείρονα, καὶ τὴ πρὸς τὸν ἀδελφὸν συμπαθεία ἀσφάλιζε ἑαυτόν.

Ερμηνεία

ΤΟ ΝΑ πηγαίνης πριν από όλους εις την σύναξιν, διά την ακολουθίαν, είναι καλόν και σωτήριον: το να φεύγης όμως χωρίς ανάγκην, πριν από την απόλυσιν, είναι βλαβερών και ολέθριον. Σύ, λοιπόν, κάμε ύπομονήν και άκουε τας θείας Γραφάς, διά να ωφεληθής. Διότι όπως ακριβώς όταν είναι ζέστη ένα ποτήρι κρύο νερόν είναι ευχάριστον διά τον οδοιπόρον, έτσι και τα θεϊκά λόγια δροσίζουν την ψυχήν. Εάν θέλης να ακούης, κάμνε υπομονήν και εάν ακούσης, θα γίνης σοφός. Αν όμως με δυσκολίαν ανέχεσαι την υπομονήν διά να ακούσης λόγον, πόσον μάλλον θα δυσκολευθής να κάνης υπομονήν εις τας πράξεις; Από αυτό, λοιπόν, αναγνώρισε καλά τον εαυτόν σου, ότι είσαι αμελής, όπως και εγώ. Οταν εισερχώμεθα εις οίκον Κυρίου, ας φεύγη από τον νούν μας κάθε περιπλάνησις άσκοπος και άς προσέχη και εσωτερικός μας άνθρωπος εις την θεωρίαν και την προσευχής και ας μη ταράσσουν τον νούν μας μερικοί κακοί λογισμοί.

Ας σκεφθώμεν δε εμπρός εις ποίον παριστάμεθα κατά την προσευχήν και τότε όλη η ψυχή και η καρδία μας ας είναι εστραμμένη πρός. Αυτόν, χωρίς να φαντάζεται τίποτε άλλο. Προσπάθησε δε να αντιληφθής αυτό που λέγω και με το εξής παράδειγμα: αν κανείς πάρη ένα σακκούλι χρήματα εις το χέρι του και πορευθή εις την πανήγυριν, διά να αγοράση βόδια, μήπως θα παρατηρή προσεκτικά χοίρους; Εάν, πάλιν, θέλω να αγοράση όνους, μήπως θα ψάχνη δια σκύλους; Όλη του η σκέψις δεν θα είναι προσηλωμένη εις εκείνα που επιθυμεί να αγοράση, και αυτά μονάχα θα

εξετάζη προσεκτικά, διά να μη τον εξαπατήσουν και χάση ασυλλόγιστα τα χρήματα που έχει εις τα χέρια του;

Έτσι λοιπόν και ημείς, όταν εισέλθωμεν εις τον ιερόν Ναόν και σταθώμεν εμπρός εις τον Θεόν, ας ανυψώσωμεν όλην την σκέψιν μας προς Αυτόν και ας προσέχωμεν μονάχα όσα αναφέρονται είς Αυτόν και αυτά ας φανταζώμεθα, διά να κερδήσωμεν απ' αυτό την σωτηρίαν μας και να απολαύσωμεν τα ουράνια αγαθά. Αλλ' ούτε ακόμη και ένα άπλον λόγον να μη ανταλλάξωμεν με τον διπλανόν μας, μη τυχόν, αντί να εξευμενίσωμεν τον ποιητήν του Ουρανού και της γης, τον παροργίσωμεν.

Οπως ακριβώς, δηλαδή, όταν ευρίσκεται κανείς ενώπιον βασιλέως και συνομιλή με Αυτόν, αν τύχη και τον καλέση κάποιος σύνδουλος, εαν εγκαταλείψη την συνομιλίαν με τον Βασιλέα, η οποία δι' αυτόν αποτελεί δόξαν και τιμήν, και γυρίση να κουβεντιάση με τον σύνδουλον, προσβάλλει με τον τρόπον του τον Βασιλέα και προκαλεί εις βάρος του την φοβεραν αγανάκτησιν εκείνου, έτσι και εκείνος που ομιλεί κατά την ώραν της προσευχής και της ψαλμωδίας. Οφείλομεν, λοιπόν, με τον τρόπος που οι Αγγελοι στέκουν με πολύν τρόμον και υμνολογούν τον Δημιουργόν, έτσι και ημείς να παριστάμεθα κατά την ψαλμωδίαν. Αν, ίσως, ο αδελφός, που στέκεται κοντά σου, είναι σωματικώς άρρωστος και βήχει, ή πτύει συνεχώς, μη ενοχλείσαι απ' αυτόν. Σκέψου, ότι πολλοί αφιερώθησαν εις την υπηρεσίαν λεπρών και αρρώστων, δια να κερδίσουν από αυτό πολλά πνευματικά, και να μάθουν εκ πείρας την αγάπην και την συμπάθειαν (προς τους ασθενείς).

Και σύ, άλλωστε, αφού φορείς το ίδιον σώμα, ευρίσκεσαι κοντά εις τας τοιαύτας ασθενείας, αν και προς το παρόν το σώμα σου είναι υγιές, από φιλανθρωπίαν του Θεού· δι' αυτό μη υπερηφανεύεσαι εις βάρος του αρρώστου, αλλά να φοβάσαι μη πάθης τα ίδια και χειρότερα: και με την συμπάθειαν προς τον αδελφόν σου προφύλαττε τον εαυτόν σου.

ΥΠΟΘΕΣΙΣ ΙΒ'
(Να σεβόμαστε τις θείες συνάξεις)

Ὅτι δεῖ τοὺς ἐν ταῖς θείαις συνάξεσιν ἀργολογούντας καὶ ὅλως κοινολογουμένους πρὸς ἀλλήλους ἐπιτιμῶν, καὶ εἰ μὴ διορθώσονται εξωθείν τῆς Ἐκκλησίας σὺν αὐστηρία.

Πρέπει εκείνους οι οποίοι αργολογούν ή συζητούν μεταξύ των εις τας θείας συνάξεις να επιτιμώμεν· και αν δεν διορθωθούν να τους βγάζωμεν, με αυστηρότητα, έξω από τον Ναόν.

Α'. Εν τω βίο του Αγίου Ιωάννου του Ελεήμονος

Ο ΜΕΓΑΣ Ἰωάννης τοὺς ἐν τῇ Ἐκκλησίᾳ ἄλογωτατα κοινολογουμένους ἔσπευδεν ὅ,τι μάλιστα διορθοὺν εἰ δὲ τινὰ μετὰ μίαν καὶ δευτέραν παραίνεσιν ἀδιόρθωτον ἴδοι, ἔξω εὐθὺς ἔβαλλε, τὴν δεσποτικὴν αὐτω ἐπιλέγων φωνὴν «τὸν οἶκον τοῦ Θεοῦ, οἶκον δεῖ προσευχῆς εἶναι». Ἔμπαλιν δὲ τοὺς περὶ τὰς θείας συνάξεις σπουδαιοτέρους ἀπεδέχετο τῆς φιλοθεΐας καὶ προσεπήνει, ἔτι δὲ καὶ προκοπαῖς ἐτίμα βαθμῶν.

Ερμηνεία

Ο ΜΕΓΑΣ Ιωάννης εκείνους οι οποίοι έσυζητούσαν απερίσκεπτα μέσα εις την Εκκλησίαν εφρόντιζεν, όσον ήμπορούσε, να τους διορθώνη· αν δε έβλεπε να παραμένη κάποιος αδιόρθωτος, μετά μίαν και δευτέραν συμβουλήν, τον έβγαζεν αμέσως έξω από την Εκκλησίας και του επαναλάμβανε την φωνήν του Δεσπότου Χριστού: «Ο οίκος του Θεού πρέπει να είναι οίκος προσευχής». Αντιθέτως εκείνους οι οποίοι εδείκνυον ενδιαφέρον διά τας ακολουθίας και τας παρηκολούθουν μετ' ευλαβείας και κατανύξεως τους εδέχετο με χαράν ως φιλοθέους και τους επαινούσεν, ακόμη δε τους ετίμα παρέχων εις αυτούς αξιώματα.

Β' Εν τω Γεροντικώ

ΕΙΠΕ γέρων: ἐὰν τὶς εὐκαιρήση μετὰ πολλῶν ἢ μετὰ ὀλίγων εἰς τὴν Ἐκκλησίας καὶ φράξη τὸ στόμα αὐτοῦ του μὴ βοᾶν πρὸς τὸν Θεόν, ἐκεῖνος δαιμόνων ἔργον ἐργάζεται

καὶ γὰρ οἱ δαίμονες, μὴ δυνάμενοι ἀκούσαι τὸν ἔπαινον τοῦ Χριστοῦ, καὶ τοὺς ψάλλοντας καταργούσιν.

2. Εἶπεν ὁ Ἀββᾶς Εὐάγριος μέγα μὲν τὸ ἀπερισπάστως προσεύχεσθαι, μεῖζον δὲ τὸ ψάλλειν ἀπερισπάστως.

Ερμηνεία

ΕΝΑΣ Γέρων είπεν: αν ευρεθή κάποιος, κατά την ώραν της ακολουθίας, με πολλούς ή ολίγους εις την Εκκλησίαν, και φράξη το στόμα του δια να μη ψάλλη προς τον Θεόν, κάνει έργον δαιμόνων· διότι και οι δαίμονες, επειδή δεν ήμπορούν να ακούσουν τον έπαινον του Χριστού, καταργούν και τους ψάλλοντας.

2. Ο Αββάς Ευάγριος είπεν είναι σπουδαίον πράγμα το να προσεύχεται κανείς απερίσπαστος μεγαλύτερον όμως είναι το να ψάλλη χωρίς περισπασμούς.

Γ'. Του Αγίου Εφραίμ

ΑΔΕΛΦΕ, ἐὰν στῆς ἐν οἴκῳ Κυρίου πρὸς λατρείαν πνευματικήν, πρόθυμος ἔσο περὶ τὴν ψαλμῳδίαν· εἰ δὲ σὺ σιγᾶς, σιγήσω κάγω, σιωπήσει καὶ ὁ πέλας, ἐξ ἀνάγκης ἀργήσει καὶ ἡ ψαλμῳδία ἀλλὰ μὴ οὕτω γενέσθω. Εἰ γὰρ οἱ εὐφημοῦντες ἄρχοντα ἢ βασιλέα, ὅταν στῶσιν ἐν θεάτρῳ καὶ θεάσωνται τινὰ μεταξὺ αὐτῶν ἑστῶτα καὶ μὴ συγεκβοώντα αὐτοῖς τεταμένη τῇ φωνή, τοῦτον ὥσαντες καταβάλλουσιν ὡς ἀνάξιόν της τοιαύτης στάσεως κρίναντες, πόσῳ δὴ μᾶλλον ἡμᾶς δέον τῷ δεσπότῃ τοῦ οὐρανοῦ καὶ τῆς γῆς παραστάντας προθύμως καὶ ἐντόνως τὰς ψαλμῳδίας ποιείσθαι; Πρόσεχε δὲ μήποτε ταράξῃς σύστημα ἀνδρῶν ἀσκητῶν, ἑστωτων καὶ ψαλλόντων ἐν Κυρίῳ, ἵνα μὴ θεήλατος σοὶ ἐπέλθη ὀργὴ καὶ πληγῆ. Τὸ γὰρ εἰς Θεὸν ἁμαρτάνειν χαλεπὸν καὶ ἀσύγγνωστον, καὶ πνεύματα δὲ Προφητῶν Προφήταις ὑποτάσσεται, κατὰ τὸ γεγραμμένον· οὐ γὰρ ἀκαταστασίας καὶ Θεός, ἀλλ' εἰρήνης καὶ τάξεως.

Ερμηνεία

ΑΔΕΛΦΕ, εάν σταθής εις οίκον Κυρίου (δηλαδή εις ναόν) διά πνευματικής λατρείαν, να είσαι πρόθυμος να συμμετάσχης εις την ψαλμωδίαν· έαν όμως συ σιωπάς, σιωπήσω και εγώ, σιωπήση και ο πλησίον μας, τότε κατ' ανάγκην θα παύση και η ψαλμωδία. Αλλά δεν πρέπει να γίνη αυτό. Διότι αν εκείνοι οι οποίοι ζητοκραυγάζουν ένα άρχοντα ή βασιλέα, όταν σταθούν εις θέατρον και ίδουν κάποιον, ο οποίος ευρίσκεται ανάμεσά των, αλλά δεν ζητωκραυγάζει μαζί των με υψωμένην την φωνήν,

τούτον αφού τον σπρώξουν τον αποδιώκουν, διότι τον θεωρούν ανάξιον διά μίαν τοιαύτην παράστασιν δεν πρέπει πολύ περισσότερον ημείς όταν σταθώμεν ενώπιον του Δεσπότου του ουρανού και της γης να ψάλλωμεν με προθυμίαν και με την πρέπουσαν δύναμιν τας ύμνωδίας που αρμόζουν εις Αυτόν;

Πρόσεχε δε, αδελφέ, μήπως τυχόν ανησυχήσης ομάδα ασκητών, οι οποίοι στέκονται και ψάλλουν προς δοξολογίας του Κυρίου, διά να μη πέση επί της κεφαλής σου θεϊκή οργή και τιμωρία. Διότι το να αμαρτάνη κανείς προς τον Θεόν είναι φοβερόν και ασυγχώρητον, και πνεύματα δε Προφητών υποτάσσονται είς Προφήτας, συμφώνως με την Αγίαν Γραφήν· διότι ο Θεός δεν είναι Θεός ακαταστασίας, αλλά Θεός ειρήνης και τάξεως.

Δ'. Αντιόχου του Παντέκτου

Η ΨΑΛΜΩΔΙΑ ἔργον ἐστὶ τῶν ἀσωμάτων δυνάμεων, τῶν παρισταμένων καὶ λειτουργουσῶν ἀδιαλείπτως τῷ Θεῷ κατὰ τὸ εἰρημένον «αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν πάνιες οἱ Ἀγγέλου αὐτοῦ καὶ πᾶσαι αἱ δυνάμεις αὐτοῦ» ἁρμόζει δὲ καὶ πάσιν ἀνθρώποις «πᾶσα γάρ, φησι, πνοὴ αἰνεσάτω τὸν Κύριον», κατ' ἐξαίρετον δὲ τοῖς Μοναχούς τους τὸν Ἀγγελικὸν βίον ἐπανηρημένοις λέγει γάρ' «οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν, ἅπαν το σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν».

Ἡ οὖν ψαλμῳδία θυσία ἔστιν ἐνδελεχισμοὺ καὶ θυσία αἰνέσεως, κατὰ τὸ γεγραμμένον «θυσία αἰνέσεως δοξάσει μέ». Διὸ χρεωστοῦμεν οἱ Μοναχοὶ ἐνδελεχῶς καὶ ἀδιαλείπτως λειτουργεῖν τῷ Θεῷ τὰς νενομοθετημένας αὐτῶ δοξολογίας, ἀκούοντες τοῦ Δαβὶδ παρακελευομένου ἡμὶν καὶ λέγοντος. «Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε ψάλατε συνετῶς, καλῶς ψάλατε αὐτὸ ἐν ἀλαλαγμῷ' ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλλω σοί, καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω» καὶ αὖθις «ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ καὶ δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιάσθαι αὐτῶ ἐν τρόμο. Ἡ γὰρ αἴνεσις ἐν Ἐκκλησίᾳ ὁσίων καὶ οἱ υἱοὶ Σιῶν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν ἐγὼ δὲ ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου, ὅτι ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Οὕτως εὐλογήσω σὲ ἓν τὴ ζωή μου, ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου ὅτι ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου τὸν γὰρ χειμάρρους τῆς τρυφῆς σου ποτιεῖς τοὺς ψάλλοντας σοί».

Ἀλλὰ τί χρὴ πάσας τὰς περὶ τοῦ ψάλλειν τοῦ Δαβὶδ παραθέσθαι μαρτυρίας, ἢ τῆς χαρᾶς καὶ εὐφροσύνης τῆς ἐγγινομένης ἐν τῇ καρδίᾳ τοῦ μετὰ κατανύξεως νηφαλέως

ψάλλοντος; Τοῦτο γὰρ οἱ πεπειραμένοι ἀκριβῶς ἐπίστανται. Εὐτόγως οὖν στῶμεν, ἀγαπητοί, ἐν τῇ ψαλμῳδία καὶ προσευχῇ, ἀποστρεφόμενοι τὰς τῶν λογισμῶν καὶ φροντίδων ἐπείξεις. Εἰώθασι γὰρ οἱ δαίμονες, ὅταν ἔδωσι τινὰ προθύμως ψάλλοντα ἢ προσευχόμενον, τότε ὑποτίθενται νοήματα τινῶν πραγμάτων, δῆθεν ἀναγκαίων, κινοῦντες τὸν νοῦν πρὸς ζήτησιν αὐτῶν, ἵνα ἐνσχεθεῖς τὴ αὐτῶν μνήμη ὁ νοῦς ἀπολέση τὴν γλυκύτητα τῆς ψαλμῳδίας. Διὰ τοῦτο γὰρ ὁ Χριστὸς διὰ στόματος νηπίων, ἤγουν τὴ ἀκακία νηπιαζόντων, καταρτίζει τὸν αἶγον, ἵνα διὰ τῆς ψαλμῳδίας καταλύση τὸν τυραννοῦντα ἡμᾶς ἐχθρὸν καὶ ἐκδικητὴν διάβολον, ἐχθρὸν μὲν τῶν ἀρετῶν, ἐκδικητὴν δὲ τῆς κακίας.

Καὶ ἠμεῖς οὖν, ἁπλότητι αἰνοῦντες τὸν Κύριον, συντρίβομεν τὲ καὶ καταλύομεν τὰ αὐτοῦ μηχανήματα. "Ἔστω οὖν καὶ ψαλμὸς συνεχὴς Θεὸς γὰρ καὶ μόνον ὀνομαζόμενος φυγαδεύει δαίμονας. Καὶ τοῦτο δὲ ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς, ὅτι ἡ ψαλμῳδία ἠμῶν κανὼν λέγεται, ὡς καὶ αὐτοὶ οἴδατε. "Ὡς πὲρ οὖν ὁ γεωργός, ἐὰν μὴ ἀποδῶ πλήρη καὶ καλὸν τὸν κανόνα αὐτοῦ, μυρία πάσχει δεινά, εἰς φυλακὴν ἐμβάλλεται, καὶ κρεμᾶται καὶ δέρεται, ἕως οὐ ἀποδῶ πᾶσαν τὴν ὀφειλῆς αὐτοῦ, οὕτω καὶ ὁ Μοναχός, ὅταν ἀμελήση τοῦ κανόνος αὐτοῦ, εὐθέως ἐγκαταλιμπάνεται ὑπὸ τῆς χάριτος καὶ παραδίδοται τοὺς ἐχθροὺς αὐτοῦ, καὶ πίπτει ὑπὸ τοὺς πόδας αὐτῶν.

Ερμηνεία

Η ΨΑΛΜΩΔΙΑ είναι έργον των ασωμάτων δυνάμεων, αι οποίαι στέκονται πλησίον του Θεού και τον υμνολογούν αδιακόπως, όπως λέγει και ο ψαλμωδός: «Αινείτε τον Κύριον από τους ουρανούς πάντες οι Αγγελοι Αυτού και πάσαι αι δυνάμεις Αυτού». Αυτό δεν επιβάλλεται και δι' όλους τους ανθρώπους· διότι, όπως λέγει πάλιν ο ψαλμωδός, «πάσα πνοή πρέπει να υμνολογή τον Κύριον» ιδιαιτέρως δε τούτο επιβάλλεται διά τους Μοναχούς, οι οποίοι έδιάλεξαν και ήκολούθησαν τον Αγγελικον βίον. Λέγει δηλαδή η Γραφή. «Σείς που φοβείσθε τον Κύριον, υμνολογήσατε Αυτόν, όλοι οι απόγονοι του Ιακώβ να τον δοξάσετε».

Η ψαλμωδία λοιπόν είναι διαρκής θυσία και θυσία αινέσεως, όπως λέγει και η Γραφή: «με θυσίαν αινέσεως θα με δοξάση». Διά τούτο ημείς οι Μοναχοί χρεωστούμεν συνεχώς και αδιακόπως να προσφέρωμεν εις τον Θεόν τας δοξολογίας, αι οποίαι έχουν νομοθετηθή δι' Αυτόν, υπακούοντες κατ' αυτόν τον τρόπον και εις τον Δαβίδ, ο οποίος μάς παρακινεί εις αυτό, λέγων: «Ψάλατε προς τον Θεόν ημών, ψάλατε: Ψάλατε προς τον Βασιλέα ημών, ψάλατε: Ψάλατε με σύνεσιν, ψάλατε προς Αύτον καλώς με ισχυράν φωνήν θα ευφρανθούν τα χείλη μου, όταν ψάλω προς Σε και η ψυχή μου, την οποίαν έσωσες, θα ευφρανθή» και πάλιν εις άλλο σημείον λέγει η

ΥΠΟΘΕΣΙΣ ΙΒ΄ (Να σεβόμαστε τις θείες συνάξεις)

Γραφή: «Ψάλατε προς τον Κύριον οι αφωσιωμένοι προς Αυτόν και υπηρετήσατε τον Κύριον με φόβον, και να αγαλλιάσθε από τον τρόμον, ο οποίος σας καταλαμβάνει. Η υμνολογία και δοξολογία του Θεού δηλαδή πρέπει να γίνεται εις Εκκλησίαν οσίων και οι υιοί της Σιών ας ευφρανθούν διά τον Βασιλέα των. Εγώ δε θα ψάλω και θα υμνήσω τον Θεόν διά την δόξαν που μου έχάρισε, διότι εθερμάνθη εντός μου η καρδία μου από την αγάπην Του και από την θέρμην της αφοσιώσεώς μου εις τον Θεόν θα ανάψη εντός μου πύρ. .

Μετά του αυτού πόθου θα σε δοξολογώ καθ' όλην την ζωήν μου και μόνον εις το όνομά Σου θα υψώνω τας χείρας μου και θα προσεύχωμαι εις Σέ. Τότε θα χορταίνη και θα ευφραίνεται η ψυχή μου, ως θα ηυφραίνετο το σώμα, όταν θα έτρωγε λιπαρά και παχέα φαγητά. Με χείλη αγαλλόμενα τότε θα σε υμνή το στόμα μου και θα τους ποτίσης με ποτόν τον χείμαρρον των απολαύσεων εκείνους που θα ψάλλουν εις Σέ.

καὶ κλύδωνος ἄσιτοι διαμένουσι, πᾶσαν τὴν ἑαυτῶν τέχνην τῷ πρὸ ὀφθαλμῶν κινδύνῳ ἀντιτιθέντες, ὅπηνικα δὲ τῆς ζάλης ἀπαλλαγῶσι, τότε ἀνάπαυσιν τινὰ τῶν πόνων δεξάμενοι καὶ τῆς λοιπῆς σωτηρίας ποιοῦνται φροντίδα. Πλὴν οὐδὲ τότε ἄμεριμνως πάντη διαγουσιν, οὔτε μὴν ὕπνῳ βαθεῖ κατέχονται, πεῖραν ἐσχηκότες τῶν παρελθόντων καὶ ἔννοιαν λαμβάνοντες τῶν μελλόντων εἰ γὰρ καὶ ὁ χειμὼν ἐκόπασεν, ἀλλ' ἡ θάλασσα οὐκ ἤλαττωται" καὶ εἰ τὸ γεγονὸς ἀπῆλθεν, ἀλλὰ τὸ ἐπιὸν μένει: διὸ δεῖ, διὰ τὸ ἀβέβαιόν της θαλάσσης, ἀδιαλείπτως προσέχειν ἑαυτοὺς ἀσφαλίζεσθαι.

Ερμηνεία

Η ΑΓΙΑ Συγκλητική, εκτός από τας άλλας αρετάς που είχε, δεν παραμελούσε και το σωτήριον φάρμακον δια το σώμα τόσον πολύ δηλαδή αγαπούσε την νηστείαν, ώστε τίποτα να μη θεωρη ισάξιόν της από τα υπόλοιπα. Επίστευες ότι είναι φύλακας και θεμέλιον των άλλων αρετών και αν κάποτε έφαγεν, από ανάγκην, κάτι περισσότερον από το συνηθισμένον, επάθαινε το αντίθετον από εκείνους, που τρώγουν. Εκιτρίνιζε, δηλαδή, το πρόσωπόν της και αδυνάτιζεν. "Οπως λοιπόν από τα πολύκλαδα δένδρα κόβουν τα άκαρπα κλαδιά, έτσι και εκείνη αφαιρούσε τα αγκαθωτά δημιουργήματα της διανοίας της (τας απρεπείς, δηλαδή, σκέψεις) με την προσευχήν και την νηστείαν· και αν κάποιο αγκαθωτόν βλάστημα επρόκοπτεν επ' ολίγον, επέβαλλεν εις τον εαυτόν της διαφόρους τιμωρίας και με διαφόρους κόπους εβασάνιζε το σώμα της.

Οταν, δηλαδή, ο εχθρός της εσήκωνε πόλεμον, αυτή, κατ' αρχάς, επροσκαλούσε, με την προσευχήν, ως σύμμαχον, τον Δεσπότην της, εν συνεχεία δε εχρησιμοποιούσεν εναντίον του αυστηράν άσκησιν· έτσι έτρωγεν άρτον από πίτουρα, και αυτόν με πολλήν εγκράτειαν και προσοχήν, πολλές φορές δε δεν έπινε καθόλου νερόν. Αλλά και εναντίον του ύπνου ηγωνίζετο σκληρά κοιμωμένη τελείως κάτω εις το έδαφος. Οταν δε με αυτά τα όπλα ενικάτο ο εχθρός και υπεχώρει, τότε και αυτή εμετρίαζε την σκληρότητα της ασκήσεως. Αυτό δε το έκαμνε, διά να μη διαλυθούν όλα μαζί τα μέλη του σώματος, από την υπερβολικής και σκληροτάτην άσκησιν και έτσι περιπέση είς κίνδυνον· διότι και αυτό είναι απόδειξις ήττης. "Όταν πέσουν τα όπλα, που θα στηρίξη την ελπίδα του πλέον και στρατιώτης δια να πολεμήση; Διότι μερικοί, αφού με την ασυλλόγιστον και αδιάκριτον νηστείαν εξηντλήθησαν τελείως, ετραυμάτισαν θανασίμως τα σώματά των καί, ώσαν να εγκατέλειψαν τον αγώνα ενώπιον του εχθρού, κατέστρεψαν τον εαυτόν των.

Η Αγία όμως Συγκλητική δεν έπραττεν έτσι, αλλά όλα τα έκαμνε με διάκρισιν· και εναντίον του εχθρού ηγωνίζετο με την ευχήν και την άσκησιν, αλλά και διά το σώμα της εφρόντιζε, χάριν της γαλήνης της ψυχής της. Διότι και οι ναυτικοί, όταν εκσπάση χειμώνα και τρικυμία, παραμένουν νηστικοί διά να αντιμετωπίσουν τον κίνδυνον που έχουν εμπρός των: όταν όμως απαλλαγούν από την τρικυμίαν, τότε ξεκουράζονται κάπως από τους κόπους των και φροντίζουν διά τας λοιπές ανάγκας. Ωστόσον ούτε και τότε παραμένουν τελείως αμέριμνοι, ούτε αφήνονται να νικηθούν από βαθύς ύπνον, επειδή έχουν πείραν από τα περασμένα και αγρυπνούν δια τα μέλλοντα. Διότι αν και εκόπασεν η κακοκαιρία, η θάλασσα όμως δεν έχει ελαττωθή. Και αν το γεγονός επέρασεν, εν τούτοις όμως το μέλλον είναι άγνωστον. Δι' αυτό, επειδή δεν είναι δυνατόν να είναι κανείς βέβαιος διά την κατάστασιν της θαλάσσης, πρέπει πάντοτε να προσέχουν, ώστε να είναι ασφαλισμένοι.

Β'. Του Αγίου Εφραίμ

ΑΔΕΛΦΕ, ἀγάπα ἀεὶ τὴν ἐγκράτειαν, ὅπως ὠφεληθήση σφόδρα εἰ δὲ ἄρξῃ ἀδιαφορεῖν, εἰς ἐσχάτην καταντήσεις ἀπώλειας καὶ ἐν μὲν τοὺς πρώτους τὴν χάριν τοῦ Θεοῦ ἀποστρέψεις, εἶτα καὶ ὑπὸ τῶν δρώντων σὲ γελασθήσῃ καὶ τρίτον οὐδὲ τὸ ἐργόχειρόν σου ἔξεις ἐξαρκοῦν σοὶ πρὸς τοσαύτην δαπάνην. Καὶ ἔξεις ἐντεῦθεν λοιπὸν περισπασμοὺς πραγματείας καὶ τὰ ἐπακολουθοῦντα τούτοις, ψεύσματα, ἀδικίας, ἀποδημίας συνεχεῖς, καὶ πρὸς τοὺς ὑπερέχοντας κολακείας, καὶ πᾶς ὁ βίος σου ἐν φροντίδι ἔσται καὶ ἥ του Θεοῦ μνήμη ἀπό σου μακρυνθήσεται. Καὶ ἐν τούτοις τελείως παραδοθήσῃ εἰς χεῖρας τῶν ἐχθρῶν σου, οὗ καὶ εἰς πυθμένα ᾅδου σὲ κατασπάσουσι καὶ τὰ αἰωνίω πυρὶ μεθ' ἑαυτῶν παραπέμψουσιν' ἡ πολυφαγία γὰρ καὶ ἡ πολυποσία πρὸς τὸ παρὸν ἡδύτητα ἔχουσι, τὴ δὲ ἐπαύριον ἀηδίαν καὶ ἔκλυσιν παρέχουσι τὸ λογισμῶ.

Ερμηνεία

ΑΔΕΛΦΕ, να αγαπάς πάντοτε την έγκράτειαν, διά να ωφεληθής πάρα πολύ αν όμως αρχίσης να αδιαφορής, τότε θα δοκιμάσης ανεπανόρθωτον ζημίαν. Κατ' αρχάς θα απομακρύνης από επάνω σου την χάριν του Θεού· έπειτα θα σε περιγελούν εκείνοι, που σε βλέπουν και τρίτον ούτε το έργόχειρόν σου θα σε φθάνη πλέον διά μίαν τοιαύτην δασπάνην, που θα προκύψη από την περιφρόνησιν της έγκρατείας.

Έτσι θα αποκτήσης εις το εξής όλους τους περισπασμούς των πραγματευτών και όσα επακολουθούν εις τα περιπτώσεις αυτάς ψέματα, δηλαδή, αδικίας, συνεχή

ταξίδια, και κολακείας προς τους ισχυρούς και ολόκληρος η ζωή σου θα είναι γεμάτη φροντίδας. Η μνήμη του Θεου θα απομακρυνθη τελείως από τον νούν σου και, εξ αιτίας αυτών, θα παραδοθείς τελείως εις τας χείρας των εχθρών σου, που θα σε παρασύρουν εις τον βυθόν του Αδου και θα σε στείλουν εις το αιώνιον πύρ, διά να είσαι μαζί των. Διότι η πολυφαγία και η πολυποσία προς το παρόν προκαλούν ευχαρίστησιν αμέσως όμως την άλλην ημέραν προξενούν αηδίαν και παραλύουν τελείως τον λογισμόν.

Γ'. Αντιόχου του Παντέκτου

ΠΑΣΙΝ ἀναγκαῖον το κρατεῖν τῆς γαστρός, μάλιστα δὲ τοῖς τῷ Θεῷ δουλεύειν ἐθελουσιν' ὁ δὲ ἀσχέτως ἔσθιων, ἔοικε νὴ ὑπερπεφορτισμένη, καὶ εὐχερῶς ὑπὸ τῶν κυμάτων βαπτιζομένη τὸ γὰρ σῶμα τροφῆς δεῖται οὐ τρυφῆς, ὀλιγοδείας οὐ πλησμονῆς αἳ μὲν γὰρ καὶ αὐτὸ καὶ τὴν ψυχὴν ὠφελούσι, τῷ μὲν νοϊ ὀξύτητα καὶ καθαρότητα, τὸ δὲ σώματι ὑγιείας καὶ εὐεξίας παρέχουσαι. Αἳ δὲ ἀμφότερα καταβλάπτουσι, τὸν μὲν λογισμὸν παχύνουσαι καὶ σκοτίζουσαι καὶ ρυπούσαι, τὸ δὲ σῶμα οὐ μόνον εἰς γαργαλισμοὺς κινούσαι καὶ ἐπιθυμίας αἰσχρᾶς, ἀλλὰ νόσους αὐτω χαλεπᾶς καὶ συνεχεῖς προξενούσαι. Διὸ καὶ οἱ τὴ ὀλιγοδεία συζῶντες ἀεὶ ἀσκηται τῶν ἀβροδιαίτων συνετώτεροι τὲ εἰσὶ καὶ σωφρονέστεροι καὶ ὑγιεινότεροι.

Φύγωμεν οὖν, ἀδελφοί, τὸν κόρον, ἵνα μὴ τὸ ἔμφυτον πῦρ τῆς σαρκὸς καθ' ἡμῶν εἰς μείζονα ἀναψωμεν ὡς γὰρ καὶ ξύλα τὰ πυρὶ χορηγῶν πλείονα τὴν φλόγα ἀνεγείρει, οὕτω καὶ καὶ τὸ σώματι πλῆθος βρωμάτων διδούς, τὴν ἐπιθυμίαν αὐξάγει καὶ διανίστησιν' ὁμοίως δὲ καὶ ἥ των βρωμάτων πολυτέλεια τὸν μὲν λαιμὸς πρὸς βραχὺ τέρπει, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον.

Μοναχὸς γαστρίμαργος οὐδὲν ἕτερον, εἰμὴ μόνον κοιλίας ὑποφορός ἐστι καὶ τὰς μνείας τῶν ἁγίων ἀριθμεῖ, ὁ δὲ ἐγκρατὴς μιμεῖται βίους αὐτῶν καὶ γαστρίμαργος εἰς οὐδὲν ἕτερον ἐναβρύνεται, ἀλλ' ἢ εἰς πλατείας καὶ εὐρύχωρον κοιλίαν, τὸ ταμιεῖον τῆς τιμίας αὐτῶ κόπρου καὶ προσφιλοῦς. Λυπεῖ δὲ τὸ Πνεῦμα τὸ "Ἅγιόν το ἔνοικουν ἐν αὐτῷ καὶ πόρρω ἑαυτοῦ ἐκδιώκει μὴ φέρων γὰρ τὴν δυσωδίαν ἀναχωρεῖ ἀπ' αὐτοῦ.

Ὡς πὲρ γὰρ ὁ καπνὸς διώκει τὰς μελίσσας, οὕτω καὶ ὁ γαστρίμαργος τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. Λέγει δὲ καὶ ὁ Ἀπόστολος «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται», σάρκα καὶ αἷμα καλῶν τα σαρκικὰ πάθη δι' ὧν ὁ νοῦς εἰς τὸ φρόνημα τῆς σαρκὸς κατασύρεται, καὶ αὐτὴ δὲ ἡ σὰρξ τροφὴ ἔστι τῶν δαιμόνων. Φησὶ γὰρ ὁ Προφήτης «ἐν τῷ ἔγγιζειν ἐπ' ἐμὲ κακούντας τοῦ φαγεῖν τὰς σάρκας μου».

ΥΠΟΘΕΣΙΣ ΙΕ΄ (Περί εγκρατείας)

Ὁ οὖν διὰ τῆς ἐγκρατειας ἐκτήκων τὴν σάρκα λιμοκτονεῖ τοὺς δαίμονας καὶ ἀσθενεστέρους πρὸς τὸν κατ' αὐτοῦ πόλεμον κατεργάζεται. "Ἔχει δὲ ὁ τοιοῦτος καὶ τὸν νοῦν ἀεὶ τῶν μὲν γηίνων ὑψηλότερον, πρὸς δὲ τὸν οὐρανὸν ἐπηρμένον καὶ τὰ ἐν αὐτῷ κάλλη ἐν Ἁγίῳ Πνεύματι φανταζόμενον, καὶ ἔξωθεν μὲν ἔστι στυγνάζων καὶ κατηφής, ἔνδοθεν δὲ φαιδρὸς ὅλος καὶ χάροπος. "Ἔοικε γὰρ ὃ νηστευτὴς τῷ τοῦ φοίνικος ἄνθει, ὅπερ ἔξωθεν μὲν ἔστι στυγνόχροον, ἔσωθεν δὲ χιονῶδες καὶ πολύκαρπον ὥσαυτως καὶ ὁ ἐγκρατής, ἔξωθεν μὲν στυγνάζει, ἔσωθεν δὲ ὑπὸ Θεοῦ φωτιζόμενος, αὐτὸ μετὰ παρρησίας διαλέγεται.

Ερμηνεία

ΕΙΣ όλους είναι αναγκαίον να κυριαρχούν εις την κοιλίαν των, προ παντός όμως είς εκείνους που θέλουν να δουλεύουν εις τον Θεόν. Εκείνος που τρώγει, χωρίς καμμία εγκράτειαν, ομοιάζει με παραφορτωμένον πλοίον, που καταποντίζεται εύκολα από τα κύματα. Το σώμα έχει ανάγκην από τροφήν και όχι από γαστρικήν απόλαυσιν, από λιτότητα και όχι από αφθονίαν. Διότι η τροφή και η λιτότητα και την ψυχήν ωφελούν, διότι χαρίζουν εις τον νούν οξύτητα και καθαρότητα και είς το σώμα προσφέρουν υγείαν και ευρωστίαν· αντιθέτως η γαστρική απόλαυσις και η αφθονία τον μέν λογισμόν τον παχαίνουν, τον σκοτίζουν και τον ρυπαίνουν, το δε σώμα όχι μόνον το ερεθίζουν και το παρακινούν εις αισχράς επιθυμίας, αλλά του προξενούν και νόσους φοβεράς και αδιακόπους. Δι' αυτό και οι ασκηταί, που ζουν διαρκώς με λιτότητα, είναι πάντοτε νοημονέστεροι, σωφρονέστεροι και περισσότερον υγιείς, από εκείνους που ζουν με την σπατάλης και την καλοπέρασιν.

Ας αποφύγωμεν, λοιπόν, αδελφοί, τον χορτασμόν, διά νά μή ανάβωμεν περισσότερον εις βάρος μας το έμφυτον πυρ της σαρκός. Διότι όπως ακριβώς εκείνος, που ρίπτει ξύλα εις την φωτιάν, φουντώνει περισσότερον την φλόγα, έτσι και εκείνος, που δίδει εις το σώμα του πλήθος φαγητών, αυξάνει και ξεσηκώνει την αμαρτωλήν επιθυμίαν. Το ίδιον συμβαίνει και με την πολυτέλειαν των φαγητών ευχαριστεί προς στιγμήν τον λάρυγγα, τρέφει όμως και ακοίμητον τον σκώληκα της ακολασίας.

Ο κοιλιόδουλος Μοναχός δεν είναι τίποτε άλλο, παρά σκλάβος της κοιλίας του και μετρά τας εορτάς των Αγίων: ο εγκρατής όμως μιμείται τους βίους αυτών. Ο γαστρίμαργος με τίποτε άλλο δεν ευχαριστείται παρά με την πλατείαν και φουσκωμένην κοιλίαν του, την αποθήκην αυτήν της αγαπημένης του και πολυτίμου κόπρου. Κάμνει το Αγιον Πνεύμα, που κατοικεί μέσα του, να λυπάται και το εκδιώκει

μακράν του διότι, επειδή δεν υποφέρει την δυσωδίαν της γαστριμαργίας, φεύγει από αυτόν.

Όπως ακριβώς ο καπνός εκδιώκει τας μελίσσας, έτσι και ο γαστρίμαργος την χάριν του Αγίου Πνεύματος. Σχετικώς ο Απόστολος Παύλος λέγει: «η σαρξ και το αίμα δεν ήμπορούν να κληρονομήσουν την Βασιλείας του Θεού». Σάρκα και αίμα εννοεί τα σαρκικά πάθη, με τα οποία ο νους γλιστρά σιγά – σιγά εις το σαρκικόν φρόνημα. Αυτή ή σάρκα είναι τροφή των δαιμόνων, διότι όπως λέγει ο Προφήτης «καθώς με πλησιάζουν κακούργοι, διά να φάγουν τας σάρκας μου».

Εκείνος λοιπόν, ο οποίος με την έγκράτειαν καταπονεί τελείως την σάρκα του, καταδικάζει εις μεγάλης πείναν τους δαίμονας και τους κάνει ανικάνους δια τον εναντίον του πόλεμον. Ο τοιούτος Μοναχός χει τον νούν του συνεχώς υψηλότερα από τα γήϊνα, ανυψωμένον προς τον ουρανόν: έτσι φαντάζεται, με τον φωτισμός του Αγίου Πνεύματος. τα κάλλη που υπάρχουν εκεί επάνω. Απ' έξω φαίνεται λυπημένος και σκυθρωπός, ενώ εσωτερικά λάμπει ολόκληρος και είναι χαρούμενος.

Ο νηστευτής Μοναχός ομοιάζει δηλαδή, με το άνθος του φοίνικος, που εξωτερικά είναι σκοτεινόχρωμον, ενώ εσωτερικά λευκών όπως το χιόνι και γεμάτον καρπούς, έτσι και ο εγκρατής εξωτερικά σκυθρωπάζει, ενώ μέσα εις την ψυχήν του, καθώς φωτίζεται από τον Θεόν, συνομιλεί με θάρρος μαζί Του.

Δ'. Του Αββά Ησαΐου

ΩΣΠΕΡ λύκω πρόβατον οὐ συνεισέρχεται εἰς τεκνογονίαν, οὕτως οὔτε κόρω πόνος καρδιακὸς εἰς κύησιν ἀρετῶν. Οὐδεὶς δύναται πόνος καὶ λύπην κατὰ Θεὸν ἔχειν, ἐὰν μὴ πρότερον τὰς τούτων αἰτίας ἀγαπήση. Φόβος Θεοῦ καὶ ἔλεγχος εἴσδεχονται λύπην, ἐγκράτεια δὲ καὶ ἀγρυπνία προσομιλουσι πόνω. Νεότητος σάρκες πιαινόμεναι διαφόρους βρώμασι καὶ οἰνοποσίαις, ὡς χοῖρος ἕτοιμος εἰς σφαγὴν οὕτω τὴ πυρώσει τῶν τοῦ σώματος ἡδονῶν ἡ ψυχὴ κατασφάζεται, καὶ τὴ ζέσει τῆς κακῆς ἐπιθυμίας ὁ νοῦς αἰχμαλωτίζεται, ἀντέχειν πρὸς τὰς ἡδονᾶς τῆς σαρκὸς μὴ δυνάμενος. Εἰσροὴ γὰρ αἵματος, ἐκροὴν πνεύματος ἀπεργάζεται.

Ἐξαιρέτως δὲ οἴνου μετάληψιν μηδὲ ὄσφραινεσθω ἢ νεότης, ἵνα μή, διπλῆς πυρκαϊᾶς ἀγαπτομένης, τὴ ἔσωθέν του πάθους ἐνεργεῖα, καὶ τὴ ἔξωθεν ἐπιχεομένη οἰνοποσία, διὰ τούτων ἢ ἡδονὴ τῆς σαρκὸς ὑπερζέσασα, τὴν πνευματικῆς ἡδονὴν τοῦ πόνου τῆς κατανύξεως ἐξ ἐαυτῆς ἀποδιώξη, καὶ σύγχυσιν καὶ πώρωσιν ἐν τῇ καρδίᾳ ἐμποιήση.

Ἀλλὰ δὶ' ἐπιθυμίαν ἀγνείας καὶ πνευματικῆς πολιτείας μηδὲ ὕδατος κόρον ἡ νεότης προσιέσθω πάνυ γὰρ πρὸς συνεργίαν σωφροσύνης συμβάλλεται καὶ ἥ του ὕδατος ἔνδεια.

Ερμηνεία

ΟΠΩΣ ακριβώς το πρόβατον δεν ζευγαρώνει με τον λύκον, διά να γεννήσουν παιδιά, έτσι και ο πόνος της καρδιάς δεν ταιριάζει με την πολυφαγίαν, διά να γεννήσουν αρετάς. Δεν ήμπορεί κανείς να έχη κατα Θεόν λύπην και πόνον, αν προηγουμένως δεν αγαπήση τας αιτίας, που τα προκαλούν. Φόβος Θεού και έλεγχος συνειδήσεως κυοφορούν την κατά Θεόν λύπην ή εγκράτεια δε και η αγρυπνία συντροφεύουν με τον κόπον της καρδίας. Νεανικαί σάρκες που παχαίνουν με διάφορα φαγητά και με οινοποσίας είναι όπως ο χοίρος, που τον ετοιμάζουν διά σφαγήν έτσι με την πύρωσιν των σαρκικών ηδονών σφαγιάζεται τελείως η ψυχή και με την φλόγα της κακής επιθυμίας αιχμαλωτίζεται ο νούς διά να μη ήμπορη να αντιστέκεται προς τας σαρκικάς ηδονάς. Διότι η εισροή αίματος (από τας πολλάς τροφάς) έχει ως αποτέλεσμα την εκροήν πνεύματος.

Έξαιρετικά οι νέοι ούτε να οσφραίνωνται το κρασί, διά νά μή ανάβουν διπλήν πυρκαϊάν: εσωτερικών με την επενέργειας του πάθους (της μέθης) και εξωτερικής με την άφθονον οινοποσίαν. Με αυτάς, υπερθερμανθείσα ή σαρκική ηδονή, θα αποδιώξη από την ψυχήν των νέων την ηδονήν από τον πόνον της κατανύξεως και θα προκαλέση σύγχυσιν και πώρωσιν εις την καρδίαν. Αλλ' εαν ο νέος επιθυμή την αγνείαν και την πνευματικής πολιτείαν, ούτε νερό να χορταίνη καλά - καλά διότι διά την επιτυχίας της σωφροσύνης συντελεί πάρα πολύ και η περιωρισμένη χρήσης του νερού.

Ε'. Του Αββά Ισαάκ

ΩΣΠΕΡ νέφος καλύπτει τὸ φῶς τοῦ Ἡλίου καὶ τῆς Σελήνης, οὕτως οἱ ἀτμοὶ τῆς γαστρὸς τὴν σοφίαν τοῦ Θεοῦ ἐκ τῆς ψυχῆς. Καθάπερ πυρὸς φλὸξ ἓν ξηροὺς ξύλους, οὕτω καὶ τὸ σῶμα γαστρὸς ἔμπεπλησμενης. Καθάπερ ὕλη παρὰ ὕλη αὔξει τὴν φλόγα τοῦ πυρός, οὕτω καὶ ἡ ποικιλία τῶν βρωμάτων τῆς τοῦ σώματος κίνησιν. Ἐν σώματι φιληδόνο ἡ γνῶσις τοῦ Θεοῦ οὐκ οἰκεῖ καὶ ὁ ἀγαπῶν τὸ ἴδιον σῶμα, τῆς τοῦ Θεοῦ χάριτος οὐκ ἐπιτεύξεται. "Ὡς πὲρ πατὴρ κήδεται τέκνου, οὕτω καὶ ὁ Χριστὸς φείδεται σώματος κακοπαθοῦντος δὶ' αὐτόν, καὶ πλησίον ἐστι τούτου διὰ παντός, καὶ ἀντιλαμβάνεται αὐτοῦ, καὶ οὐκ ἔα αὐτὸ εἶς τέλος καταπεσεῖν.

Ερμηνεία

ΟΠΩΣ ακριβώς το σύννεφον αποκρύπτει το φως του ηλίου και της σελήνης, έτσι και οι ατμοί της κοιλίας αποκρύπτουν την σοφίαν του Θεού από την ψυχήν. Όπως η φλόγα της φωτιάς φουντώνει με τα ξερά ξύλα, έτσι και το σώμα φλογίζεται (από τα πάθη) όταν η κοιλία είναι γεμάτη.

Οπως τα ξύλα επάνω εις τα ξύλα μεγαλώνουν την φλόγα, έτσι και η ποικιλία των φαγητών την σωματικής δραστηριότητα. Εις τον φιλήδονον δεν κατοικεί η γνώσις του Θεού και αυτός που αγαπά το σώμα του, δεν θα τύχη της χάριτος του Θεού.

Όπως ο πατέρας φροντίζει για το παιδί του, έτσι και ο Χριστός προνοεί διά το σώμα που κακοπαθεί δι' Αυτόν και ευρίσκεται κοντά του παντοτεινά το βοηθεί και δεν το αφήνει, τελικά, να πέση εις την αμαρτίαν.

ΣΤ'. Εν τω Γεροντικώ

ΗΛΘΕ ΤΙΣ πότε εἰς σκήταν δαιμονῶν καὶ πολὺν διανύσας χρόνον οὐκ ἔθεραπευθη, τῶν Πατέρων παραιτουμένων τὸ θεραπεύσαι αὐτόν, δὶ' ὑπερβολὴν ταπεινώσεως σπλαγχνισθεῖς δὲ εἷς των γερόντων, ἐσφράγισε τὸν πάσχοντα, καὶ εὐθὺς ἐθεραπεύθη ὁ ἄνθρωπος. Ὡς δὲ ἐξῆλθεν ὁ δαίμων, διαπονηθεῖς εἶπε τὸ γέροντι ἰδοὺ ἐξέβαλες μέ, ἐπάνω σου ἔρχομαι. Λέγει αὐτῶ ὁ γέρων" δεῦρο, ἤδεως ἔχω καὶ εἰσῆλθεν εἰς αὐτὸν τὸ δαιμόνιον (οίμαι τοῦτο τὸν Θεὸν αἴτησαμενού του γέροντος). Ἐποίησεν οὖν ὁ γέρων δώδεκα ἔτη ἔχων τὸν δαίμονα καὶ συντρίβων αὐτὸν διὰ τῆς ἀσκήσεως ἤσθιε γὰρ καθ' ἡμέραν ὀστέα φοινίκων δώδεκα. Μετὰ δὲ τοῦτο ἐξῆλθεν ἀπ' αὐτοῦ καὶ δαίμων, ὁ δὲ γέρων, ἰδὼν αὐτὸν ἐξελθόντα ἐξ αὐτοῦ, εἶπεν αὐτῶ τί φεύγεις; ἔτι παραμεινον. Ἀπεκρίθη δὲ αὐτῶ ὁ δαίμων καταργήσοι σὲ ὁ Θεός, ὅτι εἰ μὴ αὐτὸς μόνος, ἄλλος οὐ δύναται πρός σε.

2. Εἶπεν ὁ 'Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἐὰν θελήση βασιλεὺς πόλιν ἐχθρῶν παραλαβεῖν, τὸ ὕδωρ πρώτον κρατεῖ καὶ τὴν τροφήν, καὶ οὕτως οἱ ἐχθροί, ἐκ τοῦ λιμοῦ ἀπολλύμενοι, ὑποτάττονται αὐτό. Οὕτω καὶ τὰ πάθη τῆς σαρκός, ἐὰν νηστεία καὶ λιμῶ πολιτεύσηται ἄνθρωπος, οἱ ἐχθροὶ ἤτοι τὰ πάθη καὶ οἱ δαίμονες ἀσθενούσιν ἀπὸ τῆς ψυχῆς αὐτοῦ.

3. Εἶπε πάλιν τὶς ἰσχυρὸς ὡς λέων; καὶ διὰ τὴν κοιλίαν αὐτοῦ ἐμπίπτει εἰς παγίδα, καὶ ὅλη ἡ ἰσχὺς αὐτοῦ ταπεινούται.

4. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν: εἰ μὴ Ναβουζαρδᾶν ὁ Ἀρχιμάγειρος ἦλθεν, οὐκ ἂν ὁ Ναὸς τοῦ Θεοῦ ἐνεπρήσθη, τουτέστιν εἰ μὴ ἡ ἀνάπαυσις τῆς γαστριμαργίας ἦλθεν εἰς τὴν ψυχήν, οὐκ ἂν ὁ νοῦς κατέπιπτεν ἐν τῷ πολέμῳ τοῦ ἐχθροῦ.

5. Εἶπε πάλιν, ὅτι Δαβίδ, ὅτε μετὰ τοῦ λέοντος συνέβαλεν, ἐκ τοῦ λάρυγγος κατέσχεν αὐτὸν καὶ εὐθέως ἀπέκτεινεν. Ἐὰν οὖν καὶ ἡμεῖς κρατήσωμεν τοῦ λάρυγγος καὶ τῆς κοιλίας ἑαυτῶν, ἤτοι φιληδονίας καὶ γαστριμαργίας, νικῶμεν διὰ τοῦ Θεοῦ τὸν ἀόρατον λέονται,..

6. Εἶπεν καὶ αὐτὸς ταῦτα τὰ τρία οὐ δύναμαι παντελῶς κόψαι, τὴν βρῶσιν καὶ τὸ ἔνδυμα καὶ τὸν ὕπνον ἀλλ' ἐκ μέρους δύναμαι κόψαι.

7. Εἶπε πάλιν ψυχὴ ἐν οὐδενὶ ταπεινούται, ἐὰν μὴ ἐλαττώσης αὐτὴν ἄρτω, ἤγουν στενώσης πρὸς μόνην χρείαν τρέφων.

8. Διηγήσαντο τινὲς τὰ Ἀββᾶ Ποιμένι περὶ Μοναχοῦ τινός, ὅτι οὐ πίνει οἶνον καὶ εἶπεν ὁ οἶνος ὅλως οὐκ ἔστι τῶν Μοναχῶν.

9. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος ἡ νηστεία χαλινὸς ἔστι τῷ Μοναχῷ κατὰ τῆς ἁμαρτίας καὶ ρίπτων αὐτήν, ἵππος θηλυμανὴς εὑρίσκεται.

Ερμηνεία

ΚΑΠΟΤΕ εις την σκήτην ήλθε κάποιος δαιμονισμένος δεν έθεραπεύθη όμως, αν και επέρασε πολύς χρόνος, επειδή οι Πατέρες δεν ανελάμβαναν, από υπερβολικήν ταπείνωσιν, να τον θεραπεύσουν. Ένας όμως από τους Γέροντας τον ευσπλαγχνίσθη, έσφράγισε με το σημείον του Σταυρού τον δαιμονισμένος και αμέσως ο άνθρωπος έθεραπεύθη.

Μόλις έβγήκεν ο δαίμων, επειδή κατακουράσθηκε χωρίς αποτέλεσμα, είπεν εις τον Γέροντα:

– Τώρα που με έβγαλες από αυτόν τον άνθρωπον, έρχομαι επάνω σου.

– Έλα, του λέγει ο Γέροντας, θα μου είναι ευχάριστον.

Αμέσως τότε εμπήκεν εις αυτόν το δαιμόνιον (νομίζω πως ο Γέροντας εζήτησεν αυτό από τον Θεόν). Έπέρασαν λοιπόν δώδεκα χρόνια που ο Γέροντας είχε τον δαίμονα, και συνέτριβε αυτόν με την άσκησιν· διότι έτρωγε καθημερινά δώδεκα κουκούτσια από καρπούς φοινίκων. Μετά τόσην άσκησιν έβγήκεν από αυτόν ο δαίμων ο Γέροντας μόλις τον είδε να εξέρχεται από αυτόν, του είπε:

– Διατί φεύγεις; Μείνε ακόμη.

– Ο Θεός να σε καταργήση του απήντησεν ο δαίμων- διότι εκτός από Αυτόν, τον Θεόν, κανείς άλλος δεν έχει την δύναμιν να σου κάμη τίποτα.

2. Ο Αββάς Ιωάννης ο Κολοβός είπεν· αν ένας βασιλεύς θελήση να κυριεύση μίαν εχθρικήν πόλιν, πρώτα από όλα στερεί το νερόν και την τροφήν (με την πολιορκίαν) και έτσι, εξαντλημένοι από την πείναν οι εχθροί υποτάσσονται εις αυτόν. Έτσι και τα σαρκικά πάθη: αν ο άνθρωπος περάση της ζωής του με νηστείαν, και σχεδόν με πείναν, τότε οι εχθροί του, δηλαδή τα πάθη και οι δαίμονες, φεύγουν εξασθενημένοι από την ψυχήν του.

3. Είπε, πάλιν, ο ίδιος: ποίος είναι ισχυρός όπως ο λέων; Και όμως, προς χάριν της κοιλίας του, πίπτει μέσα εις παγίδα και εξευτελίζεται ολόκληρος η δύναμής του.

4. Είπεν ο Αββάς Ποιμήν: αν δεν ήρχετο ο Ναβουζαρδάν[(*)] ο Αρχιμάγειρος, δεν θα έπυρπολείτο ο Ναός του Θεού (του Σολομώντος): δηλαδή αλληγορικά σημαίνει ότι εάν δεν είχεν έλθει εις την ψυχήν η ανάπαυσις της γαστριμαργίας, δεν θα ενικάτο ο νούς εις τον πόλεμον με τον νοητόν εχθρόν.

5. Είπε, πάλιν, ο ίδιος όταν ο Δαβίδ έπάλαισε με τον λέοντα, τον έπιασεν από τον λάρυγγα και αμέσως τον εσκότωσεν. Εάν λοιπόν και ημείς συγκρατήσωμεν τον λάρυγγα και την κοιλίαν μας, άν, δηλαδή, αποφύγωμεν την φιληδονίας και την γαστριμαργίαν, τότε νικώμεν, με την βοήθειαν του Θεού, τον αόρατον λέοντα.

6. Είπεν ο ίδιος ο 'Αββάς: δεν ημπορώ να αποκόψω τελείως αυτά τα τρία το φαγητόν, το ένδυμά και τον ύπνον. Μόνον εν μέρει ημπορώ να τα αποκόψω.

7. Είπε, πάλιν, ο ίδιος: η ψυχή με τίποτε άλλο δεν ταπεινώνεται, παρά αν της ελαττώσης τον άρτον: αν δηλαδή την περιορίσης μόνον εις την απολύτως απαραίτητον τροφήν.

8. Διηγήθησαν μερικοί εις τον Αββάν Ποιμένα, δι' ένα Μοναχόν, ότι δεν πίνει κρασί. Και ο 'Αββάς απήντησε το κρασί δεν αρμόζει καθόλου εις τους Μοναχούς.

[(*)] Ο Ναβουζαρδάν ήτο αρχηγός της σωματοφυλακής του βασιλέως των Βαβυλωνίων Ναβουχοδονόσορος, ο οποίος επολιόρκησε και εκυρίευσε την Ιερουσαλήμ και έκαυσε τον ναόν του Σολομώντος.

9. Είπεν ο Αββάς Υπερέχιος: η νηστεία είναι διά τον Μοναχόν χαλινός εναντίον της αμαρτίας αυτός που απορρίπτει την νηστείαν, όμοιάζει με άλογον, που ευρίσκεται είς οργασμόν.

Ζ'. Του Αγίου Εφραίμ

ΛΕΩΝ ζωγρεῖται διὰ τὴν ἑαυτοῦ κοιλίαν, καὶ γαστρίμαργος συντρίβεται δὶ' ἡδονὴν γαστρός. Κοπιὰ γαστρίμαργος καὶ συντρίβεται ἐμπλῆσαι γαστέρα αὐτοῦ ἐδεσμάτων, καὶ φαγῶν ὀδυνᾶται περὶ τὴν πέψιν, τὴ δὲ ἐγκρατεῖα ἀκολουθεῖ ὑγεία καὶ νηφαλιότης.

2. Μοναχὸς κυκλευτὴς οὐκ ἄτρωτος ἔσται, ὁ δὲ ὑπομένων ἐν ᾧ ἐκλήθη μᾶλλον εὕρησει ἀνάπαυσιν.

3. Ἔλεγεν ὁ Ἀββᾶς Δανιὴλ ὅτι ὅσον τὸ σῶμα θάλλει, τοσούτον ἡ ψυχὴ λεπτύνεται καὶ ὅσον τὸ σῶμα λεπτύνεται, τοσούτον ἡ ψυχὴ θάλλει.

Ερμηνεία

Ο ΛΕΩΝ συλλαμβάνεται ζωντανός, από την λαιμαργίας του, και ο γαστρίμαργος συντρίβεται από την ευχαρίστησιν της κοιλίας. Κοπιάζει ο γαστρίμαργος και έξοδεύεται δια να γεμίση την κοιλίαν του με έκλεκτά φαγητά όταν όμως τα φάγη, υποφέρει από την δυσκολίαν να τα χωνεύση. Η εγκράτεια, αντιθέτως, συνοδεύεται από υγείας και πνευματικών διαύγειαν.

2. Μοναχός ο οποίος περιφέρεται εδώ και εκεί ασκόπως, δεν θα παραμείνη απλήγωτος από τον σατανάν, ενώ εκείνος που υπομένει εις εκείνο που εκλήθη (εις τας δυσκολίας της μοναχικής ζωής), θα εύρη οπωσδήποτε ανάπαυσιν.

3. Έλεγεν ο Αββάς Δανιήλ: όσον το σώμα παχύνεται, τόσον αδυνατίζει η ψυχή και όσον το σώμα αδυνατίζει, τόσον η ψυχή λαμπρύνεται.

ΥΠΟΘΕΣΙΣ ΙΣΤ'
(Πως αγαπάμε τη νηστεία)

Πῶς οἱ Πατέρες τὴν νηστείαν ἠγάπησαν καὶ κατώρθωσαν, καὶ μέχρι τίνος καὶ εἰς ταύτην ἔχρωντο τὴ ἀκριβεία.

Πώς οι Πατέρες ηγάπησαν την νηστείας και την κατώρθωσαν και μέχρι ποίου σημείου μετεχειρίζοντο, κατ' αυτήν, την ακρίβειαν.

Α'. Εν τω Γεροντικώ

ΔΙΗΓΕΙΤΟ περὶ τοῦ 'Ἀββᾶ Ἀρσενίου καὶ Ἀββᾶς Δανιὴλ καὶ ἔλεγεν, ὅτι τοσαύτα ἔτη ἔμεινε μεθ' ἡμῶν ὁ γέρων καὶ μόνον θαλλὶν σίτου ἐποιοῦμεν αὐτῷ εἰς τὴν χρείαν παντός του ἐνιαυτοῦ καὶ ἡμεῖς, ὅτε παρεβάλομεν αὐτῷ, ἐξ ἐκείνου ἤσθιομεν.

2. Ἔλεγε πάλιν, ὅτι τῶν ὀπωρῶν καὶ γέρων ἀπείχετο, ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἐν τῷ μετοπώρῳ ἔλεγεν ἀφ' ἑαυτοῦ φέρετέ μου, καὶ ἐφέρομεν αὐτῷ καὶ ἐγεύετο μόνον ἀπὸ πασῶν των ὀπωρῶν, εὐχαριστῶν τῷ Θεῷ. “Ορα πῶς καὶ τὴν ἡδονὴν νικῶν διὰ τῆς ἀποχῆς, καὶ τὴν κενοδοξίαν καὶ ὑπερηφανίαν κατέβαλε διὰ τῆς ἐφάπαξ μεταλήψεως.

3. Ἦλθε πότε ὁ 'Ἀββᾶς Ἀχιλλᾶς πρὸς τὸν 'Ἀββᾶς Ἠσαΐαν, καὶ εὗρεν αὐτὸν ἔσθιοντα' ἦν δὲ βαλῶν εἰς τὸ πινάκιον ἅλας καὶ ὕδωρ, δ καὶ ἔκρυψεν ὄπισθέν της σειρᾶς αἰσθόμενος τὸν Ἀβδαν 'Ἀχιλλᾶν αὐτῷ παραβάλλοντα τοῦτο δὲ κατ' οἰκονομίαν ἐποίησεν, ἵνα μὴ σκανδαλίση τὸν παραβάλλοντα, ὡς καὶ αὐτὸ τὸ πρᾶγμα ὕστερον ἔδειξεν οὐ γὰρ ἦν ἐν τῇ σκήτει τοιαύτη συνήθεια. Ὁ οὖν 'Ἀββᾶς Ἀχιλλᾶς, εὑρῶν μὲν αὐτὸν ἐσθίοντα, μηδὲν δὲ ἔμπροσθεν αὐτοῦ παρακείμενον, ἐξήταζεν αὐτὸν λέγων" εἶπε μοί, τί ἤσθιες; “Ο δὲ ἀπεκρίθη συγχώρησον μοί, 'Α6δα, ὅτι θαλλία ἔκοπτον εἰς τὸ καῦμα, καὶ ὡς ἦλθον φαγεῖν ἔβαλον εἰς τὸ στόμα μου ψωμῶν μετὰ ἅλατος καὶ οὐ κατέβαινεν ὁ ψωμός, διὰ τὸ ξηρανθῆναι τὸν φάρυγγά μου ἀπὸ τοῦ καύματος. Διὸ καὶ ἠναγκάσθην βαλεῖν ὕδωρ εἰς τὸ ἅλας, ἵν' οὕτω δυνηθῶ ποιῆσαι τὴν χρείαν μου - ἀλλὰ συγχώρησον μοί. Λέγει ὁ 'Ἀββᾶς Ἀχιλλᾶς, δεῦτε ἴδετε Ἠσαΐαν ζωμὸν ἐσθίοντα ἐν σκήτει. εἰ ζωμὸν θέλεις ἐσθιειν, ὕπαγε εἰς Αἴγυπτον.

4. Ἔλεγεν ὁ Ἀββᾶς Βενιαμίν, ὅτι ὡς κατήλθομεν ἀπὸ τοῦ θέρους εἰς σκήτιν, ἤνεγκαν ἡμὶν ἀπὸ 'Ἀλεξανδρείας καρποφορίαν, ἀνὰ ξεστὴν ἐλαίου ἐν ἀγγείοις γεγυψωμένοις. Εἷς οὖν τὸ ἐπιὸν θέρος ἔφερον οἱ ἀδελφοὶ εἰς τὴν Ἐκκλησίας ἕκαστος τὸ ἀγγεῖον αὐτοῦ,

ἤτοι τὸ περιττεύσαν ἐκ τοῦ ἐλαίου καγῶ ἤνεγκα τὸ ἐμόν, καὶ οὐκ ἤνοιξα μέν, τῇ δὲ ραφίδι τρυπήσας, μετέλαβον ἐξ αὐτοῦ καὶ εἶχεν ἡ καρδία μου, ὅτι μέγα πρᾶγμα ἐποίησα. Συναχθέντων οὖν τῶν ἀγγείων, εὑρέθη τὰ μὲν τῶν ἀδελφῶν ἀνεπιχείρητα ὅλως καὶ τὸ γύψω οὕτως ἤσφαλισμενα, ὡς κατ' ἀρχὰς ἐδόθη αὐτοῖς, τὸ δὲ ἐμὸν τετρυπημένον, καὶ ὡς πορνεύσας ἤσχυνθην.

5. Διηγήσατο ἡμὶν ὁ Ἀββᾶς Βενιαμὶν ὁ Πρεσβύτερός των κελλίων, ὅτι παρεβάλομεν εἰς σκήτιν πρὸς τινὰ γέροντα, εἰς δν καὶ ἄλλοτε ἀπήλθομεν καὶ θελησάντων ἡμῶν βαλεῖν εἰς τὸ ἔψημα μικρὸν ἔλαιον, ἵνα μετὰ τοῦ γέροντος φάγωμεν, εἶπεν ἐκεῖνος ἡμὶν ἰδοὺ ἐκεῖ κεῖται τὸ μικρῶν ἀγγείων καὶ μετὰ ἐλαίου πρὸ τριῶν ἐτῶν μοὶ ἤνεγκατε, καὶ ὡς ἐθήκατε αὐτό, οὕτω μένει ἀνεπιχείρητον καὶ λάβετε ἐξ αὐτοῦ ὅσον θέλετε. Ἠμεῖς δὲ ἀκούσαντες ἔθαυμασαμεν τὴν πολιτείας τοῦ γέροντος.

6. Εἶπεν ὁ αὐτός, ὅτι παρεβάλομεν ἄλλο γέροντα, καὶ ἐκράτησεν ἡμᾶς φαγεῖν: ἔβαλε δὲ ἡμὶν ραφανέλαιον, καὶ λέγομεν αὐτῷ Πάτερ, μᾶλλον μικρὸν ἔλαιον χρήσιμον βάλε ἡμῖν' ὁ δὲ ἀκούσας, ἐσφράγισεν ἑαυτὸν λέγων" εἰ ἔστιν ἄλλο ἔλαιον ἐκτὸς τούτου οὐκ οἶδα ἐγώ.

7. Διηγήσαντο περὶ τοῦ Ἀββᾶ Διοσκόρου, ὅτι ὁ ἄρτος αὐτοῦ κρίθινος ἦν ἢ ἀπὸ φακοῦ, κατ' ἐνιαυτὸν δὲ ἔβαλεν ἀρχὴν μιᾶς πολιτείας λέγων" τὸ ἔτος τοῦτο οὐκ ἀπαντῶ τινι, ἢ οὐ λαλῶ ὅλως, ἢ οὐ τρώγω ἔψημα, ἢ ὀπώραν, ἢ λάχανα, καὶ εἰς πᾶσαν ἐργασίαν ἀσκήσεως οὕτως ἐποίει κατ' ἐνιαυτόν. Τελειώσας τὴν τοῦ ἑνὸς ἐργασίας, ἀπήρχετο τοῦ ἄλλου, καὶ οὕτω τὴν πρὸς πάντα κατώρθωσεν ἀπροσπάθειαν, καὶ πάντων περιεγένετο, εἰς & ἔβλεπεν ἑαυτὸν ἐλαττούμενον.

8. Τὸ Ἀββᾶ Ἠσαΐα παρέβαλε τὶς τῶν ἀδελφῶν ὁ δὲ ἔνιψεν αὐτοῦ τους πόδας, εἶτα ἔβαλε δράκα φακοῦ εἰς χύτραν ἄψας πῦρ καὶ ὡς ἔβρασε, κατήνεγκεν αὐτὴν ὁ δὲ ἀδελφὸς λέγει αὐτῷ οὔπω ἐψήθη, Ἀββᾶ. Ἀπεκρίθη ἐκεῖνος οὐκ ἄρκεί σου ὅτι εἶδες λαμπρόν; καὶ αὕτη μεγάλη παράκλησις.

9. "Ἔλεγεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἔσθιοντες οἱ Πατέρες τῆς σκήτεως ἄρτον καὶ ἅλας, οὐδὲ εἰς ταῦτα ἠνάγκαζον ἑαυτούς, ἤγουν οὐδὲ τούτων ἀμέτρως ἐνεφορούντο καὶ διὰ τοῦτο ἰσχυροὶ ἦσαν πρὸς τὸ ἔργον τοῦ Θεοῦ.

10. Διηγήσατο ὁ Ἀββᾶς Κασσιανός, ὅτι παρέβαλεν ὁ Ἀββᾶς Ἰωάννης, ὃς ἦν ἡγούμενος Κοινοβίου μεγάλου, τὸ Ἀββᾶ Παϊσίω ἐν ἀκροτάτῃ ἐρήμω διαγοντι ἐπὶ ἔτη τεσσαράκοντα εἶχε δὲ πρὸς αὐτὸν πολλὴν ἀγάπην καὶ παρρησίαν, καὶ λέγει τὸ γέροντας τὸ κατώρθωσας τοσούτον ἤδη χρόνος ἀναχωρῶν καὶ ὑπὸ μηδενὸς ἀνθρώπου ταχέως ὄχλουμενος; "Ο δὲ ἀπεκρίθη ἀφ' οὐ ἐμόνασα, οὐδέποτε εἶδε μὲ ὁ ἥλιος ἔσθιοντα. "Ἔφη καὶ ὁ Ἀββᾶς Ἰωάννης οὐδὲ ἐμὲ ὀργιζόμενον.

11. Γέρων τὶς ἐκάθητο ἐν τῷ Κοινοβίο τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου, καὶ ἐπὶ τριάκοντα ἔτη τὸν δὲ τὸν κανόνα ἐτήρει" καθ' ἑβδομάδα ἅπαξ μετελάμβανεν ἄρτου καὶ ὕδατος, εἰργάζετο δὲ ἀδιαλείπτως, καὶ τῆς Ἐκκλησίας οὐδέποτε ἐξήρχετο.

12. Ἔλεγον περὶ τοῦ 'Ἀββᾶ Μακαρίου, ὅτι εἰ πότε εὐκαιρησε συνεστιασθῆναι τοῖς ἀδελφοῖς, ἐτίθει ἑαυτῷ ὅρον, ὅτι ἐὰν εὑρεθῆ οἶνος, διὰ τοὺς ἀδελφοὺς πῖνε, καὶ ἀντὶ ἑνὸς ποτηρίου οἴνου, μίαν ἡμέραν μὴ πίῃς ὕδωρ. Οἱ οὖν ἀδελφοὶ χάριν ἀναπαύσεως ἐδίδουν αὐτῷ, ὁ δὲ γέρων μετὰ χαρᾶς ἐλάμβανεν, ἵνα ἑαυτὸν βασανίση. Ὁ οὖν μαθητὴς αὐτοῦ, εἰδῶς τὸ πρᾶγμα, ἔλεγε τοῖς ἀδελφοὺς διὰ τὸν Κύριον μὴ δότε αὐτό, εἰ δὲ μὴ γέ, εἰς τὸ κελλίον μέλλει ἑαυτὸν βασανίζειν. Καὶ μαθόντες οἱ ἀδελφοὶ καὶ ἐποίει ὁ γέρων, οὐκέτι παρεῖχον αὐτῷ οἶνον.

13. "Ἔλεγον περὶ τοῦ 'Ἀββᾶ Μάρκου τοῦ ἀναχωρητοῦ, ὅτι ἐπὶ ἑξήκοντα καὶ τρία ἔτη τοιαύτην ἔσχε τὴν ἐργασίας, τὰς ἑβδομάδας νηστεύων, ὡς νομίζειν τινὰς ὅτι παρὰ φύσιν ἐστίν. Εἰργάζετο δὲ ἐν νυκτὶ καὶ ἡμέρα καὶ ἐδίδου πτωχοῖς τὰ ἐκ τῆς ἐργασίας αὐτὴ ποριζόμενα, οὐδέποτε δὲ παρὰ τινὸς ἔλαβε τί πρὸς δὲ τοὺς διδόντας ἔλεγεν οὐκ ἔχω χρείαν λαβεῖν τὸ γὰρ ἐργόχειρόν μου τρέφει μέ, καὶ τοὺς ἔρχομενους πρὸς μὲ διὰ τὸν Θεόν.

14. Διηγήσατο τὶς μαθητὴς περὶ τοῦ Ἀββᾶ» αὐτοῦ, ὅτι ἐν ὅλους εἴκοσιν ἔτεσιν οὐκ ἐκοιμήθη ἐπὶ πλευροῦ, ἀλλ' εἰς τὸ κάθισμα, ἐν ὢ εἰργάζετο, ἐκεῖ καθήμενος ἔκαθευδεν. "Ἤσθιε δὲ διὰ δύο ἢ διὰ τεσσάρων ἢ διὰ πέντε ἡμερῶν ἐν πάσι τοῖς τοσούτοις ἔτεσιν ἐν δὲ τῷ ἐσθίειν εἶχε τὴν μίαν χεῖρα ἐκτεταμένην εἰς προσευχήν, τὴ δὲ ἄλλη ἤσθιεν. Ἐρωτήσαντος δέ μου, φησίν, αὐτὸν τίνος χάριν τοῦτο ποιεῖ, ἀπεκρίθη ὁ γέρων, ὅτι τὸ κρῖμα τοῦ Θεοῦ τίθημι πρὸ τῶν ὀφθαλμῶν μου, καὶ οὐ δύναμαι καρτερῆσαι. Ποτὲ οὖν ἐξελθῶν ὁ γέρων καὶ εὑρῶν μὲ ἐν τῇ αὐλῇ κοιμώμενον, ἔστη ἐπάνω μου καὶ ἔκλαυσε καὶ θρηνῶν ἔλεγεν ἄρα ποὺ ἔστιν καὶ λογισμὸς τούτου, ὅτι οὕτω καθεύδει μετὰ ἀμεριμνίας;

15. "Ἄλλος γέρων ἐκάθητο εἰς ἔρημον μακράν, καὶ τὶς ἀδελφός, παραβαλῶν αὐτῷ, εὗρε τὸν γέροντα ἀσθενοῦντα. "Ἔνιψεν οὖν αὐτὸν καὶ ἐξ ὧν ἔφερε χρειῶν ἐποίησε μικρὸν ἐψητόν, καὶ ἤνεγκεν αὐτῷ φαγεῖν ὁ δὲ γέρων ἔφη αὐτὴ φύσει, ἀδελφέ, ἐπελαθόμην ὅτι ταύτην τὴν ἀνάπαυσιν ἔχουσιν οἱ ἄνθρωποι προσήνεγκε δὲ αὐτὸ καὶ ποτήριον οἴνου καὶ ἰδὼν αὐτό, ἔκλαυσε λέγων οὐ προσεδόκησα ἕως θανάτου οἶνον πιεῖν.

16. "Ἔλεγεν ἀδελφός της, ὅτι οἶδα γέροντα εἰς ὅρος ὑψηλὸν καθήμενον μὴ λαμβάνοντα τίποτε παρὰ τινός. 'Ἀλλ' ἔχοντα μικρὸν ὕδωρ ἐφιλοκάλει τὸ λάχανον αὐτοῦ, καὶ οὕτω δικτάτο ἔτη πεντήκοντα, μηδέποτε ἐξελθῶν τοῦ προτειχίσματος. Ἐγένετο δὲ

ὀνομαστὸς διὰ τὰς πολλᾶς ἰάσεις, ἃς ἐποίει συνεχῶς εἰς τοὺς ἔρχομενους πρὸς αὐτόν, καὶ οὕτως ἐκοιμήθη ἐν εἰρήνῃ, καταλιπῶν ἐν τῷ τόπῳ μαθητᾶς πέντε.

17. Εἶπε γέρων εἶδον γέροντας ἐν τῇ ἐρήμῳ ταύτη ἀπὸ ἑβδομήκοντα ἐτῶν ποιήσαντας, καὶ μηδὲν ἄλλο ἔσθιοντας ἢ βοτάνας καὶ φοίνικας.

18. Ἔλεγον περὶ τινὸς μεγάλου γέροντος, ἐν τῇ λαύρᾳ τοῦ Ἀββᾶ Πέτρου καθημένου, ὅτι πεντήκοντα ἔτη ἐποίησε καθήμενος εἰς τὸ σπήλαιον αὐτοῦ, καὶ οὔτε οἶνον ἔπιεν, οὔτε ἄρτον ἔφαγεν, εἰμὴ πίτυρα, μετελάμβανε δὲ τρίτον τῆς ἑβδομάδος.

Ερμηνεία

Ο ΑΒΒΑΣ Δανιήλ διηγείτο διά τον Αββάν Αρσένιον και μας έλεγεν, ότι ο Γέροντας έμεινε τόσα χρόνια μαζί μας και μόνον ένα θαλλιν(*) ήτοι ζεμπίλι σιτάρι του έδίδομεν δι' ολόκληρον τον χρόνον από αυτο δε ετρώγαμεν και ημείς, όταν έπηγαίναμεν εις το κελλί του.

2. Οπωρικά ο Γέροντας δεν έτρωγε –έξηκολούθησε να λέγη ο 'Αββάς Δανιήλ- μόνον δε μίαν φοράν τον χρόνον, κατά το φθινόπωρον, μας έλεγε μόνος του φέρετέ μου, και του έφέρναμεν. Και τότε μόνον εγεύετο από όλους τους καρπούς και ευχαριστούσε τον Θεόν. Κοίταξε να ιδής πώς και την ευχαρίστησιν ενίκα, με την αποχήν, αλλά και την κενοδοξίας και την υπερηφάνειαν εξουδετέρωνε με το να τρώγη μόνον μίαν φοράν τον χρόνον.

3. Κάποτε έπεσκέφθη τον Αββάν Ησαΐαν ο Αββάς Αχιλλάς και τον ευρηκε να τρώγη: είχε βάλει εις το πιάτον του αλάτι και νερόν, τα οποία έκρυψεν οπίσω από πλεγμένα φοινικόκλαδα, μόλις αντελήφθη τον 'Αββάν 'Αχιλλάν να έρχεται προς αυτόν. Αυτό δε, όπως απεδείχθη εκ των υστέρων, το έκαμε κατ' οίκονομίαν, διά να μη σκανδαλίση τον επισκέπτης του. Διότι δεν επικρατούσε τέτοια συνήθεια εις την σκήτην..

Ο 'Αββάς 'Αχιλλάς λοιπόν, επειδή τον ευρήκε να τρώγη, χωρίς να υπάρχη τίποτε εμπρός του, τον ήρώτα: είπέ μου, του λέγει, τί έτρωγες; Συγχώρησέ με, απήντησεν ο 'Αββάς Ησαΐας, έκοβα βλαστάρια φοινίκων μέσα εις την ζέστην, και τώρα μόλις επήρα να φάγω, έβαλα είς το στόμα μου ψωμι με αλάτι αλλά δεν κατέβαινε το ψωμί, επειδή εξεράθηκε ο λάρυγξ μου από την ζέστην δι' αυτό ηναγκάσθην να βάλω νερόν εις το αλάτι, δια να μπορέσω έτσι να ικανοποιήσω την ανάγκης της τροφής αλλά συγχώρεσέ

(*) Θαλλίν ήτοι θαλλία έκαλούντο και τα ζεμπίλια επειδή κατεσκευάζοντο από βλαστούς φοινίκων διά των οποίων οι Πατέρες κατεσκεύαζον και ψιάθια, κοφίνους κ.τ.λ.

με. Λέγει τότε ο 'Αββάς 'Αχιλλάς· ελατε να ιδήτε τον Ησαΐαν να τρώ γη ζωμον εις την σκήτην· έαν θέλης να τρώγης ζωμόν, πήγαινε εις Αίγυπτον.

4. Ο 'Αββάς Βενιαμίν έλεγεν ότι όταν, μετά τον θερισμόν, επεστρέψαμεν εις την σκήτην, μας έφεραν από την Αλεξάνδρειαν ολίγην γεωργικών συγκομιδήν, από ένα ξέστην(*) ελαίου, μέσα σε δοχεία κλεισμένα με γύψον. Κατά το επόμενον λοιπόν καλοκαίρι ο καθένας από τους αδελφους έφερεν εις την Εκκλησίαν το δοχείον, με το έλαιον που του είχε περισσεύσει. Έφερα λοιπόν και εγώ το ιδικόν μου, το οποίον δεν ήνοιξα, αλλά αφού το ετρύπησα ολίγον με την βελόνην, το εδοκίμασα και η καρδία μου εδοκίμασε μεγάλην χαράν, ότι τάχα κατώρθωσα μεγάλο πράγμα. Όταν όμως έμαζεύθησαν όλα τα δοχεία, των μεν αδελφών ευρέθησαν τελείως ανέγγιχτα και με τον γύψον έτσι όπως είχαν δοθή είς αυτούς από την αρχήν, ενώ το ιδικόν μου είχε τρυπητή: αυτό με έκαμε να εντραπώ, ως να είχα διαπράξει πορνείαν.

5. Ο Αββάς Βενιαμίν, ο πρεσβύτερος των κελλίων, μάς διηγήθη ότι κάποτε έπεσκέφθημεν κάποιον Γέροντα εις την σκήτην, εις τον οποίον και άλλοτε είχομεν μεταβή. Οταν ήθελήσαμεν να βάλωμεν ολίγον έλαιον εις το φαγητόν, διά να φάγωμεν με τον Γέροντα, μάς είπεν: εκεί υπάρχει το μικρόν δοχείον με το έλαιον, που μου έφέρατε πριν από τρία έτη και όπως το ακουμπήσατε, έτσι μένει κλεισμένον πάρετε λοιπόν από αυτό όσον θέλετε. Οταν ηκούσαμεν αυτό, εμείναμεν κατάπληκτοι από την αυστηράν άσκησιν του Γέροντος.

6. Ο ίδιος, πάλιν, μας είπεν: άλλοτε επεσκέφθημεν ένα άλλον Γέροντα και μας εκράτησε να φάγωμεν· έβαλε δε εις ημάς έλαιον βγαλμένον από τους σπόρους ρεπανίων (ραπανόλαδον). Πάτερ, του λέγομεν, καλύτερα να μας βάλης ολίγον γνήσιος ελαιόλαδον. Μόλις ήκουσεν αυτο ο Γέροντας έκαμε τον σταυρόν του και είπεν: αν υπάρχη άλλο λάδι, εκτός από αυτό, εγώ δεν γνωρίζω.

7. Δια τον Αββάν Διόσκορον διηγούντο ότι, το ψωμί, που έτρωγεν, ήτο από κριθάρι ή από φακήν. Έλεγον ακόμη διά τον ίδιον Αββάν, ότι κάθε χρόνον ήρχιζε και μίαν νέαν άσκησιν. Τον χρόνον αυτόν, έλεγε, δεν θα συναντήσω κανένα ή δεν θα μιλήσω καθόλου ή δεν θα φάγω μαγειρευμένον φαγητόν, ή καρπόν, ή λάχανα. Και έτσι, σύμφωνα με τον όρον, που έθετε, ενεργούσε όλον τον χρόνον. Μόλις ετελείωνεν ο χρόνος με την άσκησιν αυτήν, ήρχιζεν άλλην άσκησιν, κατά το επόμενον έτος. Έτσι

(*) Ο ξέστης ήτο ρωμαϊκόν μέτρον διά τα υγρά, χωρητικότητος περίπου έξακοσίων τεσσαράκοντα γραμμαρίων.

κατώρθωσε να αποκτήση προς όλα μίαν απάθειαν και να νικήση εις όλα, είς τα οποία έβλεπε τον εαυτόν του να ελαττώνεται (υστερεί).

8. Κάποτε επεσκέφθη τον Αββάς Ησαΐαν κάποιος αδελφός. Ο Αββάς του έπλυνε τα πόδια, έπειτα έβαλε μία φούνταν φακήν εις μίαν χύτραν και ήναψε φωτιάν. Μόλις ήρχισε να βράζη, ο Αββάς Ησαΐας την κατέβασε. Αββά, λέγει ο αδελφός, ακόμη δεν εψήθηκε καλά. Εκείνος απήντησε: δεν σε φθάνει ότι είδες φωτιάν; Και αυτό είναι μεγάλη παρηγορία.

9. Ο 'Αββάς Ιωάννης ο Κολοβός έλεγεν ότι οι Πατέρες της σκήτης, αν και έτρωγον ψωμί και αλάτι, εν τούτοις ούτε εις αυτά επίεζουν τον εαυτόν τους, δηλαδή ούτε από αυτά έτρωγαν απεριόριστα και δι' αυτό ήσαν ισχυροί εις την εκτέλεσιν των εντολών του Θεού.

10. Ο Αββάς Κασσιανός διηγήθη ότι ο Αββάς Ιωάννης, ηγούμενος μεγάλου Κοινοβίου, επεσκέφθη κάποτε τον Αββάς Παΐσιον, που εζούσεν, επί σαράντα χρόνια, εις την πλέον απομεμακρυσμένην έρημον. Τον αγαπούσε δε πάρα πολύ και είχε θάρρος απέναντί του. Λέγει λοιπόν εις τον Γέροντα: Τι κατώρθωσες μετά από τόσα χρόνια αναχωρητής (εις την έρημον), όπου δεν ενοχλείσαι εύκολα από τους ανθρώπους; Και εκείνος απήντησεν. Από τότε, που εμόνασα, ουδέποτε με είδεν ο ήλιος να τρώγω. Ούτε και εμένα να οργίζωμαι, είπε και ο Αββάς Ιωάννης.

11. Κάποιος Γέροντας έμόναζεν εις το Κοινόβιον του Αγίου Θεοδοσίου του Κοινοβιάρχου, και επί τριάντα χρόνια εφήρμοζε τον εξής κανόνα: έτρωγε μόνον μίαν φοράν την εβδομάδα ψωμί και νερό ειργάζετο συνεχώς και ουδέποτε έβγαινεν έξω από την Εκκλησίαν.

12. '"Ελεγον διά τον Αββάς Μακάριον, ότι αν κάποτε του εδίδετο η ευκαιρία να φάγη μαζί με τους αδελφούς, έθετε τον εξής όρον εις τον εαυτόν του· αν ευρεθή κρασί, να το πίνης χάριν των αδελφών: διά κάθε όμως ποτήριον οίνου, δεν θα πίνης μίαν ολόκληρον ημέραν νερόν. Οι αδελφοί λοιπόν χάριν αναπαύσεως του έδιδαν οίνον και ο Γέροντας τον έπινε με χαράν, διά να βασανίση τον εαυτόν του.

Ο μαθητής του όμως, που εγνώριζε την περίπτωσιν, έλεγεν εις τους αδελφούς:

– Προς Θεού! Μή του δίδετε κρασί: διότι διαφορετικά, θα βασανίζη τον εαυτόν του εις το κελλίον.

Μόλις έμαθαν αυτό οι αδελφοί, ουδέποτε πλέον του προσέφεραν οίνον.

13. Διά τον Αββάν Μάρκον τον αναχωρητήν έλεγαν ότι επί εξήκοντα τρία χρόνια έκανε την εξής πνευματικής εργασίας: όλην την εβδομάδα ενήστευεν, ώστε να νομίζουν μερικοί, ότι ήτο υπεράνθρωπος ειργάζετο νύκτα και ημέραν και όσα εκέρδιζε από την εργασίας του τα έδιδεν εις τους πτωχούς ουδέποτε δε επήρεν από κάποιον κάτι. Εις αυτούς, που του έδιδαν, έλεγεν δεν έχω ανάγκην να πάρω τίποτε, με τρέφει το εργόχειρόν μου, καθώς και εκείνους, που έρχονται κοντά μου διά τον Θεόν.

14. Κάποιος μαθητής διηγήθη διά τον 'Αββάς του, ότι επί είκοσιτρία ολόκληρα χρόνια δεν έπεσεν εις το κρεββάτι να κοιμηθή, αλλ' εις το κάθισμα, που είργάζετο, εκεί εκοιμάτο καθιστός. Έτρωγε δε κάθε δύο ή τέσσαρας, ή και πέντε ημέρας είς όλα αυτά τα χρόνια ενώ δε έτρωγε, το ένα χέρι το είχεν υψωμένον διά προσευχήν και με το άλλο έτρωγεν.

Οταν δε τον ήρώτησα, είπεν ο μαθητής του, διά ποίον λόγον το κάμνει αυτό, ο Γέροντας απήντησε: φέρνω έμπρός εις τα μάτια μου την κρίσιν του Θεού και δεν ήμπορώ να ησυχάσω.

Κάποτε λοιπόν, συνέχισεν ο μαθητής, έβγήκεν ο Γέροντας έξω εις την αυλήν και με ευρήκε να κοιμάμαι τότε εστάθη από επάνω μου και έκλαυσε και έλεγεν θρηνολογών: άραγε που ευρίσκεται ο λογισμός του και κοιμάται έτσι αμέριμνα;

15. Αλλος Γέροντας ήσκήτευεν εις μακρυνήν έρημον και κάποιος αδελφός, που τον έπεσκέφθη, τον ευρήκε άρρωστον. Τον έπλυνε λοιπόν και από τα πράγματα, που έφερε μαζί του, του εμαγείρευσεν ολίγον φαγητόν και του έφερε να φάγη.

Ο Γέροντας τότε του λέγει:

– Πραγματικά, αδελφέ, έξέχασα ότι οι άνθρωποι έχουν αυτήν την ανάπαυσιν του φαγητού.

Ο επισκέπτης του προσέφερε και ένα ποτήρι κρασί. Ο Γέροντας μόλις το είδε έκλαυσε και είπε:

– Δεν έπερίμενα ώσπου να αποθάνω ότι θα έπινα κρασί.

16. Κάποιος αδελφός διηγείτο: Έγνώρισε ένα Γέροντα και οποίος ήσκήτευεν εις όρος υψηλόν και δεν εδέχετο να πάρη τίποτα από κανένα. Είχεν ολίγον νερόν και

επεριποιείτο τον μικρόν του λαχανόκηπον και με αυτόν διετρέφετο έως πενήντα χρόνια, χωρίς να εξέλθη καθόλου από τον φράκτην του κελλίου του.

Ο Γέροντας αυτός έγινε ονομαστός, διά τας πολλές θεραπείας, που έκανε συνεχώς είς αυτούς οι οποίοι τον έπεσκέπτοντο.

Τώρα, αυτός απέθανε εν ειρήνη και άφησεν εις τον τόπον εκείνον πέντε μαθητάς.

17. Ένας Γέροντας είπεν είδα με τα μάτια μου, εις αυτήν την έρημον, Γέροντας, που έζησαν εδώ επί εβδομήντα χρόνια, και δεν έτρωγαν τίποτε άλλο παρά μόνον χόρτα και χουρμάδες.

18. Διηγούντο δι' ένα μεγάλον Γέροντα, που ήσκήτευεν εις την Λαύραν του Αββά Πέτρου, ότι παρέμεινεν εις τον σπήλαιόν του επί πενήντα χρόνια, και ούτε οίνον ήπιε, ούτε άρτον έφαγε, παρά μόνον πίτουρα και αυτά τρεις φορές την εβδομάδα.

ΥΠΟΘΕΣΙΣ ΙΖ'
(Οι Άγιοι μας διδάσκουν υπομονή και ταπείνωση)

Πράξεις διάφοροι Πατέρων Ἁγίων εἰς ὑπομονὴν διεγείρουσαι τὴν ἡμετέραν ἀσθένειας καὶ τὴν ὑπερβολὴ διδάσκουσαι ἡμὶν τὴν ταπείνωσιν.

Διάφοροι πράξεις Αγίων Πατέρων, αι οποίαι προτρέπουν ημάς τους αδυνάτους να κάμνωμεν υπομονήν και με υπερβολήν μάς διδάσκουν την ταπείνωσιν.

Α'. Παλλαδίου

Ο ΜΕΓΑΣ Μακάριος ὁ Ἀλεξανδρεὺς οὐ μιὰ ἀσκήσει, ἀλλὰ διαφόρους ἐχρήσατο· εἰ τί γὰρ ἔργον ἀσκήσεως τινὰ τῶν ἀγωνιστῶν πεποιηκότα ἀκήκοε, τοῦτο οὐ μόνον κατορθώσαι, ἀλλὰ καὶ ὑπερβῆναι ἐσπούδασεν. Ἀκούσας οὖν παρὰ τινός, ὅτι οἱ Ταβεννησιώται διὰ πάσης της τεσσαρακοστῆς ἐσθίουσιν ἄπυρον, ἔκρινεν αὐτῷ ἐπὶ ἑπταετίας τοῦ πυρὸς χρῆσιν ἀρνήσασθαι ἤσθιε δὲ λάχανα ὠμὰ καὶ εἰ ποτὲ τί παρεῦρεν ὀσπρίου βρεκτοῦ.

2. Εἶτα ἤκουσε παρὰ τινὸς ἄλλου, ὅτι γέρων τὶς λίτραν ἄρτου ἐσθίει· καὶ κλάσας τὸ βουκέλλατον, καὶ εἶχεν, ἔνεβαλεν εἰς κεράμιον, κρίνας τοσούτον καθ' ἑκάστην ἐσθίειν, ὅσον ἂν ἡ χεὶρ ἀνενέγκη. Διηγεῖτο οὖν ἡμὶν μετὰ τοῦτο χαριεντιζόμενος, ὅτι περιεδρασσόμην μὲν πλειόνων κλασμάτων, οὐ συνεχωρούμην δὲ ἐξενεγκεῖν ὑπὸ τοῦ στενοχώρου της ὀπῆς τοῦ κεραμίου τὸ γὰρ παντελῶς μὴ ἔσθιειν, ὁ τελώνης οὐ συνεχώρει μοί.

3. Ἐπὶ ἄλλα οὖν τρία ἔτη ταύτην ἤσκησε τὴν ἐγκράτειαν, τέσσαρας ἢ πέντε οὐγκίας ἄρτου ἐσθίων καὶ ἀντίρροπον τούτων πίνων ὕδωρ.

4. Ἔκρινεν οὗτος ὁ ἀδάμας ὕπνου περιγενέσθαι καί, ὡς διηγεῖτο ὕστερον, οὐκ εἰσῆλθεν ὑπὸ στέγην ὅλοις εἴκοσι νυχθημέρους, ἀλλ' ἔμενεν αἴθριος, τὸ μὲν τῆς ἡμέρας καύματι φλεγόμενος, τὴ δὲ τῆς νυκτὸς ψυχρότητι πηγνύμενος, ἵνα νικήση τὸν ὕπνον. Εἰ μὴ τάχιον οὖν, φησιν, ὑπὸ στέγην εἰσῆλθον καὶ ἔχρησαμην ὕπνω, εἰς ἔκστασιν ἂν ἦλασα, διὰ τὸ ξηρανθῆναι μου τὸν ἐγκέφαλος. "Ὅσον οὖν ἐπ' ἐμοί, φησι, τὸν ὕπνον

ἐνίκησα ὅσον δὲ ἐπὶ τῇ φύσει τὴ χρείαν ἐχούση τοῦ ὕπνου, τούτω πάλιν ὑπήχθην, παραχωρήσας τὴ ἀνάγκη τῆς φύσεως.

5. Τοῦ Ἁγίου τούτου ἐν μιᾷ καθεζομένου ἐν τῇ κέλλῃ, κώνωψ τὸν αὐτοῦ πόδα ἔκεντησεν ὁ δὲ ἀλγήσας τοῦτον τὴ χειρὶ συνέτριψεν ἤδη κορεσθέντα τοῦ αἵματος εἶτα μεταμεληθεῖς ὡς ἑαυτὸν ἐκδικήσας καὶ τὸν λυπήσαντα ἀμυνόμενος, τοιούτω ἑαυτὸν ὑποβάλλει ἐπιτιμίω. Εἰς τὸ ἔλος τῆς σκήτεως ἀπελθῶν, καὶ ἐν τῇ πανερήμῳ ἐστίν, ἔνθα οἱ κώνωπες ὡς σφῆκες μεγάλοι ὄντες δύνανται τοὺς ἑαυτῶν κέντροις καὶ τὰ τῶν συάγρων περιπείρειν δέρματα, ἐκεῖ οὖν γυμνὸς καθεσθεῖς ἐπὶ μῆνας ἕξ, οὕτως ὑπ' αὐτῶν κατεβρώθη, ὡς καὶ σπονδύλους ἐξενεγκεῖν δι' 8λου τοῦ σώματος. Καὶ ὑποστρέψας μηδὲ γνωρίζεσθαι παρὰ τῶν εἰδότων τὶς ἔστιν, ὅσον ἀπὸ τῆς ὄψεως, εἰ μὴ μόνον ἀπὸ τῆς φωνῆς ἐπεγινώσκετο, ὅτι αὐτὸς ἔστιν καὶ Μέγας Μακάριος. Τινὲς δὲ οἱ αὐτὸν δρῶντες καὶ τὸ γεγονὸς ἀγνοοῦντες, ἐνόμισαν ὅτι ἐλεφαντίασεν τοιαύτην καρτερίαν καὶ τοῦ Χριστοῦ ἀθλητὴς ἐνεδείξατο.

6. Οὗτος ἀκούσας περὶ τῶν Ταβεννησιωτῶν ὅτι μεγάλην ἔχουσι πολιτείαν, μεταμφιεσάμενος καὶ ἀναλαβῶν κοσμικῶν σχῆμα, εἰς Θηβαΐδα τὲ ἀνελθῶν δι' ἡμερῶν δεκαπέντε, παρεγένετο πρὸς τὸ ἀσκητήριον τῶν Ταβεννησιωτῶν, καὶ προσαγγελθῆναι περὶ αὐτοῦ ἤτειτό το Ἀρχιμανδρίτη Παχωμίω, ἀνδρὶ προφητικό, ὢ καὶ κατὰ θείαν οἰκονομίαν οὐκ ἔγνωσθή τα κατὰ τὸν Μακάριον τότε παρὰ τοῦ Πνεύματος. Εἴσκληθεις οὖν καὶ τὸ Παχωμία ἔντυχων, εἶπε δέομαί σου, Κύριε, δέξαι μὲ εἰς τὴν μονήν σου, ἵνα γένωμαι Μοναχός. Λέγει αὐτῶ ὁ Μέγας Παχώμιος ἤδη εἷς γῆρας ἤλασας, καὶ πῶς δυνήση ἀσκεῖν; ἀδελφοὶ γὰρ εἰσιν ὧδε ἀπὸ νεότητος ἀσκήσαντες καὶ τοὺς πόνους συνανατραφέντες, οἱ καὶ φέρουσι τὸν κάματον. Σὺ δέ, ἐν τοιαύτῃ ἡλικία, οὐ δυνήση ἐνεγκεῖν τοὺς τῆς ἀσκήσεως πόνους καὶ περισπασμούς, ἀλλ' ἴλιγγιασας ὑποστρέψεις πάλιν εἰς τὸν κόσμον, καὶ ἠμᾶς μὲν κακολογήσεις, σεαυτὸν δὲ καταβλάψεις τὰ μέγιστα.

Οὐκ ἐδέξατο οὖν αὐτὸν ὁ Παχώμιος, ἀλλ' ἀπεπέμψατο καὶ δὲ προσεκαρτέρησε τὸ πυλώνι" νῆστις ἑπτὰ ἡμέρας, καὶ μαθῶν τοῦτο ὁ Παχώμιος εἴσκαλειται πάλιν αὐτόν, καὶ λέγει κατὰ τὰ πρότερα καὶ δὲ ἀπεκρίνατο δέξαι μέ, 'Ἀββᾶ, καὶ ἐὰν μὴ νηστεύω, ὡς οἱ ἀδελφοὶ καὶ ἐργάζομαι, ὢ ἐργάζονται, τότε κέλευσον μὲ ἔκριφηναί της μονῆς. Ἐδέξατο οὖν αὐτόν, καὶ συνέταξε τοῖς ἐν τῇ μονῇ (ἐστι δὲ τὸ σύστημα τῶν ἀδελφῶν της μονῆς ἐκείνης χίλιοι τετρακόσιοι ἄνδρες ἄχρι τῆς σήμερον), εἶτα παρελθόντος ὀλίγου καιροῦ ἐπέστη ἡ τεσσαρακοστή.

Εἶδεν οὖν ὁ γέρων τοὺς ἀδελφοὺς διαφόρους πολιτείας ἀναλαμβάνοντας, καὶ τὸν μὲν ἔσθιοντα ἐν ἑσπέρᾳ, ὡς σύνηθες, τὸν δὲ διὰ δύο, τὸν δὲ διὰ πέντε, ἄλλον ἐστώτα διὰ πάσης νυκτός, τὴ δὲ ἡμέρα καθεζόμενον εἰς ἔργον, καὶ ἄλλον ἄλλο εἶδος ἀσκήσεως ἐπιτηδεύοντα, ὡς ἡ προθυμία ἑκάστω ὑπέβαλλε καὶ ἡ δύναμις. Αὐτὸς δὲ βρέξας τοὺς ἐκ

φοινίκων θαλλοὺς εἰς πλῆθος, ἔστη ἐν γωνίᾳ μιὰ καὶ μέχρις οὗ ἢ τεσσαρακοστὴ διῆλθε καὶ τὸ Πάσχα παραγέγονεν, οὐκ ἄρτου ἐγεύσατο, οὔχ ὕδατος, οὐ γόνυ ἔκαμψεν, οὐκ ἐκάθισεν, οὐκ ἔνεπεσεν, οὐδαμῶς ἄλλου ἐγεύσατο, εἴμη κράμβης φύλλων ὤμων ὀλίγων κατὰ Κυριακήν, καὶ τοῦτο, οἶμαι, ἕνα δόξῃ ἐσθίειν καὶ μὴ εἰς οἴησιν ἐκπέσῃ. Οὐκ ἐλάλησε πρὸς τινὰ λόγον, οὐ μικρόν, οὐ μέγαν, ἀλλ' ἵστατο σιωπῶν, καὶ ἑαυτῷ μὲν προσέχων καὶ τὴ καρδία ἀδιαλείπτως προσομιλῶν τῷ Θεῷ καὶ προσευχόμενος, ταῖς δὲ χερσὶ τοὺς θαλλοὺς πλέκων.

Τὴν οὖν ὑπερβολικήν, αὐτοῦ καρτερίαν οἱ ἀδελφοὶ θεασάμενοι, προσελθόντες τῷ Παχωμίῳ εἶπον πόθεν ἡμίν, Ἀββᾶ, ἤγαγες τοῦτον τὸν ἄσαρκον πρὸς ἡμετέραν κατάκρισιν; ἢ οὐν ἔκβαλε τοῦτον ἐντεῦθεν, ἢ ἔσο εἰδῶς ὅτι πάντες ἡμεῖς διαχωριζόμεθά σου σήμερον. Ὁ δὲ μέγας Παχώμιος μαθῶν τὰ κατὰ τὸν ἄδρα καὶ τὴν ὑπὲρ ἄνθρωπος αὐτοῦ ἄσκησιν, προσηύξατο τῷ Θεῷ ἀποκαλυφθήνα: αὐτῶ τὶς ἔστιν οὗτος, ὃς τοιαύτην ὑπομονὴν ἐπεδείξατο. Ἀπεκαλύφθη οὖν αὐτό, ὅτι οὗτός ἐστι Μακάριος ὁ Μοναχός.

Τότε προσελθῶν αὐτῶ ὁ Παχώμιος ἐκράτησε τὴν χεῖρα αὐτοῦ, καὶ εἰσάγει αὐτὸν εἰς τὸ εὐκτήριον· καὶ ἀσπασάμενος αὐτὸν λέγει δεῦρο, καλογηρεῖ τὸ εἰ Μακάριος, καὶ ἕνα τί ἀπέκρυψας ἀπ' ἐμοῦ; Ἐκ πολλῶν σὲ ἐτῶν ἐπεθύμουν ἰδεῖν ἀκούων τὰ περί σου χάριν σοὶ ἔχω ὅτι ἔκονδυλισάς τα παιδία μου, ἕνα μὴ μέγα φρονῶσιν ἐπὶ τῇ ἑαυτῶν ἀσκήσεις παρακαλῶ οὐν σὲ λοιπόν, ἀπελθε εἰς τὸν τόπον σου αὐτάρκως γὰρ ὤκοδομησας ἡμᾶς, καὶ εὔχου ὑπὲρ ἡμῶν. Τότε ἀξιωθεῖς ὑπ' αὐτοῦ καὶ τῶν ἀδελφῶν ἀνεχώρησε καὶ ἦλθεν εἰς τὸ κελλίον αὐτοῦ.

7. Διηγήσατο μοὶ οὗτος ὁ οὐράνιος ἄνθρωπος, ὅτι ἤθελησα πότε πέντε ἡμέρας τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ ἀπερίσπαστον ποιῆσαι, καὶ μηδὲν ὅλως ὑλικῶν ἐννοῆσαι, ἀλλ' ἐκεῖνο προσανασχεῖν καὶ ταῖς ὑπερκοσμίαις θεωρίαις ἔνατενιζειν. Τοῦτο οὖν κρίνας ἐν ἑαυτῷ, ἀπέκλεισά μου τὴν κέλλαν καὶ ἔξωθεν τὴν αὐλήν, ὡς τὲ μὴ δοῦναι τινὶ ἐλθόντι ἀπόκρισιν, καὶ ἔστην ἀρξάμενος ἀπὸ τῆς δευτέρας, παραγείλας μου τὰ νῶ καὶ εἶπων αὐτῶ. Βλέπε, μὴ κατέλθης τῶν οὐρανῶν" ἔχεις ἐκεῖ Ἀγγέλους, Ἀρχαγγέλους, τὰς ἄνω πάσας Δυνάμεις, τὰ Χερουβίμ, τὰ Σεραφίμ, τὸν Θεὸν τὸν πάντων ποιητὴν ἐκεῖ διατρῖβε, μὴ κατέλθης ὑποκάτω του οὐρανοῦ, μὴ ἐμπέσης εἰς ὑλικοὺς λογισμούς.

Διαρκέσας οὖν ἐν τούτοις ἡμέρας δύο, φησίν, οὕτω παρώξυνα τὸν δαίμονα, ὡς γενέσθαι τοῦτον φλόγα πυρὸς καὶ κατακαύσαί μου πάντα τα ἐν τῷ κελλίῳ ἐπὶ τοσούτον, ὡς καὶ τὸν ψίαθον ἐφ' δν εἰστήκειν Ῥμπρησαι. Κάμε λοιπὸν νομίσαντα καὶ ἑαυτὸν ἐμπίπρασθαι καὶ φοβηθέντα, ἀποστῆναι τὴ τρίτη ἡμέρα τῆς ὑπερκοσμίου θεωρίας ἐκείνης, καὶ πρὸς τὴν τοῦ κόσμου τούτου κατελθεῖν θεωρίαν καὶ ὑλικᾶς ἐννοίας ἀναλαβεῖν, ἵνα μὴ τὸ πρᾶγμα λογισθῆ μοὶ εἰς τῦφον.

Ερμηνεία

Ο ΜΕΓΑΣ Μακάριος ο Αλεξανδρινός δεν εξετέλεσε μόνον μίαν άσκησιν, αλλά διαφόρους: αν δηλαδή ήκουεν, ότι κάποιος αγωνιστής έπραγματοποιούσε μίαν άσκησιν, εφρόντιζεν όχι μόνον να την κατορθώση, αλλά και να την υπερβή. Όταν, λοιπόν έμαθεν από κάποιον, ότι οι Ταβεννησιώται τρώγουν καθ' όλην την τεσσαρακοστήν άμαγείρευτον φαγητόν, επέβαλλεν εις τον εαυτόν του να μη χρησιμοποιήση φωτιάν, διά φαγητόν, επι επτά έτη έτρωγε δε ωμά λάχανα, και αν εύρισκε καμμιά φορά κανένα βρεγμένον όσπριον.

2. Κατόπιν επληροφορήθη από κάποιον άλλον, ότι κάποιος Γέροντας τρώγει μόνον μίαν λίτραν[(*)] άρτου τότε αφού έσπασε το βουκέλλατον, που είχε, έβαλε ψωμί εις μίαν στάμναν και απεφάσισε να τρώγη καθημερινώς τόσον, όσον θα ήμπορούσε να βγάλη από μέσα το χέρι του. Μάς διηγείτο λοιπόν χαριεντιζόμενος, ότι έπιανα περισσότερα κομμάτια, δεν ήμπορούσα όμως να τα βγάλω, επειδή το στόμιον της στάμνας ήτο στενόν διότι αυτός ο τελώνης, η αδυναμία της σαρκός δηλαδή, δεν με άφηνε να μη τρώγω τελείως.

3. Έπειτα επι άλλα τρία χρόνια επέβαλεν εις τον εαυτόν του αυτήν την έγκράτειαν· έτρωγε τέσσαρας έως πέντε ουγκίας άρτου και έπινε το ανάλογον νερόν.

4. Αυτός λοιπόν ο αδαμάντινος ασκητής απεφάσισε να νικήση και τον ύπνον όπως δε διηγείτο αργότερα, επί είκοσιτέσσαρα ολόκληρα ημερόνυκτα δεν εισήλθεν εις το κελλί του, αλλά παρέμεινεν εις το ύπαιθρον, όπου έφλογίζετο από την υπερβολικήν ζέστης της ημέρας και επάγωνεν από το ψύχος της νυκτός, δια να νικήση τον ύπνον. Αν δεν απεφάσιζα γρήγορα, -είπε- να εισέλθω κάτω από την στέγην του κελλίου μου, θα έπαραφρονούσα, διότι θα εξηραίνετο ο εγκέφαλός μου. Όσον, λοιπόν, ήμπορούσα συνέχισε να λέγη- ενίκησα τον ύπνον υπετάγην, πάλιν, εις τον ύπνον τόσον, όσον ήτο απολύτως απαραίτητος για την ανάγκην της φύσεως, και χάριν αυτής της φυσικής ανάγκης επέτρεψα εις τον εαυτόν μου να κοιμάται ολίγον.

5. Κάποτε αυτός ο Αγιος εκάθητο εις το κελλί του και ένα κουνούπι τον ετσίμπησεν εις το πόδι του. Εκείνος έπόνεσε, και εσκότωσε, με το χέρι του, το κουνούπι, αφού είχε χορτάσει με αίμα. Έπειτα, επειδή μετενόησε, διότι εκδικήθηκε το κουνούπι που τον ήδίκησε με το τσίμπημα, επέβαλεν εις τον εαυτόν του το εξής επιτίμιον: Έπήγε

(*) Η ρωμαϊκή λίτρα ισούτο πρός 320 γραμμάρια περίπου. Υποδιηρείτο δε εκάστη λίτρα εις 12 ουγκίας (Βλέπε υποσ. σελ. 52 του ανά χείρας τόμου).

μέσα εις την πανέρημον, όπου ευρίσκονται τα έλη της σκήτης: εκεί είς τα στάσιμα βρωμόνερα τα κουνούπια είναι μεγάλα ωσαν σφήκες και ήμπορούν, με το κεντρί των, να τρυπήσουν ακόμη και τα δέρματα των αγριοχοίρων. Εκεί, λοιπόν, παρέμεινε γυμνός, επί ένα εξάμηνον και τόσον πολύ τον κατέφαγον τα κουνούπια, ώστε εις ολόκληρον το σώμα του έβγαλεν έξανθήματα, ωσάν ρόζους χονδρά. Όταν δε επέστρεψεν εις το κελλί του, τόσον πολύ είχε παραμορφωθή, ώστε δεν τον ανεγνώριζαν ούτε έκείνοι, που τον εγνώριζαν καλά. Ανεγνώρισαν δε τον Μέγαν Μακάριον όχι από το πρόσωπον, αλλά από την φωνήν. "Αλλοι, πάλιν, που τον έβλεπαν, και αγνοούσαν το γεγονός, ενόμιζαν, ότι είχε προσβληθή από ελεφαντίασιν. Τόσον μεγάλην καρτερίαν επέδειξεν ο αθλητής του Χριστού.

6. Ο ίδιος αυτός Μακάριος, όταν επληροφορήθη διά τους Ταβενησιώτας, ότι έχουν μεγάλην αυστηρότητα εις την ζωήν των, αφού αλαξεν ενδύματα και έγινεν ωσάν κοσμικός, εβάδισεν επί δεκαπέντε ήμέρας και ανέβηκεν εις Θηβαΐδα. Μόλις έφθασεν εις το Μοναστήρι των Ταβεννησιωτών, εζήτησε να ειδοποιήσουν, διά τον ερχομόν του, τον Αρχιμανδρίτης Παχώμιον, που ήτο άνθρωπος με προφητικόν χάρισμα κατά θείαν όμως οικονομίαν, το Πνεύμα δεν του εφανέρωσεν την περίπτωσιν του Μακαρίου.

Αφού, λοιπόν, τον εκάλεσαν μέσα εις το Μοναστήριον και συνήντησε τον Παχώμιον, του είπε:

– Σε παρακαλώ, Κύριέ μου, να με δεχθής εις το Μοναστήρι σου, διά να γίνω Μοναχός.

– Συ έγήρασας πλέον, του απαντά ο Μέγας Παχώμιος, και πώς θα ήμπορέσης να ασκητεύσης; Εδώ ευρίσκονται αδελφοί, που έχουν έπιδοθή εις την άσκησιν από την νεότητά των, έχουν τραφή μαζί με τους κόπους και οι οποίοι αντέχουν εις την σκληρότητα της ασκήσεως: συ όμως, εις αυτήν την ηλικίαν, δεν θα ήμπορέσης να αντέξης εις τους κόπους και τας απασχολήσεις της ασκήσεως, αλλά θα απελπισθώς και θα επιστρέψης πάλιν εις τον κόσμον, όπου και μας θα κακολογήσης και τον εαυτόν σου θα βλάψης πάρα πολύ.

Δεν τον εδέχθη λοιπόν ο Παχώμιος, αλλά τον έστειλεν οπίσω. Ο Μακάριος όμως δεν έφυγεν, αλλά παρέμενε νηστικός επί επτά ημέρας έξω από την Πύλην του Μοναστηριού. Μόλις το έμαθεν αυτό ο Παχώμιος τον καλεί πάλιν μέσα και του επανέλαβε τα προηγούμενα.

Τότε και ο Μακάριος του είπε:

– Σε παρακαλώ να με δεχθής, 'Αββά, και αν δεν νηστεύω, όπως οι αδελφοί, και αν δεν εργάζομαι όπως εκείνοι, τότε διάταξε να με πετάξουν έξω από το Μοναστήρι.

Κατόπιν αυτού τον εδέχθη και τον κατέταξεν εις τους Μοναχούς του Μοναστηρίου (εκείνο δε το Μοναστήρι έχει, μέχρι σήμερα, χιλίους τετρακοσίους Μοναχούς). Μετά μικρόν διάστημα έφθασεν η Μεγάλη Τεσσαρακοστή.

Είδε λοιπόν ο Γέροντας τους αδελφούς να επιδίδωνται εις διαφόρους ασκήσεις και άλλος μεν να τρώγη το βράδυ, όπως ήτο συνηθισμένον, άλλος κάθε δύο ημέρας, άλλος κάθε πέντε, άλλος να αγρυπνη όρθιος ολόκληρον την νύκτα και την ημέραν να απασχολήται εις την έργασίαν, και άλλος τέλος, να επιδίδεται εις άλλο είδος ασκήσεως, ανάλογα με την προθυμίαν και την δύναμίν του. Τότε και αυτός, αφού έβρεξεν αρκετά βλαστάρια φοινίκων εκάθισεν εις μίαν γωνίαν του Μοναστηριού και μέχρις ότου επέρασεν η Τεσσαρακοστή και έφθασε το Πάσχα δεν έφαγε καθόλου ψωμί, δεν ήπιε νερό, δεν ελύγισε το γόνατόν του, δεν εκάθισεν, ούτε επλάγιασε, δεν έφαγε τίποτε άλλο, παρά μόνον, κάθε Κυριακήν, έτρωγεν ολίγα ωμά λαχανόφυλλα (και αυτό, κατά την γνώμην μου, το έκανε, διά να φανή ότι τρώγει και να μη πέση είς υπερηφάνειαν). Δεν ωμίλησεν εις κανένα, μικρόν ή μεγάλον, αλλά εστέκετο σιωπηλός, έπρόσεχε τον εαυτόν του και συνομιλούσε συνεχώς, διά της προσευχής, μέσα εις την καρδίαν του με τον Θεόν, ενώ με τα χέρια του έπλεκε τα βλαστάρια των φοινίκων.

Όταν λοιπόν είδαν οι αδελφοί αυτήν την υπερβολικήν καρτερικότητα, προσήλθαν εις τον Παχώμιον και του είπαν:

Ὡς ἐκ τούτου ποτὲ μὲν τὴ ὑπερβολὴ τῆς ἀσιτίας ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὲς λειτουργίας ὀκνηρότερον γίνεσθαι, ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον, ἀκηδίας καὶ χαύνωσιν ἔμποιεῖν τὴ ψυχή. Καὶ πάλιν οὐ πάσιν ἁρμόδιον εἶναι ἐδοκίμασαν τὴν τῶν λαχάνων μετάληψιν, ἤτοι τοῖς ὑγιαίνουσιν, ἀλλὰ τοϊς ἀσθενούσιν, οὔτε πάσι τὴν τῶν ὀσπρίων, οὔτε πάντας δύνασθαι τὴ τοῦ ξηροῦ ἄρτου κεχρήσθαι τροφή, τουτέστη- τοὺς ἀσθενοῦντας, ἀλλὰ τοὺς ὑγιαίνοντας. Καὶ ἄλλον μὲν εἶπον δύο λίτρας ἔσθιοντα ἄρτου, ἀκμὴν πεινᾶν ἄλλον δὲ ἔσθιοντα λίτραν ἢ ἐξ οὐγκίας χορτάζεσθαι. Πάσιν οὖν ὡς εἴρηται ἕνα ὅρον ἐγκρατείας παραδεδώκασι, τὸ μὴ ἀπατάσθαι χορτασία κοιλίας, μηδὲ ἐξέλκεσθαι τὴ τοῦ λάρυγγος ἡδονὴ οὐδὲ γὰρ ἢ διαφορὰ τῆς ποιότητος μόνον τῶν βρωμάτων, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους τὰ πεπυρωμένα βέλη τῆς πορνείας ἀναπτειν εἴωθεν. Οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστήρ, ἀσωτίας σπέρμα τὰ τίκτει. Καὶ πάλιν οὐ μόνον ἡ κραιπάλη τοῦ οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος καὶ πασῶν τροφῶν καὶ ὑπερβολὴ κεκαρωμένην καὶ νυστάζουσαν ταύτην ἀποτελεῖ. Τοϊς Σοδομίταις οὐκ οἴνου καὶ διαφόρων βρωμάτων κραιπάλη καταστροφῆς γέγονεν αἰτία, ἀλλὰ ἄρτου πλησμονὴ κατὰ τὸν Προφήτην.

Ἡ ἀσθένεια τοῦ σώματος πρὸς τὴν καθαρότητα τῆς καρδίας οὐκ ἀντίκειται, ὅταν παρέχωμεν τῷ σώματι, ἃ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἢ ἡδονὴ θέλει. "Η τῶν βρωμάτων χρῆσις ὅσον ὑπουργῆσαι πρὸς τὸ ζῆν παραλαμβάνεται, οὐχ ὅσον δουλεύσαι ταϊς δρμαϊς τῆς ἐπιθυμίας. Ἡ σύμμετρος κατὰ λόγον τῶν τροφῶν μετάληψις τῆς ὑγείας φροντίζει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. "Ορος ἔγκρατειας δν οἱ Πατέρες παρέδωκαν, οὗτός ἐστι τὸν μεταλαμβάνοντα τινὰ τροφῆς ἔτι τῆς ὀρέξεως ἔγκειμενης ταύτης ἀπέχεσθαι, καὶ μὴ ἀναμένειν τὸν κόρον. Καὶ ὁ Ἀπόστολος δὲ εἴπών της σαρκὸς πρόνοιαν μὴ ποιείσθαι εἰς ἐπιθυμίαν, οὐ τὴν ἀναγκαίαν της ζωῆς κυβέρνησιν ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν.

Ερμηνεία

ΟΙ ΠΑΤΕΡΕΣ μας δεν έχουν παραδώσει ένα μονάχα κανόνα νηστείας, ούτε ένα ωρισμένον διαιτολόγιον, ούτε την άδειαν εις όλους να τρώγουν χωρίς μέτρον επειδή όλοι δεν έχουν την ιδίαν δύναμιν, ή λόγω ηλικίας ή λόγω ασθενείας, ή διότι δεν έχουν ακόμα υποβάλλει το σώμα των εις μίαν σταθεράν συνήθειαν. Εις όλους όμως έχουν υποδείξει ένα σκοπόν να αποφεύγωμεν τα πολλά φαγητά, και να μη επιδιώκωμεν το χόρτασμα του στομάχου μας. Κατόπιν μακράς πείρας διεπίστωσαν ότι η καθημερινή εγκράτεια φαγητού, δηλαδή η μικρά νηστεία, είναι πολύ περισσότερον ωφέλιμος από την μακράν νηστείαν, που φθάνει τας τρείς ή τέσσαρας ημέρας ή διαρκεί και

ολόκληρον εβδομάδα. Διότι, καθώς λέγουν, εκείνος που παρατείνει την νηστείαν χωρίς μέτρον, πολλάκις και την τροφήν χρησιμοποιεί υπέρ το μέτρον.

Έτσι, άλλοτε μεν από την υπερβολικήν ασιτίαν ατονεί το σώμα και γίνεται οκνηρότερον διά τάς πνευματικές λειτουργίας: άλλοτε πάλιν καταβαρύνεται από το πλήθος των τροφών και προξενεί εις την ψυχήν αμέλειαν και αποχαύνωσιν. Από την μακράν, επίσης, πείραν των διεπίστωσαν ότι δεν αρμόζει εις όλους η τροφή των λαχάνων, δηλαδή εις τους υγιαίνοντας, αλλ' εις τους αδυνάτους (Ρωμ. ιδ', 2): ούτε δι' όλους είναι τα όσπρια ούτε όλοι ήμπορούν να χρησιμοποιήσουν ως τροφήν τον ξηρόν άρτον, δηλαδή οι ασθενικοί, αλλά μονάχα οι υγιαίνοντες. Είπον οι Πατέρες ότι άλλος τρώγει δύο λίτρας άρτου και ακόμη πεινά» ενώ άλλος χορταίνει μόλις φάγη μίαν λίτραν ή εξ ουγκίας. Εις όλους, λοιπόν, όπως ελέχθη, ένα όρον εγκρατείας ώρισαν, το να μη εξαπατώμεθα από την επιθυμίαν να χορτάσωμεν την κοιλίαν μας, ούτε να παρασυρώμεθα από την ηδονήν του λάρυγγος διότι όχι μόνον η ποιοτική διαφορά των φαγητών, αλλά και η ποσότης συνήθως ανάβουν τα φλογερά βέλη της πορνείας.

Από οποιανδήποτε τροφής και αν γεμίση ή κοιλία, γεννά τα σπέρματα της ασωτίας. Και πάλιν όχι μόνον η άμετρος οινοποσία φέρει μέθην εις την διάνοιαν, αλλά και το πολύ νερόν και το υπερβολικόν φαγητον αποκοιμίζουν την διάνοιαν ή την κάνουν να νυστάζη. Τους Σοδομίτας δεν τους κατέστρεψεν η ζάλη από την κατάχρησιν του οίνου και των διαφόρων φαγητών, αλλά, όπως λέγει ο Προφήτης, το χόρτασμα του άρτου (Ιεζεκιήλ ιστ', 49).

Η ασθένεια του σώματος δεν έρχεται εις αντίθεσιν προς την καθαρότητα της καρδίας, όταν προσέχωμεν να δίδωμεν εις το σώμα όσα απαιτεί η ασθένεια και όχι όσα θέλει η ηδονή. Τρώγομεν τα φαγητά με μέτρον, όσον χρειάζεται δια την ζωήν και όχι δια να γίνωμεν δούλοι είς τας ορμές της κακής επιθυμίας. Η χρήσης των τροφών με μέτρον και λογικήν εξασφαλίζει την υγείαν του σώματος· δεν αφαιρεί την αγιωσύνην. Αυτός είναι ο όρος της εγκρατείας, τον οποίον μάς παρέδωσαν οι Πατέρες το να τρώγη κανείς και να σταματά το φαγητόν του, ενώ ακόμη έχει όρεξιν, χωρίς να περιμένη να χορτάση τελείως. Και ο Απόστολος Παύλος όταν είπε «και μή φροντίζετε διά την ικανοποίησιν των ατάκτων σαρκικών επιθυμιών» (Ρωμ. ιζ', 14), δεν ήμπόδισε την απαραίτητον κυβέρνησιν της ζωής μας, αλλ' ατηγόρευσε την φιλήδονον φροντίδα.

Θ'. Εν τω Γεροντικώ

ΕΓΕΝΕΤΟ προσφορὰ εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου καὶ εὑρέθη ἐκεῖ κνίδιον οἴνου καὶ λαβῶν εἷς των γερόντων μικρῶν ἀγγείων καὶ ποτήριον, ἀπήνεγκε πρὸς τὸν Ἀββᾶν Σισώην, καὶ ἔδωκεν αὐτῷ καὶ ἔπιεν' ὁμοίως καὶ δεύτερον καὶ ἐδέξατος προσήνεγκεν αὐτῷ καὶ τρίτον καὶ οὐκ ἔλαβεν, εἶπων" παύσαι ἀδελφέ, ἢ οὐκ οἶδας ὅτι ἐστὶ σατανᾶς;

2. Ἡ σκότωσις τῆς ψυχῆς γίνεται ἐκ τῆς ἀταξίας τῆς πολιτείας, τὸ δὲ μέτρον καὶ ὁ καιρὸς ἐν τῇ πολιτείᾳ φωτίζουσι τὴν διάνοιαν καὶ τὴν σύγχυσιν ἀποδιώκουσιν" ἢ γὰρ σύγχυσις τῆς διανοίας ἢ ἀπὸ τῆς ἀταξίας τὴν σκότωσιν ἔμποιει τὴ ψυχή, ἀφ' ἧς ἡ θόλωσις καὶ ἡ ταραχὴ ἐπιγίνεται. Ἐκ δὲ τῆς τάξεως τίκτεται ἡ εἰρήνη, καὶ ἐκ τῆς εἰρήνης τὸ φῶς γεννᾶται ἐν τῇ ψυχῇ καὶ ἐκ τοῦ φωτὸς τῆς εἰρήνης καὶ καθαρὸς ἀὴρ ἐν τῇ διανοίᾳ ἀποκαλύπτεται καὶ πρὸς τὸ μέτρον πρὸς καὶ ἂν ἡ καρδία ἐγγίση τὴ σοφία, πρὸς αὐτὸ καὶ τὴν χάριν παρὰ Θεοῦ δέχεται.

Εἰ οὖν θέλεις τῷ Θεῷ προσεγγίσαι ἐν τῇ καρδίᾳ σου, πρώτον ἐν τοῖς σωματικοὺς δεῖξον αὐτῷ τὸν πόθον σου, ἤγουν ἐν τῇ ἐνδεῖᾳ τῆς χρείας, ἓν τὴ μεταλήψει τοῦ ἑνὸς εἴδους τῆς τροφῆς ἐν τάξει, καὶ ἐν τῇ λοιπῇ ἀσκήσει καὶ κακουχία τοῦ σώματος μετὰ διακρίσεως καὶ γνώσεως γινομένης. Ἐντεῦθεν γὰρ καὶ ὁ Κύριος τὸν θεμέλιόν της τελειώσεως κατεβάλετο, ἐκ κακοπαθείας ἐν τῇ ἐρήμῳ ἀρξάμενος καὶ οὕτω καὶ σὺ ἀναχθήση πρὸς τὰ μείζονα τὲ καὶ τέλεια, καὶ νοερῶς τῷ Θεῷ πλησιάσεις, τὴ συνεργία τῆς χάριτος.

3. Μεγάλη δύναμις ἢ μικρὰ πολιτεία ἢ διαμένουσα τὴν γὰρ πέτραν τὴν σκληρᾶν κοιλαίνει. Μὴ νομίσης, ἀδελφέ, ὅτι ἄλλως κωλύονται οἱ ἔσω λογισμοί, εἰ μὴ ἐκ τοῦ καλῶς καὶ εὐτάκτως τὸ σῶμα καταστῆσαι.

Ερμηνεία

ΚΑΠΟΤΕ έγινε προσφορά (πανήγυρις)[(*)] εις το όρος του 'Αββά 'Αντωνίου. Ευρέθη λοιπόν εκεί και μικρόν δοχείον με οίνον. Τότε ένας από τους Γέροντας το επήρεν, έβαλεν εις ένα ποτήρι, το έφερε και το έδωσεν εις τον 'Αββάν Σισώην: εκείνος το ήπιε.

[(*)] Η λέξις προσφορά έχει ενταύθα την έννοιαν της λέξεως πανήγυρις. Κατα τας επισήμους δηλαδή εορτάς ή κατά την ημέραν κατά την οποίαν εώρταζεν ο κεντρικός ναός της Σκήτεως (το Καθολικών), προσήρχοντο οι εν τοις πέριξ εφησυχάζοντες Πατέρες διά να εορτάσουν από κοινού τη επερχομένην εορτήν. Κατά τας πανηγύρεις προσήρχοντο και κοσμικοί από μακρυνάς περιοχάς προσκομίζοντες μαζί με τα διά την θείαν λειτουργίαν προοριζόμενα τίμια δώρα και διάφορα τρόφιμα και άλλα αναγκαία, τα οποία προσέφερον εις τους μοναχούς. Εκ των προσφερομένων λοιπόν κατά τας επισήμους ταύτας ημέρας τιμίων δώρων και λοιπών χρειωδών εκαλούντο και αι συνάξεις αύται προσφοραι, όπως και οι διά το μυστήριον της Θείας Ευχαριστίας προοριζόμενοι άρτοι καλούνται προσφοραί ή πρόσφορα.

Του έδωσεν επίσης και δεύτερον και το ήπιεν. Οταν όμως του προσέφερε και τρίτον, ο 'Αββάς Σισώης δεν το επήρε και του είπε:

– Παύσε, αδελφέ ή δεν γνωρίζεις, ότι υπάρχει Σατανάς;

2. Η σύγχυσις της ψυχής προέρχεται από την άτακτον ζωήν το μέτρον όπως και το πρέπον εις την ζωήν φωτίζουν την διάνοιαν και αποδιώκουν την σύγχυσιν. Η σύγχυσις της διανοίας, που γεννάται από την αταξίαν, φέρνει σύγχυσιν εις την ψυχήν, εξ αιτίας της οποίας εξαφανίζεται σιγά - σιγά ή καθαρότης και μετά ταύτα επέρχεται η ταραχή. Ενώ από την τάξιν προέρχεται η ειρήνη και από την ειρήνην γεννάται το φώς εις την ψυχήν και από το φως της ειρήνης πνέει και καθαρός αέρας εις την διάνοιαν. Ανάλογα δε με το μέτρον, που θα ήμπορέση ή καρδία να προσεγγίση την σοφίαν, δέχεται από τον Θεόν και την χάριν.

Αν λοιπόν θέλης να πλησιάσης τον Θεόν με την καρδιά σου, δείξε Του πρώτα τον πόθον σου αυτόν εις τα σωματικά δηλαδή εις τον περιορισμόν των αναγκών, εις το να τρώγης με τάξιν μόνον ένα είδος φαγητού, και εις τήν λοιπήν άσκησιν και ταλαιπωρίαν του σώματος, που θα γίνεται με διάκρισιν και τάξιν. Απ' εδώ και ο Κύριος έβαλε το θεμέλιον της τελειώσεως, διότι ήρχισε το έργον Του από την κακοπάθειαν εις την έρημον. Έτσι και συ λοιπόν θα ανυψωθής προς τα μεγαλύτερα και τα τέλεια και θα πλησιάσης νοερώς τον Θεόν με την βοήθειαν της Θείας Χάριτος.

3. Ο ταπεινός και αθόρυβος τρόπος ζωής, που παραμένει σταθερός, είναι μεγάλη δύναμις: διότι ανοίγει λακκούβαν εις σκληρόν βράχον. Μη νομίσης, αδελφέ, ότι οι εσωτερικοί λογισμοί εμποδίζονται με άλλον τρόπον, εκτός από το να συνηθίζωμεν το σώμα μας εις μίαν ώρισμένην τακτικήν.

ΥΠΟΘΕΣΙΣ ΙΘ'
(Η διατροφή μας στις εορτές)

Πῶς δεῖ τὸν θεοφιλῆ ἑορτάζειν, καὶ τὶς καν ἐν ταῖς ἑορταῖς τῶν Πατέρων ἡ δίαιτα.

Πώς πρέπει να εορτάζη εκείνος που αγαπά τον Θεόν και ποιά πρέπει να είναι η διατροφή των πατέρων κατά τας εορτάς.

Α'. Εν τω Γεροντικώ

ΕΙΠΕ γέρων·ἐὰν εἴπῃ σοὶ ὁ λογισμὸς ἐν ἑορτῇ ποιῆσαι διάφορα βρώματα, μὴ ἀκούσῃς αὐτοῦ, ἐπεῖ ἰουδαϊκῶς ἑορτάζεις, ἐκεῖνοι γὰρ ἑτοιμάζουσιν οὕτω. Μοναχοῦ δὲ τροφὴ ἀγαθή το πένθος καὶ τὰ δάκρυα.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἑλλαδίου, ὅτι ἄρτον καὶ ἅλας ἤσθιε διαπαντός, ὡς καὶ οἱ λοιποὶ σκητιῶται. Ὅτε οὖν ἦλθε τὸ Πάσχα, ἔλεγε πρὸς ἑαυτόν, ὅτι νῦν οἱ ἀδελφοὶ ἄρτον καὶ ἅλας ἔσθιουσι κατὰ τὸ ἔθος, ἐγὼ δὲ ὀφείλω μικρὸν κόπον ποιῆσαι διὰ τὸ Πάσχα ἐπεῖ οὖν ἐν ταῖς λοιπαῖς ἡμέραις ἐσθίω καθήμενος, νῦν, ὅτι Πάσχα ἐστι, κοπιάσω μικρῶν καὶ φάγω ἱστάμενος καὶ τοῦτο ἀεὶ ἐν τῷ Πάσχα ἐποίει.

3. Εἶπε τὶς τῶν Πατέρων οἶδα ἀδελφὸν εἰς τὰ κελλία ὄντα, νηστεύσαντα τὴν ἑβδομάδα τοῦ Πάσχα καὶ ὡς συνήχθη ὀψέ, ἔφυγεν ἵνα μὴ φάγη εἰς τὴν Ἐκκλησίαν ἐποίησε δὲ μικρὰ σεύτλα ἐκζεστὰ καὶ ἔφαγε χωρὶς ἄρτου.

4. Εἶπε γέρων ἐν λόγοις θείοις τρυφήσωμεν, καὶ ἐν διηγήμασιν Ἁγίων Πατέρων ἑορτάσωμεν, μὴ γαστρι τρυφῶντες, ἀλλὰ πνευματικῶς εὐφραινόμενοι.

5. Διηγήσατο ἡμὶν ὁ Ἀββᾶς Παῦλος ὁ Καππαδόκης, ὅτι ὅτε γέγονε τῶν Περσῶν ἡ ἐρήμωσις ἐφύγομεν καὶ ἡμεῖς ἀπὸ τῆς Μονῆς ἡμῶν καὶ διεσκόρπισθημεν. Εἰσελθῶν οὖν ἐγὼ ἐν Κωνσταντινουπόλει, εὗρον κατὰ συγκυρίαν πλοῖον μέλλον ἀπάραι εἰς Ἀλεξάνδρειαν, καὶ δοὺς τὸν ναῦλον εἰσῆλθον ἐν αὐτῷ, καὶ δὶ' ὀλίγων ἡμερῶν ἤλθομεν εἰς Ἀλεξάνδρειαν. Εὑρῶν δὲ ἐκεῖ Μοναχοὺς ἀπὸ τοῦ ὄρους τῆς Νιτρίας συνόδευσα αὐτοὺς καὶ φθάσας εἰς τὸ ὄρος, συνώκησα ἐνὶ τῶν γερόντων καὶ διαγαγῶν μετ' αὐτοῦ ἐνιαυτὸν καὶ μῆνας τρεῖς, ἀπῆλθον πρὸς τὸν ἡγούμενος τοῦ ὄρους καὶ λέγω αὐτῷ. Ποίησον ἔλεος, 'Ἀββᾶ, καὶ δὸς μοὶ κελλίον πρὸς τὸ ἡσυχᾶσαι· οὐ δύναμαι συζῆσαι τὸ γέρονται, διότι οὐ φυλάττει ἀκολουθίαν Μοναχῶν, ἀλλ' οὔτε κοσμικῶν.

ΥΠΟΘΕΣΙΣ ΙΘ΄ (Η διατροφή μας στις εορτές)

Ἀναγκάζει γὰρ μὲ νηστεύειν ἐν Κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς ἑορταϊς καὶ ἐν τῇ Πεντηκοστῇ το δὲ χαλεπώτερον, ὅτι οὐδὲ ἔα ψάλλειν κανόνας καὶ τροπάρια, ἃ πάντες συνήθως ψάλλουσι. Καὶ ἐν ταῖς ἡμέραις δὲ τῆς Ἁγίας Τεσσαρακοστῆς, ἄνευ Σαββάτου καὶ Κυριακῆς, οὔτε ἄρτου, οὔτε οἴνου, οὔτε ἐλαίου μετελάβομεν, ἀλλ' ὀπώραις ἠρκούμεθα παρὰ δύο τρεφόμενοι. .

Καὶ ἀπεκρίθη μοὶ ὁ γέρων καὶ τοῦ ὄρους ἡγούμενος ὑποστρεψον, ἀδελφέ, καὶ συνοίκει τὸ γέρονται εἰ γὲ βούλει σωθῆναι καὶ γὰρ σωτηρίας ἐφιέμενος οὔτε ἓν ἑορτή, οὔτε ἐν Κυριακῇ ὀφείλει ἀργεῖν ἀπὸ τῆς δοξολογίας τοῦ Θεοῦ, ἥτις ὑπὸ τῆς νηστείας καὶ ἀγρυπνίας ἐνδυναμούται τὲ καὶ φυλάττεται.

Ὃς πὲρ γὰρ ὁ ἰχθὺς ἄνευ ὕδατος ζῆσαι οὐ δύναται, οὕτως οὐδὲ Μοναχὸς χωρὶς διηνεκοῦς προσευχῆς καὶ νηστείας καὶ ἀγρυπνίας ζῆν ὅλως καὶ διαγειν κατὰ Θεόν: τὸ δὲ διπλᾶς νηστεύειν, ἀναχωρηταῖς μόνοις ἁρμόζει, ὁμοίως καὶ τὸ ὄπωρων μὲν μεταλαμβάνειν, ἄρτου δὲ ἀπέχεσθαι οὐ συμφέρον οὐδὲ ἐπαινούμενον κενοδοξίας γὰρ ἔμφασιν ἔχει. Τὸ δὲ τεσσαράκοντα ἡμέρας ἐγκρατεύεσθαι, ἤτοι τὴ "Ἁγία Τεσσαρακοστή, πεντήκοντα δὲ καταλύειν καὶ ἀναπαύεσθαι, ἤγουν ἐν τῇ Πεντηκοστῇ, κοσμικοὺς καὶ πλουσίους πρέπον, οὐ Μοναχοὺς ὁμοίως καὶ τὸ τροπάρια καὶ κανόνας ψάλλειν καὶ ἤχους μελίζειν τοῖς κατὰ κόσμον ἱερεύσι τὲ καὶ λοιποὺς ἁρμόζον. Διὰ τοῦτο γὰρ καὶ ὁ λαὸς ἐν ταῖς Ἐκκλησίαις συναθροίζεσθαι εἴωθε.

Τοῖς δὲ Μοναχούς τους μακράν των τοῦ κόσμου θορύβων διαγουσι, τὸ τοιοῦτον οὐ μόνον ἀσύμφορον ἔστιν, ἀλλὰ καὶ βλάβης πολλάκις γίνεται πρόξενον ὡς πὲρ γὰρ ὁ ἁλιεὺς δὶ' ἀγκίστρου καὶ σκώληκος ἀγρεύει τὸν ἰχθύν, οὕτω καὶ ὁ διάβολος δὶ' αὐτῶν τῶν τροπαρίων καὶ τοῦ ᾄσματος εἰς κενοδοξίας καὶ ἀνθρωπαρέσκειαν καὶ φιληδονίαν, τάχα δὲ καὶ εἶς πορνείαν βοθρίζει τὸν Μοναχόν' τὸ γὰρ ᾆσμα μακρὰν ἀπὸ Μοναχοῦ ἐπ' ἀληθείας σωθῆναι θέλοντος.

Ερμηνεία

1. ΕΝΑΣ Γέρων είπε: αν σου είπη ο λογισμός σου να ετοιμάσης διάφορα φαγητά είς εορτήν, να μη τον ακούσης, επειδή θα εορτάζης όπως οι Ιουδαίοι. Μόνον οι Ιουδαίοι ετοιμάζονται έτσι διά τας εορτάς. 'Εκλεκτή τροφή για τον Μοναχών είναι το πένθος και τα δάκρυα.

2. Διηγούντο διά τον Αββάν Ελλάδιον, ότι έτρωγε πάντοτε ψωμι και αλάτι, όπως και οι υπόλοιποι Μοναχοί της Σκήτης. Οταν λοιπόν ήλθε το Πάσχα, έλεγεν εις τον εαυτόν του: τώρα οι αδελφοί τρώγουν, κατά τα συνηθισμένα, ψωμί και αλάτι: εγώ έχω χρέος να κοπιάσω ολίγον διά το Πάσχα. Επειδή λοιπόν κατά τας υπολοίπους ημέρας τρώγω

καθιστός, τώρα, που είναι Πάσχα, θα κοπιάσω όλίγον και θα φάγω όρθιος. Και αυτό έκανε πάντοτε εις το Πάσχα.

3. Κάποιος από τους Πατέρας είπε: Γνωρίζω αδελφόν, που παραμένει εις τα κελλία και ένήστευσε την εβδομάδα του Πάσχα. Όταν δε συγκεντρώθησαν αποβραδίς οι αδελφοί, αυτός έφυγε, διά να μη φάγη (εις την κοινήν τράπεζαν) εις την Εκκλησίαν. Έβρασεν ολίγα κοκκινογούλια και τα έφαγε χωρίς ψωμί.

4. Ένας Γέρων είπε: ας ευφρανθώμεν με τους λόγους του Θεού και ας εορτάσωμεν με διηγήσεις Αγίων Πατέρων και όχι με απολαύσεις της κοιλίας μας, αλλά πνευματικά.

5. Ο Αββάς Παύλος, από την Καππαδοκίαν, μάς διηγήθη τα εξής: Όταν ερήμωσεν ο τόπος μας από τους Πέρσας, έφύγαμεν και ημείς από το Μοναστήρι μας και διεσκορπίσθημεν. "Όταν λοιπόν έφθασα εις την Κωνσταντινούπολιν, ευρηκα, κατά σύμπτωσιν, πλοίον, που έπρόκειτο να αναχωρήση διά την Αλεξάνδρειαν. Αφού επλήρωσα τον ναύλον, επεβιβάσθην εις αυτό και μετ' ολίγας ημέρας εφθάσαμεν εις την Αλεξάνδρειαν. Εκεί συνήντησε Μοναχούς από το όρος της Νιτρίας και επήγα μαζί τους. Έτσι έφθασα εις το όρος και κατώκησα μαζί με ένα Γέροντα. Αφού επέρασα μαζί του ένα χρόνον και τρεις μήνας, επήγα προς τον Ηγούμενος του όρους και του λέγω:

- Κάνε έλεος, Αββά, και δώσε μου κελλίον, διά να ησυχάσω μόνος μου δεν ήμπορώ πλέον να ζήσω με τον Γέροντα, διότι δεν κάμνει ούτε την ακολουθίαν των Μοναχών ούτε των κοσμικών.

Με αναγκάζει δηλαδή να νηστεύω την Κυριακήν και τας υπολοίπους εορτάς και την Πεντηκοστήν. Το δε χειρότερον είναι, ότι δεν με αφήνει να ψάλλω κανόνας και τροπάρια, που ψάλλουν όλοι συνήθως. Κατά τας ημέρας της Αγίας Τεσσαρακοστής, εκτός από το Σάββατον και την Κυριακήν, ούτε ψωμι εφάγαμεν ούτε έλαιον, ούτε οίνον ήπιαμεν, αλλά περιωριζόμεθα εις καρπούς τρώγοντες κάθε δύο ημέρας.

Εις αυτά ο Γέρων, ο Ηγούμενος του όρους, μου απήντησε:

– Αδελφέ, γύρισε πίσω και κάθου μαζί με τον Γέροντα, αν θέλης να σωθής βέβαια. Διότι εκείνος, που επιθυμεί την σωτηρίαν του, δεν πρέπει ούτε Κυριακήν ούτε εορτήν να μένη άργός από την δοξολογίαν του Θεού, η οποία δυναμώνει και διατηρείται με την νηστείας και την άγρυπνίαν.

Οπως, δηλαδή, ακριβώς το ψάρι δεν ημπορεί να ζήση χωρίς νερόν, ούτε και ο Μοναχός ήμπορεί να ζήση ούτε στιγμήν χωρίς συνεχή προσευχήν και νηστείαν και

αγρυπνίαν και χωρίς να πολιτεύεται κατά Θεόν. Το να νηστεύη δύο συνεχείς ημέρας αρμόζει μόνον εις τους αναχωρητάς. Το να τρώγη επίσης καρπούς, να μη τρώγη δε άρτον δεν είναι συμφέρον, ούτε αξιέπαινον· διότι έχει την μορφήν κενοδοξίας. Το δε να νηστεύη επί τεσσαράκοντα ημέρας, δηλαδή κατά την Αγίαν Τεσσαρακοστήν, πεντήκοντα δε ημέρας να τρώγη από όλα και να αναπαύεται, αρμόζει εις κοσμικούς και όχι εις Μοναχούς. Και το να ψάλλη κανόνας και μελωδικούς ήχους αρμόζει εις τους ιερείς, που λειτουργούν εις τον κόσμον και εις τους υπολοίπους. Διά τούτο βεβαίως και ο κόσμος συνηθίζει να συγκεντρώνεται εις τας Εκκλησίας.

Δια τους Μοναχούς, που ζούν μακράν από τους θορύβους του κόσμου, αυτό όχι μονάχα δεν συμφέρει, αλλά πολλάκις προξενεί και βλάβην. Οπως ακριβώς ο ψαράς πιάνει το ψάρι με αγκίστρι και δόλωμα, έτσι και ο διάβολος παγιδεύει τον Μοναχών με αυτά τα τροπάρια και το ασμα και τον ρίπτει εις κενοδοξίας και ανθρωπαρέσκειαν και φιληδονίαν, αλλά και εις τον βόθρον της πορνείας γρήγορα τον παρασύρει. Μακρυά λοιπόν το άσμα από τον Μοναχόν, που θέλει να σωθή.

Β'. Του Αγίου Εφραίμ

ΕΟΡΤΗ Μοναχῶ, τήρησις ἐντολῶν Χριστοῦ ἡ δὲ παράκλησις αὐτοῦ μὴ ποιεῖν τὸ πονηρόν. Εὐφροσύνη Μοναχή, ἐκδημία πρὸς Κύριον' καὶ τὸ καύχημα αὐτοῦ, φόβος Κυρίου.

Ερμηνεία

ΕΟΡΤΗ διά τον Μοναχών είναι η τήρησης των εντολών του Χριστου: η δε παρηγορία του να μη κάνη το πονηρόν. Χαρά διά τον Μοναχόν είναι η αναχώρησής του από τον κόσμον αυτόν και το ταξείδι του προς τον Κύριον. Το καύχημά του, τέλος, είναι ο φόβος Κυρίου,

ΥΠΟΘΕΣΙΣ Κ'
(Περί λαθροφαγίας)

Ὅτι μέγα κακὸν ἡ λαθροφαγία, διὸ καὶ μόνη δύναται τὸν Μοναχὸν ἀπολέσαι.

Ότι η λαθρογραφία είναι μεγάλο κακόν, διά τούτο και μόνη αυτή ήμπορεί να οδηγήση τον Μοναχών είς απώλειαν.

Α'. Γρηγορίου του Διαλόγου

ΜΟΝΑΣΤΡΙΑ τὶς ἐκ τοῦ Μοναστηρίου οὐ ὁ Μέγας Αἰκύτιος προΐστατο, εἰς κῆπον εἰσελθοῦσα θεασαμένη μαρούλιον, ἐπεθύμησε τούτου καὶ μηδὲ τὸν τύπον τοῦ σταυροῦ ποιήσασα, ὡς γαστρίμαργος, τοῦτο ἔφαγε, καὶ εὐθέως εἰσῆλθεν εἰς αὐτὴν πνεῦμα ἀκάθαρτον καὶ κατέρραξεν αὐτὴν εἰς τὴν γῆν. Οἱ οὖν παρόντες τὸ γεγονὸς θεασάμενοι, ΑΑΑ μετὰ σπουδῆς τῷ Πατρὶ Ἀλκυτίω ἐμήνυσαν, ὅπως διὰ τάχους ἐλθῶν, τὴ κινδυνευούση βοηθήση. Εὐθὺς οὖν εἰς τὸν κῆπον τοῦ Πατρὸς εἰσελθόντος, ἤρξατο καὶ ταύτην ρήξας διάβολος ὡς ἀπολογούμενος αὐτῶ διὰ τοῦ στόματος αὐτῆς κράζεις καὶ λέγειν' ἐγὼ τί ἐποίησα; καθεζομένου μου ἐπάνω του μαρουλίου, αὕτη ἦλθε καὶ ἔδωκε μέ. "Ο δὲ τοῦ Θεοῦ ἄνθρωπος μετ' ὀργῆς τούτω ἐπετίμησεν, ὅπως ὑποχωρήση ἐξ αὐτῆς, καὶ μηκέτι σχὴ τόπον ἐν αὐτῇ. Παραυτίκα οὖν ἐξῆλθε τὸ ἀκάθαρτον πνεῦμα, καὶ οὐδαμῶς αὐτὴ τοῦ λοιποῦ προσεγγίσαι ἐτόλμησεν.

Ερμηνεία

ΜΙΑ μοναχή από το Μοναστήρι, εις το οποίον ήτο Ηγούμενος ο μέγας Αικώτιος, εισήλθεν εις ένα κήπον και καθώς είδεν ένα μαρούλι, το επεθύμησε. Και χωρίς να κάμη ούτε το σημείον του Σταυρού, το έφαγε με λαιμαργίαν. Αμέσως τότε εισήλθε μέσα εις αυτήν το ακάθαρτον πνεύμα και την έρριψεν εις την γην. Οι παρόντες λοιπόν, μόλις είδαν το γεγονός, ειδοποίησαν γρήγορα τον Πατέρα Αικύτιον, να έλθη αμέσως και να βοηθήση την κινδυνεύουσαν.

Αφού λοιπόν κατέβηκεν αμέσως εις τον κήπον ο Πατήρ, ήρχισεν ο διάβολος, που την έσπάραξεν, να απολογήται με το στόμα της, να κράζη και να λέγη.

– Τι έκανα εγώ; Καθώς έκαθόμουν επάνω εις το μαρούλι, ήλθεν αυτή και με έδάγκασεν.

Ο άνθρωπος του Θεού τότε τον επετίμησε με οργήν, διά να αναχωρήση από αυτήν και ποτε πλέον να μή εισέλθη εις αυτήν.

Αμέσως εξήλθεν από αυτήν το ακάθαρτον πνεύμα και ποτέ πλέον δεν ετόλμησε να την πλησιάση.

Β'. Τού αυτού

Καὶ ὁ Ἀθανάσιος δὲ καὶ παρ' ἡμὶν ὢν πρεσβύτερος διηγήσατο μοί, ὅτι ἐν τῷ Ἰκονίῳ, ὅθεν καὶ αὐτὸς ὥρμητο, Μοναστήριόν ἐστι τῶν Γαλάτων λεγόμενον, ἐν ᾧ τὶς Μοναχὸς ἐν μεγίστῃ διαγωγὴ καὶ σεμνότητος ἤθεσι παρὰ πάσιν ὑπάρχειν ἔνομιζετο ὡς δὲ τὸ τέλος ἔδειξε, μακρὰν ὑπῆρχεν οὐ πὲρ ἐφαίνετο ἑαυτὸν μὲν γὰρ τοῖς ἀδελφοὺς νηστεύοντα ἐπεδείκνυε, κρυφὴ δὲ τούτων ἤσθιε.

Ἐπελθούσης οὖν αὐτῶ ἄρρωστιας, ἐν τοῖς ἐσχάτοις τῆς ζωῆς ἀπηνέχθη γνοὺς οὖν ἑαυτὸν τὸ τέλει προσεγγίζοντα, πάντας τους ἐν τῷ Μοναστηρίῳ ἄδελφους πρὸς ἑαυτὸν συνεκάλεσεν. Οἱ δὲ προθύμως συνῆλθον, μέγα τί καὶ ἐπιθυμητικῶν προσδοκῶντες ἀκούσαι παρὰ τοιούτου τὴν ἀρετὴν ἀνδρός, ὡς ὑπελάμβανον, τελευτωντος. Ἐκεῖνος δὲ πενθῶν καὶ τρέμων πρὸς αὐτοὺς εἶπεν, ὅτι μεθ' ὑμῶν νηστεύειν μὲ ἐπιστεύετε, ἐγὼ δὲ κρυφὴ ὑμῶν ἤσθιον" καὶ νῦν ἰδοὺ εἰς βρῶσιν τῷ δράκοντι παρεδόθην, ὃς τοὺς πόδας καὶ τὰ γόνατα τὴ κέρκη αὐτοῦ συνέδησε, τὴν δὲ κεφαλὴν αὐτοῦ ἔνδον του δι' οὐ ἔλαθροφαγουν στόματός μου ἐμβαλῶν, τὸ πνεῦμα μου ἐκπιπίζων ἀνασπᾷ. Καὶ ταῦτα εἰπῶν εὐθέως ἀπέθανε, μὴ συγχωρηθεῖς ὑπομεῖναι, ἵνα διὰ μετανοίας ἐκ τοῦ δράκοντος ἐκείνου ἐλευθερωθῆναι δυνηθῆ.

Φανερῶς δὲ ἐν τούτῳ δείκνυται, ὅτι εἰς ἡμετέραν καὶ μόνον τῶν ἀκουόντων ὠφέλειαν τοῦτο ἐθεάσατο, ὃς τὸν πολέμιον, ᾧ παρεδόθη, δηλοποιήσας, τοῦτον διαφυγεῖν οὐκ ἠδυνήθη.

Ερμηνεία

ΚΑΙ ο Αθανάσιος, ο οποίος ήτο πρεσβύτερος εις το μοναστήρι μας, μου διηγήθη το εξής: Εις το Ικόνιον[(*)], από όπου και αυτός κατήγετο, υπάρχει ένα Μοναστήριον, των Γαλάτων, καθώς ελέγετο. Εις αυτο έζη κάποιος Μοναχός, ο οποίος εθεωρείτο από

[(*)] Το Ικόνιον είναι μεσόγειος πόλεις της Μικράς Ασίας είς απόστασιν 500 χλμ. από της Σμύρνης. Εις αυτήν εκήρυξαν το Ευαγγέλιον ο Παύλος και ο Βαρνάβας, συνήλθε δε εκεί και τοπική σύνοδος κατά το 235 μ.Χ. Προ της Μικρασιατικής καταστροφής ή πόλις είχε περί τας 40-50 χιλιάδας κατοίκων, εκ των οποίων 2000 ήσαν "Ἕλληνες ορθόδοξοι έχοντες και ναόν.

όλους ότι είχεν αρίστην διαγωγής και πολύ σεμνά ήθη. Οπως όμως έδειξεν εις το τέλος, ευρίσκετο πολύ μακράν από αυτό, που εφαίνετο, ότι ήτο· διότι παρουσιάζετο εις τους αδελφούς ότι νηστεύει, ενώ αυτός έτρωγε κρυφά από αυτούς.

Κάποτε λοιπόν αρρώστησε και έφθασεν εις το τέλος της ζωής του. Μόλις αντελήφθη ότι εντός ολίγου θα απέθνησκεν, εκάλεσε πλησίον του όλους τους αδελφούς του Μοναστηρίου. Εκείνοι πρόθυμα συνεκεντρώθησαν, διότι έπερίμεναν ότι θα ακούσουν, από ένα τέτοιον ενάρετον άνθρωπον, όπως τον ενόμιζαν, κάτι σπουδαίον, ώσαν πολύτιμον υποθήκην, τώρα που απέθνησκεν. Εκείνος όμως απηλπισμένος και κατεχόμενος από τρόμον, τους είπε:

– Σείς επιστεύετε ότι νηστεύω μαζί σας, ενώ εγώ έτρωγα κρυφά από σας. Και να τώρα, παρεδόθην εις τον δράκοντα να με φάγη: αυτός έδεσε με την ουρά του τα γόνατά μου και τα πόδια μου και αφού έβαλε το κεφάλι του μέσα εις το στόμα μου, με το οποίον έτρωγα κρυφά, πιπιλίζων ξερριζώνει το πνεύμα μου. Μόλις είπεν αυτά, απέθανεν αμέσως, χωρίς να του επιτραπή να ζήση ολίγον, διά να ήμπορέση να ελευθερωθή, με την μετάνοιαν, από εκείνον τον δράκοντα.

Με αυτό αποδεικνύεται ολοφάνερα ότι είδεν αυτό το όραμα μονάχα διά την ωφέλειαν όλων ημών, οι οποίοι τον ηκούομεν· αυτός ο Μοναχός, δηλαδή, έκαμε γνωστόν, ότι από τον εχθρόν, εις τον οποίον θεληματικά παρεδόθη, δεν ημπόρεσε να ξεφύγη.

ΥΠΟΘΕΣΙΣ ΚΑ'
(Φαγητό μετά την ενάτη)

Ὅτι δεῖ τὸν Μοναχῶν ἅπαξ τῆς ἡμέρας ἐσθίειν καὶ τοῦτο μετὰ τὴν ἐνάτην πρὸς ἑσπέραν, εἰ φροντίζει τῆς ἀκριβείας, ἣν οἱ πατέρες πάντες ἐφύλαττον, οὐ μόνον δὲ ἐν ἡσυχίᾳ, ἀλλὰ καὶ τῶν ἐν Κοινοβίοις οἱ πλείονες.

Οτι πρέπει ο Μοναχός να τρώγη μίαν φοράν την ημέραν, μετά την ενάτην αν ενδιαφέρεται διά την ακρίβειαν, την οποίαν εφύλαττον οι Πατέρες, όχι μόνον οι Αναχωρηταί, αλλά και πολλοί από εκείνους, που εμόναζαν είς Κοινόβια.

Α'. Εν τω βίω του Οσίου και Ομολογητού Χαρίτωνος

Ο ΜΕΓΑΣ Χαρίτων, ἐν τῷ τῶν λῃστῶν σπηλαίῳ διάγων καὶ πᾶσαν ἀσκητικῆς πολιτείαν εἰς ἄκρον μετιῶν, πολλοὺς πρὸς ἑαυτὸν τὸ τοιούτω βίῳ ἐφείλκετο. Ὅθεν ποταμοῦ δίκην τοῦ λαοῦ παντὸς ὡς αὐτὸν ρέοντος, καὶ πόλιν ὡς πὲρ τὴ πολυοχλία τὴν ἔρημον ἐπιδεικνυμένων, ἔωρακως ἑαυτὸν καὶ μακάριος ἐκ τοῦ ἐντεῦθεν γινομένου θορύβου τῆς φίλης ἀπαγόμενον ἡσυχίας, ἄλλως τὲ δὲ καὶ τὴν ἐξ ἀνθρώπων δόξαν φεύγειν ἐσπουδακῶς (ἤδει γὰρ ὅτι χαλεπὴ αὕτη συγχέαι κόσμον ψυχῆς) ἐπισκέπτει περὶ πάντων τους μαθηταῖς, ὅσα δὴ καταστάσει προσήκει μοναχική, καιρὸν τὲ τροφῆς διατάξας, ὃς πὲρ ἐστὶ ληγούσης ἡμέρας, καὶ τὸ μὴ πρὸς κόρον ἐσθίειν, ἀλλὰ ζητούσης ἔτι τῆς γαστρὸς παύεσθαι. Εἶναι δὲ τὴν τροφὴν ἄρτον μόνον καὶ τοὺς ἅλας ἡδύσματος χώραν ἀποπληροῦντας το δὲ ποτὸν ὕδωρ, καὶ αὐτὸ μέτρο καὶ φειδοῦ λαμβανόμενον, μισεῖν τὲ ἀργίαν, ὡς πολλῶν αἰτίαν κακῶν, ἔργον δὲ ταῖς χερσὶ διδόναι, τοῖς ἱεροῖς ψαλμοῖς κατὰ τὸ ἀδόμενον.

Ερμηνεία

Ο ΜΕΓΑΣ Χαρίτων έμενεν εις το σπήλαιον των ληστών[(*)]. εκεί μέσα έζη μίαν αυστηραν ασκητικήν ζωήν, με μεγάλην ακρίβειαν. Με αυτόν τον τρόπον έσυρε κοντά

[(*)] Το σπήλαιον τούτο ήτο πρότερον κατοικητήριον ληστών τινων, οίτινες συλλαβόντες τον θείον Χαρίτωνα, νέον τότε όντα, ερχόμενον εις Ιεροσόλυμα χάριν προσκυνήσεως και διά να εύρη τόπον κατάλληλον πρός ήσυχίαν, τον οδήγησαν εις αυτό. Επειδή όμως κατ' οίκονομίαν Θεού οι λησται απέθανον δηλητηριασθέντες υπό έχιδνης, η οποία εξήμεσε το δηλητήριόν της εις το δοχείον του οίνου που έπιγον, έμεινεν ο "Οσιος Χαρίτων ελεύθερος. Θεωρήσας όθεν τούτο θέλημα Θεού παρέμεινεν εις το σπήλαιον αγωνιζόμενος συνήχθησαν δε εκεί

του πολλούς. Επειδή λοιπόν ο λαός έτρεχε προς αυτόν ωσάν ποταμός και η έρημος, από τον πολύς κόσμον, έγινεν ωσαν πόλις, ελυπήθη ο μακάριος, διότι έβλεπεν ότι ο θόρυβος αυτός τον εμποδίζει από την αγαπημένης του ήσυχίαν. Ήθελεν, άλλωστε, να αποφύγη και την δόξαν των ανθρώπων (διότι εγνώριζεν ότι ήμπορεί να φέρη μεγάλην σύγχυσιν εις τον κόσμον της ψυχής). Πρίν φύγη, καλεί κοντά του τους μαθητές και τους παραγγέλλει δι' όλα όσα αρμόζουν είς τον Μοναχικόν βίον. Τους διέταξε και διά την κατάλληλον ώραν του φαγητού, η οποία είναι προς το τέλος της ημέρας: να μη τρώγουν πολύ, διά να χορταίνουν, αλλά να σταματούν, ενώ ακόμη το στομάχι δεν θα έχη χορτάσει η τροφή των να είναι μόνον ψωμί και να χρησιμοποιούν το αλάτι διά να νοστιμίζουν ολίγον την ξηροφαγίαν των ως ποτόν να χρησιμοποιούν νερόν μόνον και αυτό να το λαμβάνουν με μέτρον και οικονομίαν να μισούν την άργίαν ως αιτίαν πολλών κακών να ασχολούνται με το έργόχειρον, όπως ψάλλουν και οι ιεροί ψαλμοί (Σοφ. Σειρ. λ', (33. 26-30) (Ησαΐας α΄, 13-15).

Β'. Εν τω Γεροντικώ

ΠΑΡΕΒΑΛΕ πότε ὁ Ἀββᾶς Ἀντώνιος τῷ Ἀββᾷ Ἀμμουν εἰς τὸ ὄρος τῆς Νιτρίας, καὶ μετὰ τὸ συντυχεῖν ἀλλήλοις λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀμμουν ἐπειδὴ διὰ τῶν εὐχῶν σου ἐπληθύνθησαν οἱ ἀδελφοὶ καὶ θέλουσι τινὲς αὐτῶν οἰκοδομῆσαι κελλία μακρὰν ἵνα ἡσυχάσωσι, πόσα κελεύεις ἕνα ἀπέχῃ τὸ διάστημα τὰ κτιζόμενα κελλία τῶν ἐνταῦθα; “Ο δὲ εἶπε γευσώμεθα ὥραν ἐνάτης καὶ ἐξέλθωμεν, καὶ διακινήσωμεν τὴν ἔρημον, καὶ σκοποῦμεν τὸν τόπον. Ὡς οὖν ὥδευσαν τὴν ἔρημον, ἕως οὐ ἐλθεῖν δύναι τὸν ἥλιον, λέγει ὁ Ἀββᾶς Ἀντώνιος ποιήσωμεν εὐχὴν καὶ στήσωμεν ὧδε σταυρόν, ἵνα ὧδε κτίσωσιν οἱ θέλοντες κτίσαι, ὡς ἂν καὶ οἱ ἐκεῖθεν, ὅταν παραβάλωσι τούτοις, καὶ οὗτοι ἐκείνοις, ἀπερίσπαστοι μένωσιν ἐν τῷ παραβάλλειν ἀλλήλοις.

Ερμηνεία

ΚΑΠΟΤΕ ο Αββάς Αντώνιος επεσκέφθη τον Αββάν Αμμούν εις το όρος της Νιτρίας. Αφού λοιπόν αντήλλαξαν αδελφικόν ασπασμόν κατά την συνάντησιν, έρωτά ο Αββάς Αμμούν:

και άλλοι πολλοί θέλοντες να μονάσουν. "Οθεν ο θείος Χαρίτων με τους θησαυρούς των ληστών που είχαν μείνει έκτισε Λαύραν ευαγεστάτην, ήτις από του ονόματος του τόπου ωνομάσθηΦαράν, είναι δε αύτη περί ης γράφομεν και εν τη υποσημειώσει της σελίδας 235. Ο θέλων να μάθη της κατά πλάτος ιστορίαν ταύτην ας αναγνώση τον βίον του Οσίου Χαρίτωνος («Μέγας Συναξαριστής της Ορθοδόξου Εκκλησίας», Τόμος Β' σελ. 636)

-Επειδή, με τας ευχάς σου, επλήθυναν οι αδελφοί και θέλουν μερικοί από αυτούς να κτίσουν κελλία μακράν απ' εδώ πόσον διατάσσεις να απέχουν τα κελλία αυτά, που θα κτισθούν;

- Ας φάγωμεν κάτι κατά την ενάτην ώραν και μετά ας εξέλθωμεν να περιπατήσωμεν εις την έρημον, διά να εξετάσωμεν επί τόπου το ζήτημα.

Αφού λοιπόν έβάδισαν εις την έρημον μέχρι της δύσεως του ήλίου, λέγει ο 'Αββάς Αντώνιος:

-Ας κάμωμεν ευχήν και ας στήσωμεν εδώ σταυρόν, διά να κτίσουν εδώ τα κελλία των όσοι θελήσουν. Έτσι και εκείνοι που θα έρχωνται απ' εκεί διά να τους επισκεφθούν, και αυτοί, που θα μεταβαίνουν εκεί απ' εδώ, θα μένουν απερίσπαστοι κατά τας επισκέψεις των αυτάς.

Γ'. 'Εν τη Φιλοθέω Ιστορία

ΤΩι ΜΕΓΑΛΩι Ἰουλιανῶ ἐν ἄντρᾳ τινὶ ἀχειροποιῆτο χρόνος ἤδη συχνὸν οἰκούντι, καὶ τὴν ἄκραν ἄσκησιν ἐπιδεικνυμένη (καὶ γὰρ σιτίον ἦν αὐτῶ ἄρτος καὶ κεγχριδίας, καὶ αὐτὸς πιτυρίας, ὄψον δὲ οἱ ἅλες, πόμα δὲ ἥδιστον τὸ αὐτοφυές των ὑδάτων νᾶμα, τρυφὴ δὲ τούτω ὑπῆρχε καὶ πανδαισία παντοδαπὴ ἢ διηνεκὴς πρὸς Θεὸν ὁμιλία). Οὕτως οὖν αὐτῶ βιούντι, προσῆλθον πολλοὶ μεμαθηκότες τὴν τοιαύτην αὐτοῦ φιλοσοφίαν, οἱ μὲν ἐκ γειτόνων οἰκοῦντες, οἱ δὲ πόρρωθεν, συνεῖναι αὐτω βουλόμενοι καὶ τὸ λοιπὸν ὑπ' αὐτὸ καθηγητὴ βιοτεύειν. Ὁ δὲ τὰ μὲν πρῶτα παρατεῖτο ἔπειτα θεόθεν κινείσθαι τοὺς ἄνδρας πληροφορηθεῖς, ἀσμένως ὑπεδέχετο, καὶ ἐντὸς ὀλίγου καιροῦ οἱ προσιόντες τὸν ἑκατὸν ἐπλήρωσαν ἀριθμῶν καὶ πάντας ἐκεῖνο τὸ ἄντρον ἐδέχετο. Ἐσιτοῦντο δὲ καὶ αὐτοὶ παραπλησίως τὰ παιδοτρίβη, τὸν κεγχριδίαν ἄρτον τοῖς ἅλσιν ἡδυνόμενον.

Ἐξεπαίδευσε δὲ αὐτοὺς τὴ μὲν νυκτὶ ἔνδον του σπηλαίου δμοῦ πάντας τὴν ὑμνῳδίας προσφέρειν, μετὰ δὲ τὴν ἕω ἀνὰ δύο κατὰ τὴν ἔρημον ἐξιέναι καὶ τὸν μὲν τὰ γόνατα κάμπτοντα τὴν ὀφειλομένην τὴ Δεσπότη προσφέρειν προσκύνησιν, τὸν δὲ ἄδειν ἑστώτα ψαλμοὺς Δαβιτικοὺς δεκαπέντε. Εἶτα ἐναλλάττειν τὸ ἔργον, καὶ τὸν μὲν ἀνιστάμενον ἄδειν, τὸν δὲ εἰς γῆν κάμπτοντα προσκυνεῖν καὶ τοῦτο ἐξ ἑωθινοῦ μέχρι δείλης ὀψίας διετέλουν ποιούντες. Πρὸ δὲ ἡλίου δυσμῶν πάντες πανταχόθεν συνίεσαν, καὶ τὴν ἑσπερινῶν ὑμνῳδίαν κοινή το Δεσπότη προσέφερον, εἶτα ἐν τῷ ἄντρῳ ἀνακλιθέντες, οἱ μὲν ἔνθεν οἱ δὲ ἔνθεν, τὴν εὐτελῆ ἐκείνην τροφὴν προσίεντο.

ΥΠΟΘΕΣΙΣ ΚΑ΄ (Φαγητό μετά την ενάτη)

Ερμηνεία

Ο ΜΕΓΑΣ Ιουλιανός κατοικούσεν αρκετον χρόνον εις ένα φυσικόν σπήλαιον, χωρίς καθόλου να το διαμορφώση με τα χέρια του. Έκεί μέσα επεδίδετο εις αυστηράν άσκησιν (η τροφή του ήτο ψωμι από κεχρί με τα πίτουρα, προσφάγι το αλάτι, γλυκύτατον ποτόν, το νερό όπως το έδιδεν η φύσις, φαγητόν του δε και πλουσία απόλαυσις υπήρχε η διαρκής και αδιάκοπος νοερά επικοινωνία με τον Θεόν). Ο τρόπος αυτός της ζωής του προσείλκυσε πολλούς, οι οποίοι επληροφορήθησαν την φιλοσοφίας του αυτήν· άλλοι απ' αυτούς κατοικούσαν πλησίον, άλλοι μακράν. Όλοι αυτοί επεθύμουν να παραμείνουν κοντά του και να ζήσουν εις το εξής έχοντες αυτόν ως διδάσκαλος. Ο Όσιος ηρνείτο είς τας αρχάς να τους δεχθής έπειτα όμως από μυστικήν εσωτερικής πληροφορίαν της ψυχής του, ότι οι άνθρωποι αυτοί παρακινούνται από τον Θεόν, τους εδέχετο ευχαρίστως. Έτσι εντός ολίγου εκείνοι που ήλθαν κοντά του έγιναν εκατόν και τους εχώρεσεν όλους εκείνο το σπήλαιον. Ετρέφοντο και αυτοί όπως ο γυμναστής των με το κέχρινον ψωμί, το οποίον ενοστίμιζαν κάπως με αλάτι.

Τους εγύμνασε δε ως εξής: κατά την νύκτα όλοι μαζί μέσα εις το σπήλαιον έψαλλαν την αγρυπνίαν την αυγήν δύο - δύο εξήρχοντο εις την έρημον και ο μεν ένας ανέπεμπε γονατιστός την οφειλομένην προσκύνησιν εις τον Δεσπότην Θεόν, ενώ ο άλλος έψαλλεν όρθιος δεκαπέντε ψαλμούς του Δαβίδ. Κατόπιν ήλλασσαν εις την πνευματικήν αυτήν έργασίαν και ο μέν γονατιστός έσηκώνετο και έψαλλεν, ενώ ο όρθιος έγονάτιζε και έκαμε τας μετανοίας. Αυτήν την εργασίαν την έκαναν συνεχώς από το πρωί έως αργά το απόγευμα. Πριν από την δύσιν του ηλίου έμαζεύοντο όλοι από παντού και έκαναν από κοινού όλοι μαζί τον εσπερινόν. Μετά συνεκεντρώνοντο εις το σπήλαιον και εκάθηντο, άλλοι απ' εδώ και άλλοι εκεί, και έτρωγαν το λιτόν φαγητόν των.

Δ'. Του Αββά Ησαΐου

ΗΣΥΧΑΖΩΝ ἐν τῷ κελλίῳ σου, τύπωσον σεαυτὸν ἐν τῷ ἔσθιειν, διδοὺς τὴν χρείαν τῷ σώματί σου, ἵνα βαστάση σὲ ποιῆσαι τὰς λειτουργίας σου, καὶ ἕνα μὴ θέλῃς παραβαλεῖν ἔξω ἅπαξ δὲ ἔσθια τῆς ἡμέρας, καὶ δὸς τὴν χρείαν τῷ σώματί σου, ὡς τὲ ἀναστῆναι σὲ ἔτι θέλοντα φαγεῖν.

Ερμηνεία

[267]

ΟΤΑΝ ησυχάζης εις το κελλίον σου, κανόνισε τον εαυτόν σου εις το ζήτημα της τροφής, ώστε να τρώγης αυτό που είναι αναγκαίον διά το σώμα σου, διά να ανθέξης εις τας υπηρεσίας σου και να μη θέλης να εξέλθης έξω. Μίαν φοράν την ημέραν να τρώγης και δώσε το απολύτως απαραίτητον εις το σώμα σου, ώστε να σηκωθής ενώ ακόμη θέλεις να φάγης.

Ε'. Γρηγορίου του Διαλόγου

ΠΑΡΑΔΟΣΙΣ ἦν ἐν τῇ Μονῇ τὴ κατὰ τὸν "Ὅσιον Πατέρα Βενέδικτον, ὑπ' αὐτοῦ νομοθετηθεῖσα, ἵνα, ἐὰν ἀποσταλῶσιν ἀδελφοὶ εἰς διακονίαν, μήτε βρώσεως μήτε πόσεως μεταλαμβάνειν, μέχρις ἂν ἐν τῇ Μονῇ ὑποστρέψωσι καὶ οὗτος καὶ κανὼν ἀκριβῶς παρὰ πάσι τοῖς ἐν τῇ Μονῇ ἐφυλάττετο.

- Ἐν μιᾷ οὖν ἀδελφοὶ τινὲς τῆς τοιαύτης Μονῆς εἰς διακονίαν ὑπὸ τοῦ "Ὁσίου ἀποσταλέντες καὶ πολὺ διάστημα τῆς ὁδοῦ διανύσαντες, ἑσπέρας ἤδη καταλαβούσης, οὐκ ἔφθασαν ἀναλύσαι εἰς τὴν Μονήν. Ὑπὸ οὖν τῆς ὥρας κατεπειγόμενοι, εἵς τινὸς Παρθένου σεμνοτάτης κελλίον κατέλυσαν, καὶ τροφῆς μετέλαβον. Εἶτα τινὰ ἐξ αὐτῶν πρὸς τὸν Πατέρα ἀπέστειλαν αἰτήσασθαι κατὰ τὸ ἔθος εὐχήν, ἵνα μεταλάβωσι τροφῆς, δν καὶ νυκτὸς παραγενόμενον ἰδὼν ὁ μέγας, ἠρώτησε λέγων: ποῦ μετελάβετε τροφῆς; "Ο δὲ εἶπεν οὐδαμοῦ, Πάτερ ὁ δὲ Ἅγιος ἕνα τί ψεύδει ; οὐκ ἐν τῷ κελλίῳ της δὲ τῆς Παρθένου κατελύσατε καὶ τροφῆς μετελάβετε; οὐχὶ ἀνὰ τόσα ποτήρια ἐπίετε; ὁ δὲ διελεγχθεῖς, πεσῶν πρὸς τοὺς πόδας αὐτοῦ, ἤτειτο συγγνώμην.

Ὁ οὖν συμπαθέστατος Πατὴρ ἀφῆκεν αὐτοῦ το ἁμάρτημα, καὶ τοὺς λοιποὺς δὲ ἐπανελθόντας τὴ ἐπαύριον ὁμοίως διελέγξας καὶ ἱκανῶς ἐπιστύψας τοῖς λόγοις, ἐπεῖ καὶ αὐτοὶ ἡμαρτηκέναι ὁμολόγους, ἑαυτοὺς καταβαλόντες εἰς ἔδαφος καὶ ἀξιούντες συγχωρηθῆναι, καὶ συγγνώμης καὶ αὐτοὺς τοῦ σφάλματος ἐδωρήσατο πληροφορίαν λαβῶν παρ' αὐτῶν, τοῦ λοιποῦ μηκέτι παραβῆναι τὴν παραδεδομένην ὑπ' αὐτοῦ ἐντολὴν μέχρι τελευταίας ἀναπνοῆς.

Ερμηνεία

ΥΠΗΡΧΕ μία παράδοσις εις την Μονήν του Οσίου Πατρός Βενεδίκτου, καθιερωθείσα από τον ίδιον· σύμφωνα με αυτήν, άν αποσταλούν άδελφοι εις εξωτερικήν υπηρεσίαν, ούτε τρώγουν ούτε πίνουν τίποτα, μέχρις ότου επιστρέψουν εις το Μοναστήρι. Αυτός ο κανών ετηρείτο με ακρίβειαν από όλους τους Μοναχούς. Μίαν ημέραν λοιπόν μερικοί αδελφοί αυτής της Μονής απεστάλησαν από τον Όσιον

είς υπηρεσίας και αφού διήνυσαν μεγάλην απόστασιν, δεν επρόφθασαν να επιστρέψουν, όταν ήλθε το βράδυ. Επειδή πλέον είχε προχωρήσει η ώρα ηναγκάσθησαν να παραμείνουν εις το κελλί μιάς σεμνοτάτης Παρθένου, και έφαγον. Όταν επέστρεψαν έστειλαν κάποιον από αυτούς προς τον Πατέρα, διά να ζητήση, κατά την συνήθειαν, ευχήν, διά να φάγουν. Μόλις τον είδεν ο Μέγας, όταν έφθασε την νύκτα, τον ήρώτησε:

– Πού εφάγατε;

– Πουθενά, Πάτερ' απήντησεν ο Μοναχός.

– Διατί ψεύδεσαι; Δεν παρεμείνατε εις το κελλί της Παρθένου εκείνης, όπου και εφάγατε; Δεν ήπιατε τόσα ποτήρια ο καθένας σας;

– Ο Μοναχός τρομαγμένος από την προορατικήν δύναμίν του Οσίου, ήλέγχθη πολύ διά την παράβασιν και αφού έπεσεν εις τους πόδας του, έζητούσε συγχώρησιν.

Ο συμπαθέστατος Πατήρ τον συνεχώρησεν. Οι υπόλοιποι επέστρεψαν το πρωϊ εις το Μοναστήρι. Και εκείνους τότε τους εμάλωσεν αυστηρά. Επειδή δε και εκείνοι ώμολογούσαν, ότι ήμάρτησαν και έπεσαν μάλιστα είς το έδαφος παρακαλούντες να συγχωρηθούν, τους συνεχώρησε και αυτούς. Κατόπιν τον διαβεβαίωσαν όλοι ότι εις το εξης ποτέ πλέον δεν θα παραβούν, μέχρι τελευταίας των αναπνοής, την εντολήν, που τους παρέδωσεν.

ΥΠΟΘΕΣΙΣ ΚΒ'
(Να μην τρώμε για ευχαρίστηση)

Ὅτι οὐ δεῖ δι' ἡδονήν, ἀλλὰ πρὸς χρείαν ἔσθιειν καὶ ὅτι ὁ μὴ πρὸς ἡδονὴν ἐσθίων κἀν ἥδεά τα βρώματα ᾖ οὐδὲν ζημιούται.

Δεν πρέπει να τρώγωμεν δι' ευχαρίστησιν, αλλά διά την σωματικής ανάγκην εκείνος που δεν τρώγει δι' ευχαρίστησιν, και αν ακόμη τα φαγητά είναι απολαυστικά, εις τίποτα δεν ζημιώνεται.

Α'. 'Εν τω βίω του Αγίου Σάββα

Ο ΟΣΙΟΣ Σάββας, νέος ὢν ἔτι καὶ ἐν τῇ μονῇ τὴ καλουμένη Φλαβιαναι διάγων, ἣ ἐν Καππαδοκίᾳ μὲν ἔστιν, εἴκοσι δὲ σταδίοις Μουταλάσκης τῆς αὐτοῦ κώμης διέστηκεν, ἤσκει μὲν ἑαυτὸν καὶ τὴν πᾶσαν ἄλλην ἐγκράτειαν, οὐχ ἥκιστα δὲ ὀπόση περὶ γλυκασμὸν ἐστι φάρυγγος καὶ γαστρὸς εὐπάθειαν τὲ καὶ θεραπείας.

Ἐν μιᾷ οὖν εἰργάζετο τὸν τοῦ Μοναστηρίου παράδεισον, μῆλα δὲ τῶν ἐκεῖ δένδρων ἀπαιωρούμενα ἔσαινε τὲ αὐτοῦ τὴν ὄρεξιν καὶ πρὸ τῆς ὥρας εἰς βρῶσιν ἐκίνει. Ητήθη μέν, οὖν τῆς τῶν μήλων ὄψεως (καὶ γὰρ ἦν ὡραία τὴν ὅρασιν), ἄτε δὴ καὶ αὐτὸς ἄνθρωπος ὢν καὶ ἀνθρωπίναις ἐπιθυμίαις θελγόμενος. Ἠττήθη δὲ τοσούτον, ὡς τὲ λαβεῖν τὴ χειρὶ τὸ μῆλον. Εἶτα τοιαύτην εἶναι συνεῖς τὴν ἐπιβουλὴν τοῦ πονηροῦ, καὶ ὡς ἔθος αὐτοῦ κλέπτειν ἀεὶ τὴν ἡδονὴν ὡς δέλεαρ προβαλλόμενον, ἔπειτα δὲ καὶ τὸ καρπὸ κρύπτεσθαι τὸν ὄφιν ὑπονοήσας, καὶ ὅπως ἄρα καὶ τοὺς προπάτορας ἡδονὴ καὶ βρῶσις ἐκβαλόντα τοῦ Παραδείσου, μυρίους ὅσους κακοὺς περιέπειραν.

Ταῦτα ἐκεῖνος καλῶς διανοηθεῖς, ρίπτει κατὰ γῆς εὐθέως τὸ μῆλον, καὶ τοῖς ποσὶν ὡς εἶχε καταπεπατηκῶς, συμπατεῖ μετὰ τοῦ μήλου καὶ τὴν ἐπιθυμίαν, καὶ ὀφθαλμοὺς αὐτὴν ἐκνικήσασαν ποσὶν ἐξυβρίζει, τοιοῦτον εἰς τὸ ἑξῆς θέμενος ἑαυτῷ νόμον ὡς τὲ τὸν ὅλον της ζωῆς αὐτοῦ χρόνον μὴ μήλου τὸ παράπαν φαγεῖν μηδὲ γαστρὸς ὀρέξει χαρίσασθαι.

Ερμηνεία

Ο ΟΣΙΟΣ Σάββας, όταν ήτο ακόμη νέος και εζούσεν εις την Μονην Φλαβιανών, η οποία ευρίσκεται εις την Καππαδοκίαν, και απέχει είκοσι στάδια από την

Μουταλάσκην, το χωριό του Οσίου υπέβαλλε μεν τον εαυτόν του εις γενικής άσκησιν και εγκράτειαν εξ ίσου όμως ήσκείτο και εις την έγκράτειαν, που αναφέρεται εις τας ηδονας του λάρυγγος, την περιποίησιν και καλοπέρασιν της κοιλίας.

Μίαν ημέραν λοιπόν είργάζετο εις τον κήπον του Μοναστηρίου. Τα μήλα έκρέμοντο από τα δένδρα του κήπου, εκεντούσαν την όρεξίν του και τον έπαρακινούσαν να φάγη προ της ώρας. Εις μίαν λοιπόν στιγμήν ενικήθη από την θέαν των μήλων (διότι, πραγματικά, ήσαν ωραία να τα βλέπης), ώσαν άνθρωπος που ήτο και αυτός και εξηπατάτο από τας ανθρωπίνους επιθυμίας. Και τόσον μόνον ενικήθη, ώστε να πάρη το μήλον εις το χέρι. Αμέσως όμως έφερεν εις τον νούν του ότι αυτό ήτο επιβουλή του πονηρού και ότι συνηθίζει (ο πονηρός) να εξαπατα χρησιμοποιών πάντοτε ως δόλωμα την ηδονήν έθυμήθηκεν ακόμη, ότι ο όφις έκρύπτετο μέσα εις τον καρπόν και ότι με την ηδονήν και την βρώσιν εξεδίωξε τους Προπάτορας από τον Παράδεισον και έτσι περιέπεσαν εις πάρα πολλά κακά.

Αφού λοιπόν εκείνος τα έσκέφθη όλα αυτά καλά, ρίπτει αμέσως κατά γης το μήλο και αφού το κατεπάτησεν, όπως ήτο, με τους πόδας του, επάτησε, μαζί με το μήλον και την επιθυμίαν. Έτσι αυτήν την επιθυμίαν, που του ενίκησε τα μάτια, την ταπεινώνει με τους πόδας του ως κανόνα δε έθεσεν εις τον εαυτόν του τον όρον, ποτέ όσον ζή να μη φάγη καθόλου μήλον, ούτε να χαρισθή εις την επιθυμίαν της κοιλίας του.

Β'. Εν τω βίω της Αγίας Συγκλητικής

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ οὕτω τὴν νηστείαν ἔφιλει, ὡς μηδέποτε θέλεις ταύτης διαζευχθῆναι μηδὲ βραχύ. Φυλακὴν γὰρ καὶ θεμέλιον πασῶν των λοιπῶν ἀρετῶν ταύτην ἠγεῖτο. Ἐϊ πότε οὖν ἀνάγκης γενομένης ἔτραφη παρὰ τὸ σύνηθες, τὸ ἐναντίον ὑφίστατο. Ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον καὶ συνέπιπτεν καὶ τοῦ σώματος ὄγκος τοῦ γὰρ κινοῦντος ἀηδισθέντος, συναλλοιούται καὶ τὸ κινούμενον, καὶ ὅπως ἂν ἡ ἀρχὴ διατεθῆ, ἀκολουθεῖν πάντως ἀνάγκη καὶ τὰ ἐξ αὐτῆς ἤρτημενα. Οἷς μὲν γὰρ καθ' ἡδονὴν ἡ τροφὴ προσφέρεται, εὐθαλὴς καὶ τοῦ σώματος ὄγκος ἐστὶν οἱ δὲ ἀνηδόνως καὶ ἀνορέκτως ἔσθιοντες, τὸ ἐναντίον πάσχουσιν ἰσχνούται γὰρ αὐτῶν καὶ συμπίπτει ἡ σὰρξ καὶ ὠχριᾷ τούτοις ἡ ἐπιφάνεια, καὶ μαρτυρούσι τῷ λόγῳ οἱ ἄρρωστοι.

Ερμηνεία

ΥΠΟΘΕΣΙΣ ΚΒ΄ (Να μην τρώμε για ευχαρίστηση)

Η ΜΑΚΑΡΙΑ Συγκλητική τόσον πολυ ηγάπα την νηστείαν, ώστε ποτέ δεν ήθελε να την αποχωριστή, έστω και δι' ολίγον. Την εθεωρούσε φύλακα και θεμέλιον όλων των άλλων αρετών. Αν, λοιπόν, κάποτε έτρωγεν, από ανάγκην, κάτι περισσότερον από το συνηθισμένον, είχε το αντίθετον αποτέλεσμα. Έκιτρίνιζε, δηλαδή, και αδυνάτιζε διότι όταν αηδιάση κανείς εκείνο, που τον παρακινεί (να τρώγη), τότε ασφαλώς καταστρέφεται μαζί και το αποτέλεσμα του κινήτρου, η ωφέλεια (του φαγητού) και από την αρχικήν ψυχικήν διάθεσιν εξαρτώνται, κατά φυσικήν συνέπειαν, όλα τα επακόλουθα. Διότι εκείνοι, που τρώγουν από ευχαρίστησιν, παχαίνουν, ενώ εκείνοι, που τρώγουν χωρίς όρεξιν και ευχαρίστησιν, παθαίνουν το αντίθετον: αδυνατίζει, δηλαδή, ζαρώνει το σώμα των, και κιτρινίζουν. Την αλήθειαν αυτήν επιβεβαιώνουν οι άρρωστοι.

Γ'. Εν τω Γεροντικώ

ΓΕΡΩΝ τὶς εἰς Θηβαΐδα οἰκῶν, Ἀντιανὸς ὀνόματι, ἐν τῇ νεοτητι αὐτοῦ πολλᾶς πολιτείας καὶ μεγάλας ἐποίησε, εἰς δὲ τὸ γῆρας αὐτοῦ ἤσθενησε καὶ ἔτυφλωθη. Οἱ οὖν ἀδελφοὶ πολλὴν παράκλησιν διὰ τὴν ἀσθένειας προσέφερον αὐτὸ καὶ παρέβαλλον αὐτόν. Αὐτὸς γὰρ διὰ τῶν οἰκείων χειρῶν τὴν τροφὴν προσιέσθαι διὰ τὴν ἀσθένειαν οὐκ ἤδυνατο. Ἠρώτησαν οὖν τινὲς περὶ αὐτοῦ τὸν 'Ἀββᾶν Ἀϊῶ, ὃς ἦν μέγας καὶ ὀνομαστός, τί γίνεται διὰ τὴν πολλὴν παράκλησιν ταύτην; καὶ εἶπεν αὐτοῖς. Λέγω ὑμίν, ὅτι ἐὰν ἡ καρδία αὐτοῦ θέλῃ καὶ συγκαταβαίνη ἡδέως, ἐὰν φάγη ἓν φοινίκιον διὰ ἡδονήν, ὁ Θεὸς αἴρει αὐτὸ ἐκ τοῦ κόπου αὐτοῦ ἐὰν δὲ μὴ συγκαταβαίνη, ἀλλὰ μὴ θέλων λαμβάνει, ὁ Θεὸς τὸν κόπον αὐτοῦ τηρεῖ σῶον, ὅτι μὴ θέλων βιάζεται, κακείνοι μισθὸν ἔχουσιν.

2. Ἠρώτησαν τινὲς τῶν Πατέρων τὸν Ἀββᾶν Μεγέθιον λέγοντες, ὅτι ἐὰν περισσεύση ἔψημα εἰς τὴν ἄλλην ἡμέραν, θέλεις νὰ φάγωσιν οἱ ἀδελφοὶ αὐτό; 'Ἀπεκρίθη ὁ γέρων: ἐὰν ἤρημωται, οὐκ ἔστι καλὸν ἕνα ἀναγκασθῶσιν οἱ ἀδελφοὶ φαγεῖν αὐτὸ καὶ ἀσθενήσωσιν, ἀλλὰ ριφήτω" εἰ δὲ καλὸν ἔστιν, καὶ διὰ ἡδονὴν ἄλλο ἔψηθη, ἐκεῖνο δὲ ριφή, τοῦτο κακὸν ἔστιν.

3. Εἶπε τὶς τῶν Πατέρων, ὅτι οἱ ὀφθαλμοὶ τοῦ χοίρου φυσικῶς ἔχουσι τὴν πλάσιν, ὡς τὲ ἀνάγκη βλέπειν εἰς τὴν γῆν καὶ μηδέποτε ἀνανεύσαι εἰς τὸν οὐρανὸν δύνασθαι. Οὕτω φησὶ καὶ τοῦ ταῖς ἡδοναῖς ἐγγλυκανθέντος ἡ ψυχὴ ἅπαξ πρὸς τὸν τῆς ἡδυπαθείας κατολισθήσασα βόρβορον, τὰ ἄνω φρονῆσαι οὐ δύναται.

Ερμηνεία

[272]

ΥΠΟΘΕΣΙΣ ΚΒ΄ (Να μην τρώμε για ευχαρίστηση)

ΕΝΑΣ Γέρων, που κατοικούσεν εις Θηβαΐδα, ο Αντιανός, είχεν επιδοθή, κατά την νεότητά του, εις μεγάλης και επίπονος άσκησιν εις τα γηρατεια του όμως ήσθένησε και έτυφλώθη. Οι αδελφοί, λοιπόν, τον επεριποιούντο πάρα πολύ, διά την ασθένειάς του, και ήρχοντο καθημερινώς κοντά του· διότι από την αρρώστεια του και την αναπηρίαν του δεν ήμπορούσε, με τα χέρια του, να φέρη εις το στόμα του το φαγητόν. Μερικοί αδελφοί ήρώτησαν, δι' αυτόν, τον Αββάν Αϊώ, που ήτο σπουδαίος και ονομαστός.

Αββά – τού είπον – τί γίνεται τώρα με αυτήν την πολλήν περιποίησιν;

Εκείνος τους απήντησε:

- Σας λέγω ότι άν η καρδιά του αποζητή την περιποίησιν και την αποδέχεται, με ευχαρίστησιν, αν φάγη ένα χουρμαν δι' ευχαρίστησιν του στομάχου, τότε ο Θεός τον αφαιρεί από την άσκησίν του: αν όμως δεν επιθυμη μεν τας περιποιήσεις αυτές, αλλά παρά την θέλησίν του λαμβάνει (αυτά, που του προσφέρετε), ο Θεός διασώζει ακέραιον τον μισθον διά τον κόπον του, διότι χωρίς να θέλω πιέζεται απ' αυτούς, που τον περιποιούνται, οι οποίοι, βέβαια, έχουν μισθόν.

2. Ηρώτησαν μερικοί Πατέρες τον Αββάν Μεγέθιον:

- Αν περισσεύση φαγητόν διά την άλλην ημέραν, θέλεις να το φάγουν οι αδελφοί;

.

- Αν έχη χαλάσει –απήντησεν ο 'Αββάς - δεν είναι καλόν να υποχρεωθούν οι αδελφοί να το φάγουν και να αρρωστήσουν ας πεταχθή λοιπόν. Αν όμως είναι καλόν και μαγειρευθή άλλο, χάριν ηδονης της κοιλίας, πεταχθή δε εκείνο, που έμεινε, αυτό είναι κακόν.

3. Είπε κάποιος Ασκητικός Πατήρ τα μάτια του χοίρου είναι έτσι από την φύσιν πλασμένα, ώστε κατ' ανάγκην να βλέπουν προς την γήν και ποτέ να μη μπορούν να κοιτάξουν επάνω προς τον Ουρανόν. Έτσι είναι – συνέχισε – και η ψυχή εκείνου, που παρεσύρθη από τας ηδονάς: αν κατρακυλήση μίαν φοράν εις τον βούρκον της ηδυπαθείας, δεν μπορεί πλέον να σκεφθή τα επουράνια.

Δ' Του Αββά Ησαΐου

ΕΑΝ ἡ γαστριμαργία σὲ πολεμὴ ἐν ἐπιθυμίᾳ ἐδεσμάτων, μνήσθητι τῆς δυσωδίας αὐτῶν καὶ ἀναπαύει.

Ερμηνεία

ΑΝ σε πολεμή ή γαστριμαργία με την επιθυμίαν των διαφόρων φαγητών, ενθυμήσου αμέσως την δυσωδίαν των και τότε θα ησυχάσης.

Ε'. Του Αββά Μάρκου

Ο ΣΩΜΑΤΙΚΑΙΣ ἡδοναις πέρα τοῦ δέοντος ἐναπολαύσας, ἑκατονταπλασίοσι πόνοις ἀποτίσει τὴν περισσειαν. Ὁ πιστεύων περὶ τῶν μελλόντων, τῶν ὧδε ἡδεων ἀδογματίστως ἀπέχεται καὶ δὲ ἀπιστῶν, ἥδυς καὶ ἀνάλγητος γίνεται. Μὴ εἴπῃς, πῶς ἡδυπαθήσει καὶ πένης μὴ ἔχων τὰ αἴτια; δύναται γὰρ τὶς καὶ διὰ μόνων των λογισμῶν ἀθλιωτέρως ἡδυπαθεῖν.

Ερμηνεία

ΕΚΕΙΝΟΣ, που απήλαυσε τας σωματικάς ηδονάς πάρα πάνω από όσον έπρεπε, θα πληρώση με εκατονταπλασίους πόνους το πλήθος των ηδονών αυτών. Εκείνος που πιστεύει εις τα μελλοντικά αγαθά, απέχει από τα ευχάριστα του κόσμου τούτου χωρίς να πολυεξετάζη: εκείνος όμως που άπιστεί γίνεται φιλήδονος και άπονος. Να μη είπης πώς ήμποπορεί να επιθυμήση απολαύσεις ο πτωχός, αφού δεν έχει τα μέσα; Διότι ήμπορεί κανείς και μόνον με τους λογισμούς να απολαμβάνη τας ηδονάς, πολύ πιο χειρότερα.

ΣΤ'. Του Αγίου Διαδόχου

ΠΑΝΤΑ τὰ κατασκευαστὰ πόματα, καὶ δὴ προπόματα καλούσιν οἱ ταύτης τεχνίται τῆς ἐπινοίας, ὡς ἔοικε, διὰ τὸ ὁδηγεῖν εἰς γαστέρα τὸ πλῆθος τῶν βρωμάτων, οὐ δεῖ μεταδιώκειν τοὺς θέλοντας τὰ οἰδαίνοντα μέλῃ κολάζειν τοῦ σώματος. Οὐ γὰρ δὴ μόνον ἡ ποιότης αὐτῶν ἐπιβλαβής τους ἀγωνιζομένοις σώμασι γίνεται, ἀλλὰ καὶ αὐτὴ ἡ παράλογος αὐτῶν σύγκρασις πλήττει λίαν τὴν θεοφόβον συνείδησιν. Τί γὰρ ἄρα τὸ

λεῖπον τὴ τοῦ οἴνου φύσει, ἵνα διαφόρων ἡδυσμάτων ἐπιμιξία ἢ τούτου στερρότης θηλύνοιτο;

Ὁ Κύριος ἡμῶν, καὶ ταύτης τῆς ἱερᾶς πολιτείας διδάσκαλος Ἰησοῦς Χριστός, ὄξος ἐν τῷ πάθει πεπότισται παρὰ τῶν ὑπουργούντων τοὺς διαβολικοὺς ἐπιτάγμασιν, ἵνα ὑπογραμμῶν ἡμίν, ὡς ἔμοι δοκεῖ, ἐναργῆ καταλίπῃ τῆς τῶν ἱερῶν ἀγώνων διαθέσεως. Οὐ δεῖ γὰρ φησι τοῖς ἥδυνουσι βρώμασιν ἢ πόμασι τοὺς ἀγωνιζομένους κατὰ τῆς ἁμαρτίας τὸν κατ' αὐτῆς ποιείσθαι πόλεμον, ἀλλὰ μᾶλλον τοῦ πικροῦ της μάχης μετὰ καρτερίας ἀνέχεσθαι. Προστεθείτω δὲ καὶ ὕσσωπον τῷ σπόγγῳ τῆς ὕβρεως, ὅπως ἂν τελείως ἐμφέροιτο τῷ ὑποδείγματι τὸ σχῆμα τῆς ἡμῶν καθάρσεως τὸ μὲν γὰρ δριμύ των ἀγώνων ἴδιον, τὸ δὲ καθαριστικὸν πάντως τῆς τελειώσεως.

Ερμηνεία

ΟΛΑ τα τεχνητά ποτά, τα οποία οι κατασκευασταί των τα ονομάζουν ορεκτικά, επειδή, όπως φαίνεται, διεγείρουν την όρεξιν διά να εισέρχεται εις την κοιλίαν πλήθος φαγητών, πρέπει να τα αποφεύγουν εκείνοι που θέλουν να τιμωρούν τα μέλη του σώματος, που φουσκώνουν από αυτά τα ποτά, διότι όχι μονάχα η ποιότης των αποβαίνει επιβλαβής διά τα αγωνιζόμενα σώματα, αλλά και το περίεργον ανακάτευμά των ζημιώνει πάρα πολύ την ψυχήν τού θεοφοβουμένου. Διότι τι λείπει από την φύσιν του οίνου, ώστε με την ανάμιξιν διαφόρων μυρωδικών να μεταβάλλεται η φυσική του κατάστασις;

Ο Κύριος ημών Ιησούς Χριστός, ο διδάσκαλος αυτής της Ιεράς πολιτείας, εποτίσθη όξος εις το πάθος Του, από εκείνους που εκτελούσαν τα διαβολικά προστάγματα. Κατά την γνώμην μου συνέβη αυτό, διά να μάς δείξη ολοφάνερα με ποίαν ψυχικήν διάθεσιν πρέπει να αποδυώμεθα εις τους ιερούς αυτούς αγώνας διότι δεν πρέπει – λέγει – οι αγωνιζόμενοι εναντίον της αμαρτίας να κάμνουν τον πόλεμον έναντίον της με φαγητά και ποτά, που διεγείρουν εις ηδονήν, αλλά καρτερικά μάλλον να υπομένουν την πικρίαν της μάχης. Ας προστεθη δε και ύσσωπος[(*)] εις το σφουγγάρι

[(*)] Ο ύσσωπος είναι φυτόν αρωματικών και φαρμακευτικόν, χρησιμοποιούμενον πολύ από τους Ιουδαίους, προβάλλεται δε ενταύθα ως παράδειγμα εκ του Πάθους του Κυρίου. Τότε επί του Σταυρού ών προσηλωμένος διά να απολυτρώση ημάς από της αμαρτίας ο Κύριος ημών Ιησούς Χριστός και αφού είδεν ότι άπας ο θείος σκοπός της επί γής ενσάρκου παρουσίας Αυτού συνετελέσθη διά να τελειωθή η προφητεία του Προφήτου Δαβίδ η λέγουσα «Και εις την δίψαν μου επότισάν με όξος» (Ψαλμ. ΞΗ' 24) λέγει: «Διψώ». Τότε οι αχάριστοι Ιουδαίοι λαβόντες ένα ύσσωπος και προσδέσαντες επ' αυτού σπόγγον ενέπλησαν εις το όξος και «προσήνεγκαν αυτού το στόματι» (Ιωάνν. ΙΘ' 28-29. Βλέπε πλατύτερον εν τώ ημετέρω «Μεγάλω Συναξαριστή της Ορθοδόξου Εκκλησίας» Τόμος ΙΓ', σελ. 516. "Έκδοσις 6' και επομ. σελ. 601).

της ύβρεως, διά να ομοιάζη τελείως το σχήμα της ψυχικής μας καθάρσεως με το παράδειγμα (του Σταυρού): η πικράδα δηλαδή είναι γνώρισμα των αγώνων, ή κάθαρσις όμως είναι οπωσδήποτε αποτέλεσμα της τελειώσεως.

Ζ'. Του Αγίου Μαξίμου

ΩΣ ΠΕΡ τὰς ἡμέρας διαδέχονται αἱ νύκτες καὶ τὰ θέρη οἱ χειμῶνες, οὕτω καὶ ἡδονὴν λύπαι καὶ ὀδύναι, εἴτε ἐν τῷ παρόντι, εἴτε ἐν τῷ μελλοντι.

Ερμηνεία

ΟΠΩΣ τας ημέρας διαδέχονται αι νύκτες και τα καλοκαίρια οι χειμώνες, έτσι και την ηδονήν διαδέχονται πόνοι και λύπαι, είτε είς αυτήν την παρούσαν ζωήν, είτε εις την μέλλουσαν.

Η'. Εν τω Γεροντικώ

ΕΙΠΕ γέρων: ὁ διάβολος τὰ ἐλαττώματα τοῦ Μοναχοῦ ἀεὶ ἐπιτίθεται ὡς γὰρ ἔφη τὶς τῶν ἁγίων, ἔθος διὰ μακροῦ βεβαιωθέν, φύσεως ἰσχὺν λαμβάνει, καὶ μᾶλλον ἐν τοῖς ἀμελεστέροις. Πὰν οὖν βρῶμα καὶ κατ' ἐπιθυμίαν ζητεῖς, μὴ θελήσης λαβεῖν, καὶ μάλιστα ὑγιαίνων" τα δὲ ἀπὸ Θεοῦ σοὶ ἀποστελλόμενα ἔσθιων, εὐχαρίστει πᾶσαν ὥραν.

2. Ἠρώτησαν τινὲς τῶν Πατέρων τὸν Ἀββᾶς Μακάριον τὸν Αἰγύπτιον λέγοντες πῶς ὅτε ἐσθίεις καὶ ὅτε νηστεύεις τὸ σῶμα σου ὁμοίως ξηρόν ἐστι ; καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων τὸ ξύλον τὸ στρέφουν τὰ καιόμενα φρύγανα δὶ' ὅλου ἔσθιεται ὑπὸ τοῦ πυρὸς οὕτως ἐὰν καθαρεύση ἄνθρωπος τὸν νοῦν αὐτοῦ ἐν τῷ φόβο τοῦ Θεοῦ, κατεσθίει τὸ σῶμα αὐτοῦ.

3. Ἀδελφὸς ἤρωτησε τὸν Ἀββᾶς Ἰσίδωρον λέγων· διατὶ οἱ δαίμονες οὕτω σὲ φοβοῦνται σφόδρα; καὶ ἀπεκρίθη ὁ γέρων, ὅτι ἀφ' οὗ γέγονα Μοναχός, ἀσκῶ μηδέποτε συγχωρῆσαι τὴν ὀργὴν προσαναθῆναι τὸ λάρυγγί μου" ὀργήν, οἶμαι, τὴν ἡδονὴν λέγει, δὶ' ἣν καθ' ἑαυτῶν κινοῦμεν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ πόνοις πολλαπλασίοσι καθυποβαλλόμεθα.

4. "Ἔλεγεν καὶ αὐτός, ὅτι τεσσαρακοστὸν ἤδη ἔτος ἔχω, ἀφ' οὐ αἰσθάνομαι τῆς κατὰ διάνοιαν ἁμαρτίας, καὶ οὐδέποτε συγκατεθέμην οὔτε ἐπιθυμία οὔτε θυμῶ.

ΥΠΟΘΕΣΙΣ ΚΒ΄ (Να μην τρώμε για ευχαρίστηση)

5. Ἠνέχθησαν πότε σταφυλαὶ τὸ Ἀββᾶ Μακαρία καὶ ἐπεθύμει ταύτας φαγεῖν ἀλλ' ἐνδεικνύμενος τὴν ἑαυτου ἐγκράτειαν, ἀπέστειλεν αὐτᾶς πρὸς ἀδελφὸς κάμνοντα καὶ σταφυλῶν ὀρεγόμενον. Δεξάμενος οὖν ταύτας ὁ ἀδελφός, λίαν περιχαρὴς γέγονε" μὴ βουλόμενος δὲ καὶ αὐτὸς τὴν ἰδίαν ἐπιθυμίαν πληρώσαι, πρὸς ἄλλον ἀδελφὸν αὐτᾶς ἐξαπέστειλε, δηλώσας ὡς αὐτὸς ἀνορέκτως ἔχει περὶ τὰ βρώματα τοῦτο δὲ εἶπε κρύπτων τὴν ἑαυτοῦ ἐργασίας τῆς ἐγκρατείας. Κάκεινος δεξάμενος, τὸ αὐτὸ ἔποιησε, καὶ διὰ τὸ ὀρέγεσθαι αὐτῶν οὐ μετέλαβεν, ἀλλὰ πρὸς ἕτερον ἀδελφὸν αὐτᾶς ἐξαπέστειλε, κακεῖνος ὁμοίως εἰς ἄλλον.

Οὕτως εἰς πολλοὺς ἀδελφοὺς ἐλθούσαι αἱ σταφυλαί, καὶ μὴ ὑπ' οὐδενὸς αὐτῶν ὅλως ἀπογευσθεῖσαι, τελευταῖος πάλιν εἰς τὸν Ἀββᾶς Μακάριον ἀνεσώθησαν, τοῦ ἔσχατον αὐτᾶς ὑποδεξαμένου ἀδελφοῦ ἀγνοοῦντος ὅτι παρ' ἐκείνου ἀρχῆθεν ἐξαπεστάλησαν, καὶ ὡς μέγα τί δῶρον ταύτας αὐτὸ προσκομίσαντος. Ὁ δὲ γέρων, ἐπιγνοὺς ταύτας καὶ πολυπραγμονήσας καὶ μαθῶν τὸ γενόμενον, ἐθαύμασε καὶ ηὐχαρίστησε τῷ Θεῷ ἐπὶ τῇ τοσαύτῃ ἐγκρατεῖα τῶν ἀδελφῶν.

6. Ὁ Ἀββᾶς Πίωρ, ὅτε ἔμελλεν ἐσθίειν, περιεπάτει καὶ οὕτω περιπατῶν ἤσθιε. Πυθομένου δὲ τινὸς διατὶ τοῦτο ποιεῖ, οὐ βούλομαι, ἔφη, ὡς ἔργω τῷ βρώματι χράσθαι, ἀλλ' ὡς παρέργω. Καὶ πρὸς ἕτερον δὲ τὸ αὐτὸ ἔρωτησαντα ἀπεκρίθη, ἵνα μὴ ἓν τῷ ἐσθίειν φησὶν ἡδονῆς τινὸς ἀπὸ τῶν βρωμάτων αἰσθάνεται ἡ ψυχή μου, διὰ τοῦτο ἐν τῷ περιπατεῖν ἀσχολῶ ταύτης καὶ περισπῶ, ὡς ἂν μὴ τὸν νοῦν ἔχῃ προσηλωμένον τοῖς βρώμασιν.

7. Ἀδελφὸς ἤρωτησε τὸν Ἀββᾶν Σισώην περὶ πολιτείας καὶ ἀπεκρίθη καὶ γέρων· εἶπε Δανιὴλ ὁ Προφήτης, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον.

8. Διηγήσαντο περὶ τινὸς γέροντος, ὅτι ἐπεθύμησε πότε φαγεῖν συκίδιον καὶ λαβῶν αὐτό, μὴ ἡττηθεῖς τὴ ἐπιθυμία, ἐκρέμασε πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ οὕτως ἐδάμαζεν ἑαυτόν, ὅτι ὅλως ἐπεθύμησεν.

Ερμηνεία

Δεῖγμα δὲ τοῦ τὴν ἀρετὴν ταύτην τελείως κεκτήσθαι ἡμᾶς, τὸ μηδεμιὰ εἴκονι αἰσχρᾶς φαντασίας ἐν τοῖς ὕπνους τὴν ψυχὴν προστρέχειν. Εἰ γὰρ καὶ μὴ λογίζεται ἁμαρτία ἢ τοιαύτη κίνησις, ὅμως τεκμήριον ὑπάρχει τοῦ νοσεῖν τὴν ψυχήν, καὶ μήπω τοῦ πάθους ἀπηλλάχθαι, καὶ τούτου χάριν τὰς συμβαινούσας ἡμὶν ἐν τοῖς ὑπνοις αἰσχρᾶς φαντασίας, ἔλεγχος εἶναι τῆς προλαβούσης ῥαθυμίας, καὶ τῆς ἐν ἡμὶν ἀσθενείας πιστεύειν ὀφείλομεν. Καὶ γὰρ τὴν ἐν τοῖς ἀποκρύφους της ψυχῆς κεκρυμμένην νόσον φανεροποιεῖ ἢ συμβαίνουσα ῥῦσις ἡμὶν ἐν τῇ τοῦ ὕπνου ἀνέσει. Οἱ γὰρ εἰς τὸ ἄκρον τῆς ἁγιωσύνης καὶ ἁγνείας ἐλάσαντες, οὔτε ἐν τῷ ὕπνῳ ταῖς φαντασίαις προστρέχουσιν, οὔτε ἐγρηγορότες κινήσεως ὅλως αἰσθάνονται.

2. Οἵω ἀνδρὶ ἐν τῇ σκήτει συνέτυχον, ὃς ὑπὲρ τοὺς λοιποὺς Πατέρας τὸν τῆς ἁγνείας στέφανον λαμπρότερον περιέκειτο καὶ ἐν αὐτῷ γὰρ τῷ τῆς ὄψεως χαρακτῆρα καὶ τῆς ψυχῆς καθαρότης ἐπέλαμπεν, ὃς ἐκ θείας χάριτος ὑπεραναβᾶς καὶ τοὺς τῆς φύσεως ὅρους, καὶ τὴν φυσικῆς ἀπηρνήσατο κίνησιν. Καὶ γὰρ ὡς ἐκ τῶν εἰδότων τὰ κατ' αὐτὸν

ἀκριβῶς ἔμαθον, νηστείαις καὶ ἀγρυπνίαις καὶ δάκρυσιν οὗτος ἐπὶ πολὺ τὸν Θεὸν ἱκετεύων, ὡς τὲ τὸ τῆς σωφροσύνης δῶρον χαρισθῆναι αὐτό, ἔτυχε παρὰ τοῦ ἀγαθοῦ Δεσπότου τῆς αἰτήσεως. Καὶ δρᾷ ἓν ὀπτασία νυκτερινὴ Ἄγγελον δῆθεν τὴν γαστέρα αὐτοῦ διανοίξαντα, καὶ μᾶζαν τὴ χειρὶ πεπυρωμένην σαρκὸς ἐκ τῶν ἐγκάτων αὐτοῦ ἀποσπάσαντα, καὶ πάλιν τὰ κατὰ τὴν γαστέρα αὐτοῦ ἀποκαταστήσαντα, καὶ εἴποντα αὐτῷ ἰδοὺ ἀφειλόμην ἀπό σου τῆς σαρκικῆς ἐπιθυμίας τὰ ὑπεκκαύματα, καὶ ἀπὸ τῆς σήμερον γίνωσκε τὴν ἀγνείαν σου παρὰ Θεοῦ δεδωρήσθαι, ἣν πιστῶς μεθ' ὑπομονῆς ἐζήτησας .

Ερμηνεία

ΑΝ πραγματικά ενδιαφερόμεθα, κατά τον Απόστολον, να αθλήσωμεν νόμιμα και να στεφανωθώμεν (Β' Τιμοθ. 6', 5), αφού νικήσωμεν το ακάθαρτον πνεύμα της πορνείας, ας μη στηρίξωμεν το θάρρος μας εις την δύναμιν μας ή την άσκησίν μας, αλλά εις την βοήθειαν του Δεσπότου μας Θεού. Διότι ο άνθρωπος δεν θα σταματήση να πολεμηται από αυτό το πνεύμα, ώσπου να πιστεύση πραγματικά ότι θα ήμπορέση να απαλαγή από αυτήν την νόσον και να ανυψωθή εις το ύψος της αγνείας μονάχα με την σκέπην και βοήθειαν του Θεού και όχι με την ιδικήν του φροντίδα και τον κόπον.

Διότι βεβαίως το πράγμα είναι ανώτερον από την ανθρωπίνην φύσιν και, κατά κάποιον τρόπον, αυτός που θα καταπατήση τους ερεθισμούς της σαρκός και τας ηδονάς της υπερβαίνει τους όρους της φύσεως. Είναι όμως αδύνατον ο άνθρωπος να επιτύχη τούτο μόνος του, δηλαδή να πετάξη με τα ιδικά του πτερά, διά νά όμιλήσω έτσι– προς το ύψηλόν τούτο και ουράνιον βραβείον της αγιωσύνης και να γίνη μιμητής των Αγγέλων, αν δεν τον ανεβάση από την γην και τον βόρβορον η Χάρις του Θεού. Διότι με καμμίαν άλλην αρετήν, εκτός από την σωφροσύνην δεν εξομοιώνονται οι σάρκινοι άνθρωποι με τους πνευματικούς και νοερούς 'Αγγέλους. Με αυτήν δηλαδή την αρετήν, αν και ευρίσκονται και ζούν εις την γην, έχουν, κατά τον Απόστολον, το πολίτευμά τους εις τους Ουρανούς (Φιλιπ. γ΄, 20).

Απόδειξις δε ότι απεκτήσαμεν τελείως την αρετήν αυτών είναι το να μη τρέχη ψυχή μας, όταν κοιμώμεθα, εις αισχρά όνειρα. Διότι αν και η κίνησις αυτή της ψυχής εις τον ύπνον δεν λογαριάζεται αμαρτία, όμως είναι απόδειξις ότι νοσεί και δεν έχει ακόμη απαλλαγή από το πάθος. Διά τούτο πρέπει να πιστεύωμεν ότι αι αισχραι φαντασίαι, αι οποίαι μας έρχονται εις τον ύπνον, φανερώνουν την προηγουμένην ραθυμίαν και αδυναμίας μας. Την νόσον, δηλαδή, που κρύβεται εις τα απόκρυφα της ψυχής μας, ξεσκεπάζει η ρεύσις, που μας συμβαίνει εις την άνεσιν του ύπνου. Διότι εκείνοι που

έφθασαν εις το έπακρον της αγιωσύνης και της αγνείας, ούτε όταν κοιμώνται προστρέχουν εις τας αμαρτωλάς φαντασίας των ονείρων, ούτε όταν είναι ξυπνητοί αισθάνονται καθόλου κίνησιν αμαρτωλής επιθυμίας.,

2. Με ένα τοιούτον άγιον άνδρα εγνωρίσθην εις την σκήτην, που ήτο, στολισμένος με τον λαμπρότερον στέφανον της αγνείας και εις αυτο ακόμη το πρόσωπόν του έλαμπεν η καθαρότης της ψυχής του. Αυτός με την βοήθειαν της Θείας Χάριτος εξεπέρασε τους όρους της φύσεως και απέβαλε τελείως και αυτήν την φυσικής κίνησιν. της επιθυμίας. Διότι, όπως εξηκρίβωσα από εκείνους, που τον εγνώριζον καλώς, ικέτευε πάρα πολύ τον Θεόν με νηστείας και αγρυπνίας και δάκρυα, διά να του χαρισθή το δώρον της σωφροσύνης πράγματι δε εις το τέλος ο αγαθός Δεσπότης ικανοποίησε το αίτημά του. Βλέπει εις νυκτερινήν οπτασίαν ένα Αγγελον, ο οποίος του άνοιξε, τάχα, την κοιλίαν του και απέσπασε, με το χέρι του, από τα σπλάγχνα του μίαν πυρωμένην μάζαν σαρκός και πάλιν, μετά την εγχείρησιν αυτήν, του έτακτοποίησε την κοιλίαν.

- Νά, σου αφήρεσα –του είπε τα ερεθίσματα της σαρκικής επιθυμίας και γνώριζε ότι από σήμερα η αγνεία, την οποίαν με πίστιν και υπομονήν εζήτησες, σου έδωρήθη από τον Θεόν.

Δ'. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ἀγωνιστής, ὑπὸ τῆς πορνείας ὄχλουμενος, ἠρώτησε τὸν Ἀββᾶν Ἀγάθωνα λέγων· τί ποιήσω; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων: ὕπαγε, ρίψον ἐνώπιόν του Θεοῦ τὴν δύναμίν σου, καὶ ἔξεις ἀνάπαυσιν.

2. Διηγήσαντο περὶ τῆς Ἀμμᾶς Σάρρας, ὅτι ἔμεινε δεκατρία ἔτη πολεμουμένη κραταιῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, καὶ οὐδέποτε ηὔξατο ἀποστῆναι τὸν πόλεμον, ἀλλὰ μᾶλλον ἔλεγεν ὁ Θεὸς δὸς μοὶ ἰσχύν. Ἐν μιᾷ οὖν σφοδρῶς ὑπ' αὐτῆς ὄχλουμενη, ἀνῆλθεν εἰς τὸ δωμάτιον αὐτῆς προσεύξασθαι" καὶ ὤφθη αὐτὴ σωματικῶς τὸ πνεῦμα τῆς πορνείας καὶ εἶπεν αὐτὴ σὺ μὲ ἐνίκησας, Σάρρα; ἀπεκρίθη ἐκείνη οὐκ ἐνίκησά σε ἐγώ, ἀλλ' ὁ Δεσπότης μου Χριστός.

3. Ἀνὴρ τὶς ἀποταξάμενος τῷ κόσμῳ παρεγένετο εἰς σκήταν καὶ γέγονε Μοναχός. "Ἦν δὲ ἀγωνιστῆς συνέβη δὲ αὐτὸν φθόνῃ τοῦ πονηροῦ πολεμηθῆναι εἰς γυναῖκα. Καὶ ὡς ἐπέκειτο ὁ πόλεμος, ἀνήγγειλε τοῦτο τοῖς Πατράσιν' οἱ δὲ εἰδότες ὅτι ἐργάτης ἐστίν, ἐτίθουν αὐτὸ πολιτείας, ὁ δὲ προθύμως καταδεχόμενος ἐπετέλει, ὑφ' ὧν τὸ σῶμα αὐτοῦ

ἤσθενησε τοσούτον, ὡς μηδὲ ἀναστῆναι ἔτι δύνασθαι. Κατ᾽ οἰκονομίαν δὲ τοῦ Θεοῦ, τὶς τῶν Πατέρων παρέβαλεν ἀπὸ ξένης εἰς σκήτιν, καὶ ἀπελθῶν πρὸς ἄλλους γέροντας, ἦλθε διερχόμενος καὶ πρὸς τὴν αὐτοῦ κέλλας, ἣν ἰδὼν ἀνεωγμένην, ἐθαύμασε πῶς οὐδεὶς ἐξῆλθεν ἐκεῖθεν εἰς ὑπάντησιν αὐτοῦ. Εἶπε δὲ πρὸς ἑαυτόν, μήποτε καὶ ἐν ταύτῃ οἰκῶν ἀσθενεῖς

Προσελθῶν οὖν ἔκρουσε, καὶ ὡς οὐδεὶς προήρχετο, εἰσῆλθε καὶ εὗρεν αὐτὸν κείμενον ἀσθενοῦντα καὶ λέγει αὐτῶ τί ἔχεις, πάτερ; Ὁ δὲ διηγήσατο αὐτῶ τὰ κατ' αὐτόν, πὼς πολεμούμενοςεις γυναῖκα ἀνήγγειλε τοῖς Πατράσιν, καὶ ἐπέθηκαν αὐτὴ πολιτείας διαφόρους, ἃς καὶ ποιοῦντός μου, φησί, τὸ μὲν σῶμα ἤσθενησε, ὁ δὲ πόλεμος αὔξει. Ὁ δὲ γέρων ἀκούσας, οἱ μὲν Πατέρες, ὡς δυνατοί, καλῶς ἐπέθεντο σοὶ τὰς πολιτείας, πλὴν εἴ μοῦ ἀκούεις τῆς ταπεινώσεως, ἔασον λοιπὸν τὰς πολιτείας, ἐπεῖ μὴ εὑρες ὠφέλειαν ἐξ αὐτῶν, καὶ μεταλάμβανέ σου τὴν μικρᾶν τροφὴν εἰς τὸν καιρὸν αὐτῆς καὶ ποιῶν τὴν μικρᾶν σου σύναξις. Ἐπιρριψον ἐπὶ Κύριον τὴν μέριμνάς σου καὶ τὴν ἀδυναμίαν σου ἓν γὰρ τοῖς σοῖς πόνους οὐ δυνήσει τοῦ πολέμου περιγενέσθαι. "Ἴσθι δὲ ὅτι τὸ σῶμα ἡμῶν ὡς ἱμάτιον ἔστιν ἐὰν ἐπιμεληθῆς αὐτοῦ σῴζεται, ἐὰν δὲ ἀμελήσης σήπεται. Ὁ δὲ ἐποίησεν οὕτω, καὶ ἐντὸς ἡμερῶν ὀλίγων ἀπέστη ὁ πόλεμος ἀπ' αὐτοῦ.

4. Ἀναχωρητὴς τὶς ἦν παρθένος, γυναῖκα σχεδὸν ἄγνοων, καὶ τί ἐστιν ἡ πορνεία. "Ἔλεγε δὲ αὐτός, ὅτι τὸ μέλος τοῦτο ἔχει ὁ ἄνθρωπος εἰς τὸ προχωρεῖν τὸ ὕδωρ, ὃν τρόπον ἐν τῷ βαυκαλίῳ ἐστὶ τὸ μασθίον εἰς τὸ κενοῦν τὸ ἐν αὐτῷ ὕδωρ. Καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, ὁρᾷ τοὺς δαίμονας ὡς αἰθίοπας κύκλω κινοῦντας αὐτὸ τὸ πάθος. Ἐπυροῦτο μὲν οὖν καὶ ἐπεθύμει, ἤγνοει δὲ ἐξ ἀπειρίας τίνος καθεστηκεν ἐραστής.

Ἐν μιᾷ οὖν δείκνυσιν αὐτῶ ὁ διάβολος ἄνδρα μετὰ γυναικὸς τὸ μύσος ἐργαζόμενον. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ὑπερβολὴν τῆς κακίας τοῦ δαίμονος, ἐσκέπασε τὸν ἀδελφόν, ὁδηγήσας εἰς γέροντα τινὰ μέγαν ἀπελθεῖν, ὃς διδάξας αὐτὸν πὼς δεῖ πρὸς τοὺς δαίμονας ἀγωνίσασθαι ἀπέλυσε. Καὶ ὑποστρέψας ὁ ἀδελφὸς ἠγωνίσατο δεόμενος τοῦ Θεοῦ, καὶ ἔδωκεν αὐτῶ ὁ Θεὸς τοσούτον προκόψαι ὡς καὶ μεγάλου αὐτὸν ἀξιωθῆναι χαρίσματος ἐπληροφορεῖτο γὰρ περὶ τῆς ψυχῆς ἑκάστου τῶν ἀαθνῃσκόντων ἀδελφῶν, εἰ καλῶς εἶχεν ἢ κακῶς, καὶ ποὺ μέλλει ἀπελθεῖν.

5. Ἀδελφὸς οικῶν ἐν τῇ ἐρήμῳ ὤχληθη ὑπὸ πορνείας καὶ ἀπελθῶν εὗρε φωλεὸν ὑαίνης, καὶ εἰσελθῶν ἐν αὐτῷ ἔμεινεν ἄσιτος ἐπὶ ἐξ ἡμέρας. Εἶτα ἔλθουσής της ὑαίνης, ἰδὼν αὐτῶν καὶ φοβηθεῖς εἶπε Κύριε, ἐὰν μέλλω τὸ σῶμα μου μιάναι, δὸς αὐτὴ ἐξουσίαν κατ' ἐμοῦ, εἰ δὲ μή, σῶσον μὲ ἀπ' αὐτῆς. Καὶ εὐθέως ἤκουσε φωνῆς λεγούσης εὐνουχήσαντες αὐτὸν ἀπολύσατε, καὶ παραχρῆμα ἀπέστη ὁ πόλεμος ἀπ' αὐτοῦ.

Ερμηνεία

[328]

ΥΠΟΘΕΣΙΣ ΚΣΤ΄ (Πόλεμος της πορνείας – Τέλεια αγνεία)

ΕΝΑΣ αδελφός αγωνιστής, που ήνωχλείτο από λογισμούς πορνείας, κατέφυγεν εις τον Αββάν Αγάθωνα.

– Τι να κάνω; τον ήρώτησε.

– Πήγαινε, του απήντησεν ο Γέρων, ταπείνωσε την δύναμιν σου ενώπιον του Θεού και θα έχης ανάπαυσιν.

1. Διηγούντο διά τήν Αμμάν(*) Σάρραν, ότι επί δέκα τρία έτη έπολεμείτο έντονα από τον δαίμονα της πορνείας και ποτέ δεν παρεκάλεσε να της φύγη ο πόλεμος. 'Απ' εναντίας έλεγε: Θεέ μου, δυνάμωσε με. Μίαν ημέραν λοιπόν, που ήνωχλείτο ισχυρώς από πορνικους λογισμούς, ανέβηκεν εις το δωμάτιόν της να προσευχηθή και της εφανερώθη σωματικά το πνεύμα της πορνείας.

– Σὺ μὲ ἐνίκησες, Σάρρα; τὴν ἠρώτησε.

– Δὲν σὲ ἐνίκησα ἐγώ, ἀλλ' ὁ Δεσπότης μου Χριστός, ἀπήντησεν ἐκείνη.

3. Κάποιος ἄνδρας ἀρνήθηκε τὸν κόσμον, ἦλθεν εἰς σκήτης καὶ ἔγινε Μοναχός. Ἦτο ἀγωνιστῆς. Συνέβη λοιπὸν ἀπὸ φθόνον τοῦ πονηροῦ νὰ πολεμηθῆ ἀπὸ τὴν ἐπιθυμίαν γυναικός. Καθὼς δὲ τὸν ἐπλησίαζεν ὁ πόλεμος, τὸ ἐφανέρωσεν εἰς τοὺς Πατέρας. Ἐκεῖνοι, ἐπειδὴ τὸν ἐγνώριζαν ὅτι ἦτο ἀγωνιστῆς, τοῦ ἐπέβαλλον ἀσκήσεις, τὶς ὁποίας ἐξετέλει μὲ προθυμίαν. Ἀπὸ τὰς ἀσκήσεις ἐξασθένησε τόσον πολύ το σῶμα του, ὥστε νὰ μὴ ἦμπορη οὔτε νὰ σηκωθῆ.

Κατ' οἰκονομίαν Θεοῦ ἦλθεν εἰς τὴν σκήτην κάποιος ξενομερίτης Πατήρ. Ἀφοῦ ἐπεσκέφθη λοιπὸν διαφόρους ἄλλους Γέροντας, ἐπέρασε καὶ ἀπὸ τὸ κελλὶ τοῦ Μοναχοῦ αὐτοῦ. Ἔθαυμασεν ὅμως, διότι ἐνῷ ἦτο ἀνοικτὴ ἡ θύρα τοῦ κελλίου, δὲν ἔβγηκεν ἔξω κανεὶς νὰ τὸν προϋπαντήση. Εἶπε δὲ ἀπὸ μέσα του: μήπως ἄραγε εἶναι ἄρρωστος αὐτὸς ποῦ κατοικεῖ εἰς αὐτὸ τὸ κελλί;

'Ἀφοῦ λοιπὸν ἐπλησίασεν, ἐκτύπησεν, ἀλλὰ κανεὶς δὲν παρουσιάσθη. Διὶ αὐτὸ εἰσῆλθε καὶ εὑρῆκε τότε τὸν Μοναχῶν αὐτῶν νὰ κείτεται ἄρρωστος.

– Τί ἔχεις, πάτερ; τὸν ἔρωτα.

(*) Αμμά ή 'Αμμάς είναι το αντίστοιχος του 'Αββά, όταν πρόκειται διά Μοναστήριον γυναικών. "Όπως δηλαδή ο ηγούμενος Μοναστηρίου ανδρών λέγεται και 'Αββάς, ούτως ή ηγουμένη μοναστηρίου γυναικών λέγεται και 'Αμμά. (Η κυρία σημασία της λέξεως είναι Μήτερ, αντίστοιχον του Πάτερ).

Εἶς ἀπάντησιν ὁ Μοναχὸς διηγήθη τὰ βάσανά του, ὅτι δηλαδὴ πολεμεῖται ἀπὸ ἐπιθυμίαν γυναικὸς ὅτι τὸ ἐφανέρωσεν εἰς τοὺς Πατέρας καὶ ὅτι ἐκεῖνοι μου ἐπέβαλλον διαφόρους ἀσκήσεις, τὰς ὁποίας καθὼς ἐξετέλουν –εἶπεν ἐν τέλει– τὸ μὲν σῶμα μου ἤσθενησε, ἐνῷ ὁ πόλεμος μεγαλώνει.

Ἀφοῦ ἤκουσεν ὅλα αὐτὰ ὁ Γέρων, τοῦ ἀπήντησεν:

-Οἱ Πατέρες, ὡς δυνατοί, καλά σου ὥρισαν αὐτᾶς τὰς ἀσκήσεις. Πλὴν ἂν θέλῃς, ἄκουσε καὶ ἐμὲ τὸν ταπεινὸν ἄφησε εἰς τὸ ἑξῆς τὰς ἀσκήσεις, ἀφοῦ δὲν εὗρες ἀπὸ αὐτᾶς καμμίαν ὠφέλειαν, τρῶγε τὴν ὀλίγην τροφήν σου κατὰ τὴν ὥραν τοῦ φαγητοῦ καὶ κᾶνε τὴν μικρᾶν σου ἀκολουθίαν. Ἀνάθεσε εἰς τὸν Κύριον τὴν μέριμνάν σου (Ψάλμ. νδ΄, 23) καὶ τὴν ἀδυναμίαν σου· διότι μονάχα μὲ τοὺς κόπους σου δὲν θὰ ἤμπορεσης νὰ νικήσης εἰς αὐτὸν τὸν πόλεμον.

Μάθε δὲ ὅτι τὸ σῶμα μᾶς εἶναι ὅπως ἕνα φόρεμα. Ἐὰν τὸ φροντίσης, θὰ διατηρηθῆ ἐὰν τὸ παραμελήσης, θὰ καταστραφῇ.

Ὁ Μοναχὸς ἔκαμε, πράγματι, ὅπως τοῦ συνέστησεν ὁ ξενομερίτης Γέρων καὶ ἐντὸς ὀλίγων ἡμερῶν ἔφυγεν ἀπὸ ἐπάνω του ὁ πόλεμος.

4. Ἦτο κάποιος ἀναχωρητής, ποὺ παρέμεινε πραγματικὰ παρθένος, δὲν ἐγνώριζε σχεδὸν γυναῖκα, καθὼς καὶ τί εἶναι πορνεία. Ἔλεγε δὲ ὅτι τὸ γενετήσιον ὄργανον τὸ ἔχει ὁ ἄνθρωπος διὰ νὰ φεύγῃ τὸ νερόν, ὅπως ἀκριβῶς εἰς τὸ δοχεῖον ὑπάρχει τὸ στόμιον διὰ νὰ ἀδειάζωμεν τὸ νερὸ ποὺ εὑρίσκεται εἰς αὐτό. Μετὰ τὴν σκέψιν αὐτήν, καθὼς ὕψωσε τὰ μάτια του, βλέπει τοὺς δαίμονας, ὡς μαύρους νὰ τὸν κυκλῶνουν και να του ερεθίζουν το πάθος. Αναβε λοιπόν από την επιθυμίαν, δεν εγνώριζεν όμως, από έλλειψιν πείρας, τι πράγμα ήτο εκείνο που έπεθύμει.

Μίαν ημέραν του παρουσιάζει ο διάβολος ένα άνδρα να διαπράττη την αμαρτίαν με μίαν γυναίκα. Βλέπων ο Θεός την υπερβολήν της κακίας του δαίμονος εσκέπασε τον αδελφόν και τον οδήγησε να υπάγη προς ένα μεγάλον Γέροντα, ο οποίος τον εδίδαξε πώς πρέπει να αγωνίζεται εναντίον των δαιμόνων και κατόπιν τον άφησε να επιστρέψη εις το κελλί του. Αφού εγύρισεν ο αδελφός ηγωνίσθη παρακαλών τόν Θεόν. Ο Θεός του έδωσε πράγματι την δύναμιν να προκόψη τόσον, ώστε να αξιωθή να λάβη και ένα μεγάλο χάρισμα: επληροφορείτο δηλαδή (υπό της θείας Χάριτος), διά την ψυχήν του καθενός, που απέθνησκεν, εαν ευρίσκετο εις καλήν ή κακήν κατάστασιν και που πρόκειται να υπάγη.

5. Ένας αδελφός ο οποίος έκατοικούσε εις την έρημον, ήνωχλήθη από λογισμούς πορνείας. Έπήγε λοιπόν και εύρε φωλεάν υαίνης και αφού εισήλθεν εις αυτήν, παρέμεινε νηστικός επί εξ ημέρας. Όταν ήλθεν η ύαινα, την είδε και εφοβήθη. Κύριέ μου – είπεν - αν πρόκειται να μιάνω το σώμα μου, δώσε εις αυτήν εξουσίαν εναντίον μου· διαφορετικά γλύτωσέ με από αυτήν. Και αμέσως ήκουσε φωνήν, που έλεγεν. Αφού τον ευνουχήσετε, ελευθερώσατε τον και αμέσως έφυγεν ο πόλεμος από επάνω του.

ΥΠΟΘΕΣΙΣ ΚΖ'
(Η αγνεία, η πορνεία και η πληρωμή)

Τὶς ἡ τιμὴ τῆς ἁγνείας καὶ τὶς καὶ τῆς πορνείας ἀτιμία, καὶ ἑκατέρων/τὰ τέλη καὶ ἀνταποδόματα, καὶ νῦν καὶ ἐν τῷ μελλοντι.

Ποία είναι η τιμή της αγνείας και ποία η ατιμία της πορνείας και ποία η πληρωμή και ανταπόδοσις των δύο και εις την παρούσαν ζωήν και εις την μέλλουσαν.

Α'. Του Αγίου Εφραίμ

ΘΕΛΕΙΣ, ἀδελφέ, μαθεῖν πῶς χαλεπὴ ἡ πορνεία καὶ ὀλέθριος; ἀναλόγισαι, ὅτι οὓς οὐκ ἴσχυσαν δήγματα ὄφεων θανατώσαι ἐν τῇ ἐρήμῳ, τούτους ἡ πορνεία ἐν Μαδιὰμ κατέστρωσε, καὶ διὰ ταύτην καὶ θυσίαν εἰδώλων ἐσθίειν οὐ παρητήσαντο. "Ὅθεν ἐπεσον ἐκ τοῦ λαοῦ ἐν μιᾷ ἡμέρα εἴκοσι τρεῖς χιλιάδες.

Ερμηνεία

ΘΕΛΕΙΣ, αδελφέ, να μάθης πόσον φοβερά και καταστρεπτική είναι η πορνεία; Σκέψου ότι εκείνους, που δεν ημπόρεσαν να θανατώσουν εις την έρημον τα δαγκώματα των φιδιών, αυτούς τους έρριξε κάτω νεκρούς η πορνεία εις την Μαδιάμ εξ αιτίας αυτής και κρέατα ακόμη είδωλολατρικής θυσίας έφαγον. Ένεκα δε της παραβάσεως αυτής έπεσαν κάτω νεκροί, εις μίαν μόνον ημέραν, είκοσι τρεις χιλιάδες από τον λαόν(*).

(*) Τα γεγονότα τα οποία υπαινίσσεται ενταύθα και συγγραφεύς είναι τα εξής: Πορευόμενοι εν τη ερήμω οι Εβραίοι εξεκίνησαν εκ του όρους Ωρ και περιεκύκλωσαν την γήν 'Εδώμ. Αλλ' ο λαός ώλιγοψύχησεν εις τον δρόμον, ως στερούμενος άρτου και ύδατος, και ήρχισε να γογγύζη κατά του Μωϋσέως. Τότε ο Θεός ωργίσθη κατά των Εβραίων και έστειλεν εναντίον αυτών δηλητηριώδεις όφεις, όποιος δε έδαγκάνετο υπό των όφεων απέθνησκεν. Ούτως απέθανε «λαός πολύς των υιών Ισραήλ». Ο λαός μετενόησε διά την αμαρτίαν του και εζήτησεν από τον Μωϋσήν να παρακαλέση τον Θεόν να τον σώση. Τότε ο Μωϋσής, κατά διαταγήν του Θεού, κατεσκεύασε χάλκινον όφιν, τον οποίον έστησεν εις υψηλόν μέρος όποιον δε εδάγκανον οι όφεις, όταν έστρεφε το βλέμμα προς τον χάλκινον όφιν, έσώζετο (Αριθ. κεφ. ΚΑ' 4-9). "Οταν βραδύτερον οι Εβραίοι έφθασαν εις Σαττείν, εν τη χώρα Μωάβ, έβεβηλώθησαν εν τη πορνεία με τας θυγατέρας Μωάβ, έφαγον δε και από τα κρέατα των ειδωλολατρικών θυσιών, πράγμα το οποίον απαγορεύετο αυστηρώς, και επροσκύνησαν τα είδωλα. Ο Κύριος ώργίσθη διά την ασέβειαν αυτήν και διέταξε τον Μωϋσήν να τιμωρήση τους παραβάτας. Και ο Μωϋσής

Β'. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· τί ποιήσω, Ἀββᾶ, ὅτι πολεμοῦμαι δεινῶς ὑπὸ τῆς πορνείας; Ὁ δὲ γέρων εἶπεν αὐτῷ περὶ τούτου τοῦ λογισμοῦ ἀσφάλισαι ὅση δύναμις σοί ἐστι καὶ γὰρ ἐκ τούτου τοῦ λογισμοῦ ἀπόγνωσις σωτηρίας τῷ ἠττηθέντι γίνεται. "Ὡς πὲρ γὰρ πλοῖον τρικυμίαις καὶ κλύδωνι καὶ θαλάσσῃ μαχόμενον, ἐὰν τὸ πηδάλιον ἀποβάλῃ, ἐγγὺς μὲν ἔστι τοῦ κινδυνεύσαι, πλὴν ἔτι πλέει: ὁμοίως ἐὰν τὸ κερατίδιν κλασθῇ ἢ ἄλλο τί των πρὸς ἀσφάλειας τοῦ πλέειν ἀπολέσῃ, ἔτι οἱ ἐν αὐτῷ ἐν ἐλπίσιν εἰσὶ χρησταϊς τοῦ σκάφους σῳζομένου.

Οὕτω καὶ ὁ Μοναχὸς ἐὰν ῥᾳθυμὴ εἰς τὰ ἄλλα πάθη, ἤγουν ῥᾳθυμῶν νικᾶται ὑπὸ τινὸς τῶν ἄλλων παθῶν, προσδοκᾷ διὰ μετανοίας περιγενέσθαι αὐτῶν. Ἐὰν δὲ ἅπαξ εἰς τὸ πάθος τῆς πορνείας παραπέσῃ, ὡς ναυαγήσας εἰς ἀπόγνωσιν ἔρχεται, τοῦ πλοίου κάτω ἀπελθόντος.

2. Εἶπε γέρων μικρῶν ἀψίνθιον ἀχρειοῖ κεράμιον μέλιτος, καὶ μία ἁμαρτία σωματικὴ ἀπελαύνει τῆς Βασιλείας τῶν οὐρανῶν καὶ τὴ γεέννη τοῦ πυρὸς παραπέμπει. Φεῦγε, ὦ ταπεινὲ Μοναχέ, σωματικὴν ἁμαρτίαν ὡς πῦρ, ἵνα μὴ ὑπὸ ταύτης καταφλεχθῇς.

Ερμηνεία

ΕΝΑΣ αδελφός ήρώτησε κάποιον Γέροντα:

– Τι να κάμω, -του λέγει- Αββά, που πολεμούμαι φοβερά από την πορνείαν;

Ο Γέρων του απήντησε:

Πρόσεξε να ασφαλισθης εναντίον αυτού του λογισμού όσον (ήμπορείς· διότι όποιος νικηθή από αυτόν τον λογισμόν κινδυνεύει να χάση κάθε ελπίδα της σωτηρίας του. Όπως ακριβώς το πλοίον, όταν αγωνίζεται με την τρικυμίαν, την θαλασσοταραχήν και τα κύματα, αν τού φύγη το τιμόνι, διατρέχει κίνδυνον, αλλ' όμως πλέει ακόμη επίσης και αν σπάση ο ιστός (κατάρτι) ή χάση κάτι άλλο από αυτά, που ασφαλίζουν το ταξίδι, ήμπορούν ακόμη οι επιβάται να ελπίζουν, ότι θα σωθή τελικά το σκάφος.

διέταξε τας φυλάς του Ισραήλ, να τιμωρήση έκαστος τον συγγενή αυτού, ο οποίος υπέπεσεν εις αμαρτίαν. Ετιμωρήθησαν τότε διά θανάτου είκοσι τέσσαρες χιλιάδες Εβραίοι, πολύ περισσότεροι από όσους απέθανον από τα δήγματα των όφεων. (Αριθμοί, κεφ. ΚΕ', 1-9).

Έτσι ακριβώς και ο Μοναχός ήμπορεί να περιμένη ότι με την μετάνοιαν θα επιβληθή εις τα διάφορα άλλα πάθη, εαν εις κάποιο απ' αυτα νικάται από αμέλειαν ή ραθυμίαν. Αν όμως διά μίαν φοράν περιπέση εις το πάθος της πορνείας, τότε απελπίζεται όπως ο ναυαγός, όταν το πλοίον πλέον βυθίζεται.

2. Ένας Γέρων είπεν ολίγη αψιθιά[(*)] αχρηστεύει ολόκληρον δοχείον με μέλι και μία σωματική αμαρτία απομακρύνει από την Βασιλείαν των Ουρανών και στέλλει εις την γέενναν του πυρός. Φεύγε μακρυά, ταπεινέ Μοναχέ, από την σωματικήν αμαρτίαν, όπως από την φωτιάν, δια να μη κατακαής από αυτήν.

Γ'. Του Αγίου Εφραίμ

ΩΣ ΠΕΡ θυμίαμα εὐφραίνει αἴσθησιν, οὕτω καὶ ἐπὶ τῇ ἁγνείᾳ εὐφραίνεται τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ κατοικεῖ ἐν τῷ ἀνθρώπῳ. Ὡς πὲρ δὲ ὺς τέρπεται εἰς κύλισμα βορβόρου, οὕτω καὶ οἱ δαίμονες τέρπονται ἐπὶ τῇ δυσωδίᾳ τῆς πορνείας. Φῶς μέγα καὶ χαρὰ καὶ εἰρήνη καὶ ὑπομονὴ κατοικεῖ ἐν τῇ ἁγνείᾳ. Λύπη δὲ καὶ ἀκηδία καὶ ὕπνος ἀκόρεστος καὶ σκότος ζοφερὸν συνέζευκται τὴ πορνεία. Ἀγάπα, Μοναχέ, τὴν ἁγνείαν ἐν ἀγάπῃ Χριστοῦ οὕτω γὰρ ἁρμόζει τὴ σὴ πολιτεία, δν τρόπου σκέπαρνον τέκτονι.

2. Ἀδελφέ, μὴ οὕτω τὸ σῶμα ἀφόβως φιλοκάλει καλλωπίζων, ἀλλ' ἄκουε τοῦ Ἀποστόλου λέγοντος τὰς δὲ γεωτερικὲς ἐπιθυμίας φεῦγε. Οὐκ οἶδᾳς οἵω ἐχθρῶ προσπαλαίεις; οὐκ οἶδᾳς ὅτι χαλεπὸν ἔστιν εἶναι παγίδα ἑτέρας ψυχῆς; Καὶ τοῦτο δὲ γίνωσκε, ὅτι ἐὰν ὁ ἔξωθεν ἄνθρωπος εἴη κεκαλλωπισμένος καὶ εὐειδής, ἡ δὲ ψυχὴ ἐστιν ἔρρυπωμενη ἔνδον, οὐ χρονιεῖ τούτου τὸ κάλλος διαφθαρῆναι. Ἐὰν δὲ κτήση κάλλος ψυχῆς, συμφωνήσει ἐκ τοῦ κάλλους αὐτῆς καὶ εἰς τὸν ἔξω ἄνθρωπον, καὶ τοῦτο τὸ κάλλος σοὶ διαμεγεῖ.

Ερμηνεία

ΟΠΩΣ το θυμίαμα μας προκαλεί ευάρεστα συναισθήματα, έτσι και το Αγιον Πνεύμα ευχαριστείται εις την αγνείαν και κατοικεί εις τον αγνον άνθρωπον. Οπως, πάλιν, ο χοίρος χαίρεται να κυλίεται εις τον βόρβορον, έτσι και οι δαίμονες διασκεδάζουν με την δυσωδίαν της πορνείας. Εις την αγνείαν κατοικεί ολόλαμπρον φώς και χαρά και

(*) Η αψιθιά είναι φυτόν φρυγανώδες του γένους 'Αρτεμισία. Είναι αρωματική και πολύ πικρή. Σήμερον τόσον η αψιθιά όσον και το εξ αυτής παραγόμενον αιθέριο έλαιον χρησιμοποιούνται ευρύτατα εις την φαρμακευτικήν. Δι' αυτό ο Γέρων εδώ εννοεί ότι ολίγη αψιθιά με την μεγάλην πικράδαν της εάν ριφθή εις ένα δοχείον με μέλι το αχρηστεύει.

ειρήνη και υπομονή. Ενώ με την πορνείαν έχουν συνδεθή λύπη και ψυχική κατάπτωσις και αχόρταστος ύπνος και σκότος πυκνόν. Να αγαπάς, Μοναχέ, την αγνείαν με αγάπην Χριστού· διότι αυτό ταιριάζει εις την ασκητικήν ζωήν σου όπως το σκεπάρνι εις τον μαραγκόν.

2. Αδελφέ, να μη περιποιήσαι και να καλλωπίζης τόσον άφοβα το σώμα σου, αλλά να προσέχης αυτό, που λέγει ο Απόστολος: «να αποφεύγης τας επιθυμίας της νεότητος» (Β΄ Τιμ. 6', 22). Δεν γνωρίζεις με ποίον εχθρόν παλαίεις; Δεν γνωρίζεις ότι είναι φοβερόν να γίνεσαι παγίς (σκάνδαλον) άλλης ψυχής; Και αυτό ακόμη να γνωρίζης: αν ο εξωτερικός άνθρωπος είναι στολισμένος και ωραίος, η δε ψυχή από μέσα έχει ασχημίσει, δεν θα αργήση και η σωματική ωραιότης να χαλάση. Αν όμως αποκτήσης ψυχικήν ωραιότητα θα ξεχυθη από την ωραιότητα αυτήν και εις τον εξωτερικός άνθρωπον, οπόταν η ωραιότης αυτή θα παραμείνη.

ΥΠΟΘΕΣΙΣ ΚΗ'
(Η συγκατάθεση στους αισχρούς λογισμούς)

Ὅτι καὶ τὸ τοὺς αἰσχροὺς λογισμοὺς παραδέχεσθαι καὶ μὴ εὐθέως ἀποκρούεσθαι ὁμοίως καὶ τὸ περιέργως βλέπεις καὶ αἰσχρὰ λαλεῖν ἢ ἀκούειν ὑπὸ τιμωρίαν ἐστὶν ἡ δὲ συγκατάθεσις ἐπίσης τῇ πράξει κολάζεται, καὶ ὅτι διὰ πολλῶν καὶ ποικίλων μεθοδειῶν τὸ πνεῦμα τῆς πορνείας προσβάλλει, διὸ καὶ προσεκτέον ἀεί.

Οτι και το να παραδέχεται κανείς τους αισχρούς λογισμούς και να μη τους απομακρύνη αμέσως, όπως επίσης και το να βλέπη κανείς περίεργα και να λαλή ή να ακούη αισχρά είναι άξια τιμωρίας ή συγκατάθεσις (εις τον αισχρον λογισμον) τιμωρείται το ίδιον με την πράξιν το πνεύμα της πορνείας μας επιτίθεται με πολλούς και διαφόρους τρόπους, διά τούτο πρέπει πάντοτε να προσέχωμεν.

Α'. Εν τω βίω τού Αγίου Ευθυμίου

ΑΔΕΛΦΟΣ τὶς ἦν ἐν τῇ τοῦ Ἁγίου Εὐθυμίου Λαύρα, Ρωμαῖος το γένος, Αἰμιλιανὸς τὴν κλῆσιν, βίον δὴ χρηστῶν μετιῶν, καὶ σωφροσύγην ὡς μάλιστα τὴν καλὴν ἐξ αὐτῆς τῆς νεότητος ἀσπασάμενος. Τούτω νυκτὸς πότε διαγενομένης Κυριακῆς, χαλεπὸν ἐκ τῆς σαρκὸς ὁ ἐχθρὸς κεκίνηκε πόλεμον, πρὸς ὃν ἀντέχειν εἰς τέλος ἀπαγορεύσας, ἐνεδίδου ἤδη καὶ τοῖς λογισμοὺς ὑποκατεκλίνετο. Οὕτως ἔχων καὶ ὑπὸ τοῦ πάθους πολιορκούμενος, ἐντυγχάνει περὶ τὸν ὄρθρον ἐρχομένω πρὸς τὴν σύναξις τῷ Ἁγίῳ, καὶ τὶς ἐξ αὐτοῦ προσέβαλλε δυσωδία, τὸ χαλεπὸν ἐκεῖνο πάθος τὴ μεγάλη δηλοῦσα.

Ὀσφρανθεῖς οὖν αὐτῆς ὁ θεῖος Εὐθύμιος καὶ γιοὺς τὴν ἐπιβουλήν, ἐπιτικαι τὴ διενοχλούντι πονηρὼ δαίμονι, καὶ παραχρῆμα ὕπτιος μὲν ἐπὶ τοῦ ἐδάφους καὶ ἀδελφὸς ἔκειτο σπαράττων ἑαυτὸν καὶ κλογῶν καὶ ἀφρὸν ἔκπτυων, συνίεσαν δὲ καὶ πολλοί των Μοναχῶν ἐπ' αὐτῶ.

Φῶς τοίνυν ὁ Μέγας Εὐθύμιος ἐνεχθῆναι κελεύσας, διά το καὶ τὸν τόπον εἶναι ζοφώδη καὶ ἀφεγγῆ, ὁρᾶτε τὸν ἀδελφόν, ὦ Πατέρες καὶ ἀδελφοί, φησὶ πρὸς αὐτούς, ὅπως ἐν ἀρετῇ ζῶν ἐκ παιδὸς καὶ σωφροσύνης ἐπιμελούμενος, νῦν διὰ τὸ μικρὸν ἐνδούναι τοῖς σαρκικοὺς πάθεσι κεῖται πάσιν ἡμὶν θέαμα θρήνων ἄξιον; Διὸ πάση φυλακὴ τὴν διάνοιαν ἑκάστω τὴν ἑαυτοῦ τηρητέον, μὴ λάθη καὶ διὰ φαντασίας δὴ τινὸς κλέψας ἡμᾶς ὁ ἐχθρὸς καὶ εἰς τὸ τῆς ἀπωλείας καταγαγὼν βάραθρον, κὰν γὰρ ἄτοπος

ἡμὶν ἔγγενηται λογισμὸς εἶς ἐπιθυμίαν ἀκόλαστον ἐρεθίζων, ἡμεῖς δὲ μὴ τὴν πρώτην εὐθὺς ἐκπολεμηθῆναι τούτω σπουδάσωμεν, ἀλλ' οἷον εὐμενῶς αὐτὸν τὴ διανοία παραδεξώμεθα, οὔμενουν ἐλεύθεροι κακίας ἐσόμεθα, ἀλλὰ καὶ σώμασι μὴ πλησιάζοντες, ὡς πεπορνευκότες κατὰ διάνοιαν κριθησόμεθα.

Ἐπεξήει δὲ τί καὶ τοιοῦτον, ὅπερ φησῖν, ἐμοὶ τῶν Αἰγυπτίων τινὲς γερόντων πότε διηγήσαντο. "Ἦν τὶς ἐν πόλει βίου μὲν θαυμαστοῦ παρὰ πάσι νομιζόμενος, καὶ πολλὴν δῆθεν πρὸς τὸν Θεὸν πλουτήσας τὴν οἰκειότητα, πυκνὰ δὲ ταῖς ἀληθείαις παροργίζων αὐτὸν ἐν τῷ κρυπτῷ κινήματι τῆς καρδίας, διὰ τῆς πρὸς τοὺς φαύλους λογισμοὺς τάχα συγκαταθέσεως, ὡς τὲ κὰν μὴ τῷ ἔργῳ, ἀλλ' οὖν τὴ διανοία ραδίως πλημμελεῖν.

Βαρεῖα δὲ καὶ τοιοῦτος ποτὲ νόσω περιπεσῶν, περὶ τὰς ἐσχάτας ἀναπνοὲς ἦν, καὶ ἤδη θάνατον ἔβλεπεν. Ὀδυρμὸς δὲ κατεῖχε τὴν πόλιν, καὶ ἡλικία πᾶσα ἐκόπτετο, καὶ τοῦ ἀνδρός, εἰ πὲρ οἷον τὲ προαναρπασθῆναι πάντες ἐπηύχοντο, βέλτιον ἡγούμενοι τοῦτο παθεῖν, ἢ ἀνδρὸς οὕτω διὰ πάσης ἀδομένου γλώττης τὴν ἐκδημίαν ἰδεῖν.

Τῶν διορατικῶν δὲ τὶς ἐν τοσούτῳ τὴν πόλιν παραβαλῶν, καὶ τὸ βαρὺ τοῦτο καὶ πάνδημον πένθος ὁρῶν, ἔπειτα καὶ τὸ πλῆθος ἀκούων μετ' οἰμωγῆς ἐκεῖνον οὕτως ἀνακλαιόμενον, ὁ "Ἅγιος, ὁ Πατήρ, ὁ Σωτὴρ ὁ ἡμέτερος, οὐ τὴ πρὸς Θεὸν πρεσβεία πάντες ἐσμὲν σῳζόμενοι, ποία λοιπὸν ἡμὶν ἔσται σωτηρίας ἐλπίς; ποία μετὰ τοῦτον ἀσφάλεια;

Ταῦτα καὶ διορατικὸς ἐκεῖνος ἀνὴρ ἰδὼν τὲ καὶ ἀκούσας, ἀπήει μετὰ σπουδῆς πρὸς αὐτὸν εὐχῆς ἀξιωθῆναι τινὸς καὶ εὐλογίας κατεπειγόμενος. Ἐπει δὲ ἤδη καὶ πλησίον ἦν, δρᾷ μὲν τοὺς μὲν λαμπροτάτους τῶν πολιτῶν, δρᾷ δὲ τὸν τῶν ἱερέων κλῆρον, πρὸς δὲ καὶ αὐτὸν τὸν Ἐπίσκοπον λαμπάδας διὰ χειρὸς ἔχοντας καὶ τὴν τοῦ σώματος προπομπῆς ἀναμένοντας. Εἶτα παρωσάμενος τὸ πλῆθος καὶ πρὸς τὸν κείμενον εἰσελθῶν, εὑρίσκει μὲν αὐτὸν ἔτι ἐμπνέοντα ὀλίγον, βλέπει δὲ τί θέαμα κρυπτοῖς ὀφθαλμοῖς, καὶ ἰδεῖν φοβερὸς καὶ ἀκούσαι δακρύων ἄξιον.

Ἐδόκει γὰρ τὶς αὐτὸ πύρινον οἷον τριόδοντα εἰς τὴν ἐκείνου καθιέναι καρδίαν, καὶ τὴν ψυχήν, φεῦ, βιαίως ἐκεῖθεν καὶ πικρῶς ἀνασπᾶν. "Ἔπειτα καὶ φωνῆς ἄνωθεν ἀκούειν, ὃν τρόπον οὐκ ἀνέπαυσε μέ, λεγούσης, ἡ ψυχὴ αὕτη οὐδὲ μίαν μόνην ἡμέραν, τὸν αὐτὸν δήπου τρόπον μηδὲ σὺ παύση σπαράττων αὐτῶν, καὶ σφοδρῶς ἕλκων καὶ τιμωρούμενος.

Ταῦτα πρὸς τοὺς παρόντας τῶν ἀδελφῶν ὁ Εὐθύμιος διεξῆλθεν, εἶτα καὶ παραινέσεως ἐξῆς ἥπτετο, προσεκτικοὺς αὐτοὺς εἶναι καὶ εἰς ἀεὶ εὐπρεπεῖς περὶ τὴν τῆς ψυχῆς ἔξοδον προμηθούμενος, Αἰμιλιανός, λέγων, οὗτος ὑμὶν ὑπόδειγμα ἔστω, ὃν καὶ διὰ τοῦτο πάντως ὁ Θεὸς περιεῖδεν αἰσχρῶς οὕτωσι καὶ ἀθλίως ἐν τοῖς ἁπάντων ὑμῶν

ὀφθαλμοῖς ὑπὸ τοῦ τῆς φιληδονίας κατεργασθῆναι πικροῦ δαίμονος, ἵν' αὐτοὶ γένησθε βελτίους, καὶ ἀπὸ τῆς εἰς αὐτὸν τιμωρίας ὑμεῖς κερδάνητε. Ἀλλὰ γὰρ δεηθῶμεν, φησί, τοῦ Θεοῦ τῆς τοιαύτης ἐπιβουλῆς ἀνεθῆναι τὸν ἄνδρα.

Καὶ ὁ μὲν αὐτίκα τοῦ ἀδελφοῦ ὑπερηύχετο, ὁ δὲ τόπος εὐθὺς ἀπὸ δυσωδίας ἀνεπέπληστο, θείου καθάπερ τινὸς ὑποκατομένου, καὶ φωνὴ τὴ δυσωδία ἐπηκολούθει, ἐγὼ εἶμι τὸ τῆς πορνείας, λέγουσα, πνεῦμα. Καὶ τὸ ἑξῆς σωφρονῶν ὁ ἀδελφὸς καὶ νήφων ἀνίστατο, σκεῦος ἐκλογῆς καὶ αὐτός, κατὰ τὸν θεῖον Ἀπόστολον, τὸ ἀπ' ἐκείνου γενόμενος.

Καὶ τελευτῶν δὲ ὁ μέγας ταῦτα τοὺς ἀδελφοὺς ἐπισκήπτων εἶπεν, ὅτι ὁ λογισμοὺς ἀτόπους προσπαλαίων τῶν ἀδελφῶν ἀσφαλιζέσθω ὑμὶν ἀεί, καὶ παραινέσεως ἀπολαυέτω διηνεκοῦς καὶ διδασκαλίας καὶ ὑποθήκης, μὴ λάθη κατὰ μικρὸν ὑποσκελισθεῖς, καὶ πτῶμα χαλεπόν το διαβόλω γενόμενος.

Ερμηνεία

ΚΑΠΟΙΟΣ αδελφός, από την Ρώμην, ονομαζόμενος Αιμιλιανός, έζη κάποτε εις την Λαύραν(*) του Αγίου Ευθυμίου. Αυτός είχεν ενάρετον βίον και από την νεανικής του ηλικίαν ήκολούθησε την τόσον καλήν σωφροσύνην. Κάποιαν νύκτα, προς το ξημέρωμα Κυριακής, ο εχθρός της ψυχής εξεσήκωσεν εναντίον του φοβερόν σαρκικόν πόλεμον, προς τον οποίον δεν ηδυνήθη να ανθέξη μέχρι τέλους και δι' αυτό ήρχισε να υποχωρή και να παραδίδεται εις τους αισχρους λογισμούς. Έτσι καθώς ήτο εις αυτήν

(*) Λαύρα παρά τους Βυζαντινοίς εκαλείτο συστάς μοναστικών κελλίων εντός των οποίων έζων και ηγωνίζοντο κατά μόνας οι ασκηται. Μεταγενεστέρως απεκλήθησαν Λαύραι αι μεγάλαι και πολυάνθρωποι Μοναι. Τοιαύται Λαύραι ιδρύθησαν πολλαι πέριξ των ασκητηρίων, εις τα οποία ηγωνίσθησαν μεγάλοι "Οσιοι Πατέρες και διακεκριμένοι 'Ασκηται όπως ο "Όσιος Χαρίτων (276 μ.Χ.), ο "Όσιος Ευθύμιος (473 μ.Χ.), ο "Οσιος Σάββας (533 μ.Χ.), και άλλοι μεγάλοι "Οσιου Πατέρες, η αρετή των οποίων είλκυεν, ώς ο μαγνήτης τον σίδηρον, τάς καλοπροαιρέτους εκείνας ψυχάς, αίτινες εγκαταλείπουσαι τα του κόσμου τερπνά και ήδέα ήρχοντο πλησίον αυτών διά να αγωνίζωνται, έχουσαι αυτούς ως οδηγούς και διδασκάλους, αλλά και ως ζώντα παραδείγματα της επιτόνου αλλ' ουρανοδρόμου πορείας των προς τα άνω σκηνώματα. Η Λαύρα του Αγίου Ευθυμίου, περί ης ενταύθα γίνεται λόγος, απείχε περί τα 15 χλμ. από των Ιεροσολύμων. Είχε δε και "Οσιος Ευθύμιος ιδρύσει δύο Λαύρας. Μίαν εις τον Χείμαρρον δέκα μίλλια μακράν της Ιερουσαλήμ και υπεράνω του σπηλαίου εις το οποίον ο "Όσιος ήσκήτευεν δμου μετά του Οσίου Θεοκτίστου, μετά την αναχώρησίν των από την Φαράν, ετέραν δε εις το μέρος εις το οποίον ησύχαζεν ο "Όσιος μετά την επιστροφής του από την έρημον Ζίφ απείχε δε από της πρώτης Λαύρας περί τα τρία μίλλια. Έκτισε δε και έτερον Μοναστήριον δ "Οσιος εις την έρημον Ζίφ εις το σπήλαιον εις το οποίον εκρύβη ο Δαβίδ διωκόμενος υπό του Σαούλ (Α' Βασ. κγ', 14). Ο ενταύθα αναφερόμενος Αιμιλιανός έμόγαζεν εις την δευτέρας Λαύρας του Αγίου Ευθυμίου. (Βλέπε περί τούτων κατά πλάτος εν τώ ημετέρω «Μεγάλο Συναξαριστή της Ορθοδόξου Εκκλησίας», Τόμος Α' σελ. 484. Το συμβάν του Αιμιλιανού αναφέρεται εν σελίδι 492).

την κατάστασιν και πολιορκούμενος από το πάθος, συναντα κατά την αυγήν τον Αγιον, που ήρχετο εις τον Ναόν διά την ακολουθίαν του Όρθρου. Κάποια δυσοσμία τότε, που ανεδίδετο από τον Αιμιλιανόν, ηνώχλησε τον Μεγάλον, και του εφανέρωσεν έτσι το φοβερόν πάθος.

Μόλις λοιπόν ώσφράνθηκε την δυσοσμίαν εκείνην ο Αγιος Εύθύμιος και αντελήφθη την σατανικής ενέργειαν, επιτιμά αμέσως τον πονηρόν δαίμονα, που ενωχλούσε τον αδελφόν και αμέσως αυτός έπεσεν ανάσκελα εις το έδαφος, έσπάραζεν, έτρεμε και έβγαζεν άφρους από το στόμα του εν τω μεταξύ έμαζεύθησαν και πολλοί Μοναχοί γύρω του.

'Αφού δε διέταξεν ο Μέγας Ευθύμιος να φέρουν φώς, επειδή ο τόπος ήτο σκοτεινός και χωρίς φώς, είπε προς τους συγκεντρωθέντας: Αδελφοί και Πατέρες, βλέπετε τον αδελφόν; Από μικρό παιδί εζούσεν ενάρετα και εφρόντιζε δια την σωφροσύνην· τώρα όμως, επειδή ολίγον υπεχώρησεν εις τα σαρκικά πάθη, ευρίσκεται εμπρός μας εξαπλωμένος θέαμα αξιοθρήνητον! Διά τούτο πρέπει ο καθένας μας με όλην του την προσοχήν να περιφρουρή την διάνοιάν του, μήπως μάς ξεγελάση ο έχθρός με καμμίαν φαντασίας και έτσι μας παρασύρη εις το βάραθρον της απωλείας. Αν δηλαδή μάς έλθη εις τον νούν κάποιος αισχρός λογισμός να μας ερεθίση με ακόλαστον επιθυμίαν και δεν φροντίσωμεν ευθύς εξ αρχής να τον καταπολεμήσωμεν, αλλά τον δεχθούμεν κάπως ευχάριστα, τότε όχι μονάχα δεν θα είμεθα απηλλαγμένοι από αμαρτίαν, αλλά και αν ακόμη δεν πορνεύσωμεν με το σώμα μας, οπωσδήποτε θα κριθώμεν από τον Θεόν ωσάν να έχωμεν διαπράξει πορνείαν με την σκέψιν μας.

Εν συνεχεία μας διηγήθη και μίαν ωφέλιμον ιστορίας, την οποίαν, όπως είπεν, ήκουσεν από μερικούς Αίγυπτίους Γέροντας.

Κάποτε έλεγεν υπήρχεν εις μίαν πόλιν κάποιος, που εθεωρείτο από όλους, ότι εζούσεν αξιοθαύμαστα. "Όλοι ενόμιζαν ότι είχεν αποκτήσει μεγάλην οικειότητα προς τον Θεόν εις την πραγματικότητα όμως τον παρώργιζε πολύ συχνά, με τα κρυφά κινήματα της καρδίας του. Γρήγορα δηλαδή έκανε συγκατάθεσιν με τους αισχρους λογισμούς, ώστε αν όχι με πράξιν, με τον νούν του όμως εύκολα έπιπτεν εις την αμαρτίαν.

Κάποτε ο άνθρωπος εκείνος αρρώστησε βαρειά και έφθασεν εις τα τελευταία του έβλεπεν δε ήδη τον θάνατον να τον πλησιάζη. "'Όλοι οι πολίται οδύροντο, έκλαιον δε μικροί και μεγάλοι και επαρακαλούσαν, αν ήτο δυνατόν, να αποθάνουν πριν από τον

άνθρωπον εκείνον επροτιμούσαν δηλαδή να πάθουν οι ίδιοι αυτό το κακόν, παρά να δουν τον θάνατον άνδρός, τον οποίον όλοι έπαινούσαν.

Εν τω μεταξύ ήλθεν εις την πόλιν κάποιος διορατικός Γέροντας. Καθώς λοιπόν έβλεπε το βαρύ και παλλαϊκόν εκείνο πένθος και ήκουε το πλήθος να τον θρηνή σπαρακτικά με αυτά τα λόγια ο Αγιος, ο Πατέρας μας, ο Σωτήρας μας, που έσωθήκαμεν όλοι με τας προς τον Θεόν πρεσβείας του, ποίαν απ' εδώ και έμπρός έχομεν ελπίδα σωτηρίας; πώς θα είμεθα ασφαλείς μετά τον θάνατός του;

Δι' αυτό, μετά από όσα είδε και ήκουσεν, έτρεξε γρήγορα προς τον ετοιμοθάνατον, διά να αξιωθή να πάρη την ευχήν του. Μόλις έφθασε πλησίον βλέπει να περιμένουν οι άρχοντες της πόλεως, ο ιερός κλήρος, ακόμη και ο ίδιος ο Επίσκοπος, να κρατούν λαμπάδας εις τα χέρια των και να περιμένουν την εκφοράν του νεκρού. Αφού λοιπόν έσπρωξε το πλήθος, ήλθε κοντά εις τον ετοιμοθάνατον, που τον ευρήκε να αναπνέη ολίγον ακόμη. Τότε βλέπει με τα μάτια της ψυχής του θέαμα αξιοδάκρυτον, φοβερόν να το ίδη και να το ακούση κανείς! Του εφάνη, δηλαδή, ότι κάποιος εκρατούσε μίαν πυρίνην τρίαιναν και την εκάρφωνεν εις την καρδίαν του μελλοθανάτου και ότι άλλοίμονον– εξερρίζωνεν από εκεί, με ορμήν και μανίαν, την ψυχήν του. Του εφάνη, ακόμη, ότι ήκουσε φωνήν από τον ουρανόν να λέγης όπως δεν με ανέπαυσεν η ψυχή αυτή ούτε μίαν ημέραν, έτσι και συ να μη σταματήσης να την σπαράζης, και να την ξερριζώνης με δύναμιν και να την τιμωρής.

Αυτά διηγήθη προς τους παρόντας αδελφούς ο Ευθύμιος και κατόπιν τους συνεβούλευσε. Να είστε πάντοτε προσεκτικοί –τους έλεγενκαι πάντοτε έτοιμοι, σκεπτόμενοι την έξοδον της ψυχής σας έκ τού σώματος. Αυτός εδώ ο Αιμιλιανός άς σας γίνη παράδειγμα. Δι' αυτό ακριβώς ο Θεός τον έπεριφρόνησε τόσον πολύ και επέτρεψε να βασανισθή τόσον ελεεινά έμπρός εις τα μάτια σας από τον φαρμακερόν δαίμονα της φιληδονίας δια να διορθωθήτε σείς και να κερδίσετε ωφέλιμον διδασκαλίαν από την τιμωρίαν του. "Ας παρακαλέσωμεν όμως τον Θεόν να ανακουφίση αυτόν τον άνθρωπος από μίαν τοιαύτην ενέργειας του πειρασμού.

Αμέσως ο Μέγας Ευθύμιος έκαμεν ευχήν διά τον αδελφόν και την ιδίαν στιγμήν ο τόπος έγέμισεν από δυσωδίαν, ώσαν να έκαίετο θειάφι. Μαζί δε με την δυσωδίαν ηκούσθη μία φωνή, που έλεγεν: εγώ είμαι το δαιμόνιον της πορνείας. Μετά από αυτό ο αδελφός έσηκώθη αμέσως φρόνιμος και ήσυχος, πραγματικόν σκεύος εκλογής και αυτός γενόμενος, κατά τον θείον Απόστολον, ύστερα από αυτό, που του συνέβη.

Τέλος ο Μέγας Ευθύμιος έδωσε τας εξής παραγγελίας εις τους αδελφούς. Οποιος από τους αδελφούς αγωνίζεται εναντίον ατόπων λογισμών, ας ασφαλίζεται πάντοτε και ας λαμβάνη συνεχώς συμβουλάς, ας δέχεται διδασκαλίας και παραινέσεις, μήπως εξαπατηθή και νικηθή και έτσι καταντήση, από τον διάβολον, αξιοθρήνητον πτώμα.

Β'. Εν τω βίω του Αγίου Σάββα

ΤΩ. ΜΑΚΑΡΙΩι Σάββα πορευομένω ποτὲ πρὸς τὸν Ἰορδάνην, ἐπαγομένω δὲ καὶ τινὰ τῶν φοιτητῶν, νέον τὴν ἡλικίαν, πλῆθος αὐτοῖς κοσμικῶν ὑπῆντα, παρ' οἷς καὶ νεᾶνις ἦν εὐπρεπὴς τὴν μορφήν, ὄψεσιν ἄφυλακτου παγὶς οὐχ ὑπερβῆναι ραδία. Μετὰ γὰρ τὸ παρελθεῖν ἐκείνους, ὁ Σάββας ἀποπειρώμενος οἷα τοῦ μαθητοῦ, σοὶ δέ, φησι, ποταπὴ ἔδοξεν εἶναι ἡ κόρη; ἐμοὶ γὰρ ἐτερόφθαλμος οὖσα ἐφάνη. “Ο δὲ οὐχί, Πάτερ, ἔφη, ἀλλὰ τοὺς δύο ἔχουσα ἦν. Καὶ ὅς, ἤπατησαι, τέκνον, ἄρα; ἐκκέκοπται γὰρ ἀτεχνὼς ἄτερος τὴ κόρη. Ὁ δὲ μαθητὴς ἀγνοῶν εἶναι πεῖραν σοφοῦ τὴν ἐρώτησιν, τὸ καλῶς ἐκείνω γνωσθεν καλῶς ὑπ' αὐτοῦ γνωσθῆναι ζητοῦντος, οὐχί, ὦ Πάτερ, ἔφη ἀλλὰ καὶ λάμποντας πολὺ αὐτὴ μᾶλλον τοὺς ὀφθαλμοὺς καὶ ἰδεῖν ἥδιστους. Καὶ ὁ Σάββας πόθεν δὲ σοὶ τὸ ἀκριβῶς εἴδεναι περὶ τούτου καὶ ἰσχυρῶς διατείνεσθαι; Ἐγώ, ἔφη, ἐπιμελῶς προσέσχον αὐτὴ καὶ σαφῶς ἔγνων ἀμφοτέρους ἔχειν τοὺς ὀφθαλμούς.

Ἐπεῖ οὖν ἤδη ὁ μαθητὴς ἐντὸς ἀρκύων ἦν, τηνικαύτα ὁ θεῖος Σάββας φανερῶς ἐλέγχων, ποὺ δὲ σοῦ κεῖται, φησί, τὸ παράγγελμα, τὸ μὴ ἐπιστήσης ὄμμα πρὸς αὐτήν, καὶ μὴ συναρπασθῆς σοῖς βλεφάροις; Τοιγαροῦν οὐκέτι μοὶ συνῶν ἔση το ἀπὸ τοῦδε, οὐδὲ τῷ κελλίῳ μου συμπαραμενεῖς, ἕως ἂν ἐθισθήση μὴ οὕτω πλανάσθαι, ἀλλὰ κατὰ χώραν μένειν ὁ ὀφθαλμός.

Οὕτως εἰπῶν, παραπέμπει ἐκεῖνος εὐθὺς εἰς τὸ καστέλλιον" εἶτα χρόνον ἔκανον ἐκεῖ διατρίψαντα καὶ καλῶς παιδαγωγηθέντα καὶ οἷον εἰπεῖν ἀρκοῦσαν ὄφθαλμω τίσαντα δίκην τὴ ἀψεύστω μεταμελεία καὶ τοῖς τῆς καρδίας ἀλγήμασιν, εἴσδεχεται πάλιν αὐτὸν ὁ Μακάριος καὶ τοὺς τοῦ κελλίου συναριθμεῖ.

Ερμηνεία

ΚΑΠΟΤΕ και μακάριος Σάββας επορεύετο προς τον Ιορδάνην, μαζί με κάποιον δόκιμος μοναχόν, νέον κατά την ηλικίαν. Εις τον δρόμον συνήντησαν πλήθος από κοσμικούς μεταξύ αυτών ήτο και μία ωραιοπρόσωπος κόρη, παγίς διά τα μάτια του απροσέκτου, από την οποίαν δεν ήτο εύκολον να διαφύγη κανείς.

Αφού λοιπόν επέρασαν, ο Σάββας, διά να δοκιμάση τον μαθητών του, τον έρωτά:

– Πώς σου εφάνηκεν εκείνη η νέα; νομίζω ότι είχεν ένα μονάχα μάτι.

- Όχι, Πάτερ, -απήντησεν ο δόκιμος- είχε και τα δύο της μάτια.

– Μήπως έχεις κάνει λάθος, παιδί μου; επέμενεν ο Σάββας· διότι κάπως αδέξια είχεν αφαιρεθή το ένα μάτι της κόρης.

Ο δόκιμος όμως, επειδή δεν έκατάλαβεν, ότι η ερώτησις τού σοφού έγινε διά να τον δοκιμάση, και εκείνο, που ο ίδιος έγνώριζε καλά έζητούσε να μάθη από αυτόν, επέμενεν.

-'"Όχι πάτερ μου, του είπεν- αλλά και τα δύο της μάτια ήσαν λαμπερά και πολύ ωραία να τα βλέπης.

Τότε ο Σάββας του απήντησε (με αυστηρότητα). - -Από πού το γνωρίζεις αυτό και τόσον πολύ επιμένεις;

-Εγώ, είπεν, επιμελώς την επρόσεξα και έβεβαιώθηκα, ότι έχει και τα δύο της μάτια.

Έτσι, αφού επαγιδεύθη ο δόκιμος, ήρχισε πλέον φανερά να τον ελέγχη ο θείος Σάββας.

– Πού επέταξες –του λέγει- την παραγγελίαν, να μη στρέψης το βλέμμα σου προς αυτήν (Παροιμ. στ', 25 και θ',18), και να μη αιχμαλωτισθης από τα βλέφαρά σου; Από τώρα λοιπόν και εις το εξης, ποτέ πλέον δεν θα είσαι μαζί μου ούτε θα παραμένης εις το κελλί μου, μέχρις ότου συνηθίσης να μή περιφέρης εδώ και εκεί το βλέμμα σου, αλλά να κρατης ακίνητα τα μάτια σου.

Αφού του είπεν αυτά, τον στέλλει αμέσως εις το φρούριον. Εκεί παρέμεινε πολύν χρόνον και διεπαιδαγωγήθη καλά και ούτως ειπείν, με την πραγματικήν μετάνοιαν και τους πόνους της καρδίας, ετιμωρήθη αρκετά δι' εκείνην την ηδονικής κίνησιν του οφθαλμού του. Δι' αυτό και ο Μακάριος Σάββας τον συγκαταλέγει μαζί με τους άλλους μοναχούς του κελλίου.

Γ'. Εν τω βίω της Αγίας Συγκλητικής

ΕΛΕΓΕΝ ἢ μακαρία Συγκλητικὴ πρὸς τὰς συνειλεγμένας, ὅτι δεῖ ἑκάστην ἡμῶν ἐπιγινώσκουσαν τὸ ἑαυτῆς ἐπάγγελμα μὴ πρὸς τὰ κάτω φέρεσθαι, ἀλλὰ τῶν ὑψηλοτέρων ἀεὶ ἐφίεσθαι. Οὐκ ἀγνοεῖτε γὰρ τὴν ἐν τῷ Εὐαγγελίᾳ παραβολήν, περὶ τῶν

ἑκατὸν καὶ ἑξήκοντα καὶ τριάκοντα. Ἡ μὲν οὖν ἑκατοντάς, τὸ ἡμέτερον ἔστιν ἐπάγγελμα ἢ δὲ ἑξηκοντᾶς, τὸ τῶν ἐγκρατῶν τάγμα ἡ δὲ τριακοντας, τῶν σωφρόγως βιούντων.

Καὶ ἀπὸ μὲν τῶν τριάκοντα ἐπὶ τὰ ἑξήκοντα καλὸν μεταβαίνεις ἀπὸ γὰρ τῶν μικροτέρων ἐπὶ τὰ μείζω καλὸν προκόπτειν" ἀπὸ δὲ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα καταφέρεσθαι οὐκ ἀκίνδυνον ὁ γὰρ ἅπαξ γεύσας ἐπὶ τὰ χείρω, οὐδὲ ἐν τούτους στῆναι δύναται, ἀλλ' ὡς ἐν βυθὸ τῆς ἀπωλείας φέρεται.

Τινὲς γοῦν παρθενίαν ἐπαγγειλάμεναι καὶ ἀσθενεία γνώμης τὸν λογισμὸς ὑποσυρόμεναι, προφάσεις ἐν ἁμαρτίαις προφασίζονται, λέγουσαι πρὸς ἑαυτός, ὅτι ἐὰν σωφρόνως, μᾶλλον δὲ ἀφρόνως, βιώσωμεν, κὰν τῶν τριάκοντα ἀξιούμεθα, αὕτη δὲ ἡ γνώμη τοῦ ἐχθροῦ ἔστιν. "Ο γὰρ ἐκ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα ἐρχόμενος, ὑπὸ τοῦ ἐχθροῦ ἐμπαίζεται ὡς γὰρ στρατιώτης φυγὰς καὶ τοῦτο δράσας κρίνεται, καὶ οὐχ ὅτι πρὸς τὴν ἐλάττω στρατείαν κεχώρησε συγγνώμης ἄξιος, ἀλλ' ὅτι τῆς μείζονος ἀπέστη τὴν τιμωρίαν λαμβάνει.

- Δεῖ οὖν ἐκ τῶν ἐλαττόνων ἡμᾶς ἀεὶ ἐπὶ τὰ μείζω προβαίνειν, τῶν μὲν ὀπίσω ἐπιλανθανομένας, κατὰ τὴν Ἀποστόλου διάταξιν, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινομένας, καὶ κατὰ τὸ ἐπάγγελμα ἡμῶν σωφροσύνην τὴν εἰς ἄκρον ἐπιδείκνυσθαι. Καὶ εἰ παρὰ ταῖς κοσμικαῖς δοκεῖ σωφροσύνη πολιτεύεσθαι, ἀλλὰ συμπάρεστιν αὕτη καὶ ἀφροσύνη, διὰ τὸ ταῖς ἄλλαις πάσαις αἰσθήσεσιν αὐταῖς ἁμαρτάνειν. Καὶ γὰρ ὀρῶσιν ἀπρεπῶς, καὶ γελῶσιν ἀτάκτως, ἡμεῖς δὲ καὶ τούτων ἀφέμεναι ἐπαναβῶμεν ταϊς ἀρεταῖς, καὶ ἀπὸ μὲν τῶν ὀφθαλμῶν ἀφέλωμεν τὴν ματαίαν φαντασίας καὶ γὰρ φησιν ἡ γραφή, οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν.

Δεῖ δὲ καὶ τὴν γλῶσσαν κωλύειν τῶν τοιούτων ἁμαρτημάτων ἀθέμιτον γὰρ τῶν ὕμνων ὄργανον αἰσχρὰ προφέρειν ρήματα. Ταῦτα δὲ δυνατὸν φυλάττειν, ἐὰν μὴ ταῖς προόδοις συνεχῶς χρώμεθα διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κὰν μὴ βουλώμεθα, οἱ κλέπται εἴσιασιν. Πῶς γὰρ δύναται οἶκος καπνοῦ ἐκ τῶν ἔξωθεν κινηθέντος καὶ τῶν θυρῶν ἀνοιγεισῶν μὴ μελαίνεσθαι;

Ἀναγκαίως οὖν παραιτείσθαι προσήκει τὰς εἰς τὴν ἀγορά, προελεύσεις. Κὰν γὰρ καὶ τὸ ἀδελφοὺς ἢ γονεῖς γυμνοὺς ἰδεῖν βαρὺ καὶ ἀπρεπὲς ἤγωμεθα, πόσω γὲ μᾶλλον ἐπιβλαβὲς ἡμὶν ἔσται θεωρῆσαι ἐπὶ τῶν πλατειῶν τοὺς ἀπρεπῶς γεγυμνωμένους ἢ καὶ ἀκόλαστα ἀκούσαι ρήματα; "Οπηνίκα δὲ καὶ εἰς τοὺς οἴκους ἑαυτὰς καθείρξωμεν, οὐδὲ τότε τὸ ἀμέριμνον ἔχειν ὀφείλομεν, ἀλλά, κατὰ τὸ γεγραμμένον, ἀδιαλείπτως γρηγορεῖν. "Ὅσον γὰρ ἕαυτας ἀσφαλιζόμεθα πρὸς σωφροσύνην, τοσούτον δριμυτέροις παλαίομεν λογισμούς. "Ὅσον γὰρ προκόπτουσιν οἱ ἀθληται, τοσούτον καὶ μείζοσι συμπλέκονται ἀνταγωνισταῖς.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄ (Η συγκατάθεση στους αισχρούς λογισμούς)

"Ὁρᾷ οὖν πόσον ἀπέπτης, καὶ οὐκ ὀλιγωρήσεις τὰ παρόντα. Τὴν ὑλικῶν καὶ ἔμπρακτον ἐνίκησας πορνείαν; τὴν διὰ τῶν αἰσθήσεών σου προστίθησιν ὁ ἐχθρὸς ὅταν δὲ καὶ ταύτης ἑαυτὸν κωλύσης, ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ἐμφωλεύει, τὸν ἄυλον σοὶ κινῶν πόλεμον πρόσωπα γὰρ εὐπρεπῆ καὶ ὁμιλίας ἀρχαίας ταῖς ἡσυχαζουσαις παρεισφέρει.

Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι γέγραπται γὰρ ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπί σε, τόπον σου μὴ ἀφῆς ἢ πρὸς τὰς φαντασίας συγκατάθεσις, ἐφάμιλλός ἐστι τὴ κοσμικὴ πορνεία δυνατοὶ γάρ, φησι, δυνατὸς ἐτασθήσονται. Μέγας οὖν καὶ πρὸς τὸ πνεῦμα τῆς πορνείας ἀγῶν' τὸ γὰρ ἓν κακοῖς κεφάλαιον τοῦ ἐχθροῦ πρὸς ἀπώλειας ψυχῆς τοῦτο ἐστι, καὶ τοῦτο αἰνιττόμενος καὶ μακάριος Ἰὼβ ἔλεγε περὶ τοῦ διαβόλου" «ὁ ἔχων τὴν δύναμιν ἐπ' ὀμφαλοῦ γαστρός».

Πολλαῖς οὖν καὶ διαφόρους μηχαναΐς τὸ τῆς πορνείας κέντρον κινεῖ ὁ διάβολος κατὰ τῶν φιλοχρίστων ἀνθρώπων" πολλάκις γοῦν καὶ ἀγάπην ἀδελφικὴν μεθώρμισεν ὁ κακοφρων εἰς τὴν οἰκείαν κακίαν. Καὶ γὰρ παρθένους φυγουσας γάμον καὶ φαντασίαν πᾶσαν του βίου διὰ σχέσεως ἀδελφικῆς ὑπεσκέλισε, καὶ Μοναχοὺς δὲ ἔτρωσε πᾶν ὁτιοῦν ἀποφυγόντας πορνικὸν σχῆμα, ἀλλὰ καὶ αὐτοὺς ἤπατησε δι' εὐλαβοῦς ὁμιλίας τοῦ γὰρ ἐχθροῦ ἔργον τὸ ἀμφιαζόμενον τὰ ἀλλότρια τα οἰκεῖα λανθανόντως ἐνεργεῖν δείκνυσι σίτου κόκκον καὶ ὑποτίθησιν αὐτῶ παγίδα.

Οἶμαι δὲ καὶ τὸν Κύριον περὶ τούτου λέγειν, ὅτι ἔρχονται πρὸς ἡμᾶς ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσι λύκοι ἅρπαγες. Γενώμεθα οὖν ἡμεῖς φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιαι ὡς αἳ περιστερὰ καὶ κατὰ μὲν τῶν αὐτοῦ παγίδων πανούργω τὸ λογισμῶ χρησώμεθα πρὸς τὸ μὴ λανθάνειν ἡμᾶς τὰ αὐτοῦ μηχανήματα, τὸ γὰρ ὅμοιον διὰ τοῦ ὁμοίου ταχέως διαγινώσκεται, τὸ δὲ ἀκέραιόν της περιστερᾶς τῷ καθαρῷ τῆς πράξεως ἐπιδειξώμεθα.

Δέον οὖν ἡμᾶς πάντοτε νήφειν καί, κατ' ἔννοιαν λαμβανούσας τοῦ ἐχθροῦ τὴν δεινότητα, φυλάττειν ἑαυτὰς ἀπὸ τῶν ποικίλων αὐτοῦ ἐπιβουλῶν καὶ γὰρ ὡς εἴρηται καὶ διὰ τῶν ἔξωθεν πραγμάτων πολεμεῖ, καὶ διὰ τῶν ἔνδον λογισμῶν προσβάλλει, καὶ πλέον διὰ τῶν ἔνδον.

Χρεία οὖν ἡμὶν πρὸς τὸν πόλεμον τοῦτον ἀσκήσεως ἐπιπόνου, καὶ προσευχῆς ἀδιαλείπτου· ἀλλὰ ταῦτα μὲν γενικῶς ἐπὶ παντὸς λογισμοῦ ὅλεθριου ἀλεξιτήρια πέφυκε δεῖ δὲ καὶ εἴδικαις τισιν ἐννοίαις κατὰ τοῦ λαιμοῦ τούτου χράσθαι καὶ ἀνθυποφέρειν αὐτὰ τὰ ἐναντία. Καὶ εἰ παραστὴ ἓν τὴ διανοία ὄψεως εὐπρεποῦς φαντασία, τῷ λόγῳ ὁ νοῦς τὸ παριστάμενον ἐκεῖνο εἴδωλον τιμωρείτω, καὶ τοὺς μὲν ὀφθαλμοὺς αὐτοῦ ἐκκολαπτέτω, τῶν δὲ παρειῶν τὰς σάρκας ἐξαιρείτω, ὑποτεμνέτω δὲ καὶ τὰ χείλη, καὶ λοιπὸν ὀράτω πῆγμα ὀστέων γυμνῶν δυσειδὲς καὶ κατανοείτω τί ἦν τὸ ποθούμενον.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄ (Η συγκατάθεση στους αισχρούς λογισμούς)

"Ἔτι δὲ ὑπογραφέτω καὶ λογισμὸς καὶ πᾶν του ἔρωμενού το σῶμα, ἕλκῃ βρύον σηπεδονώδη τὲ καὶ βαρυοσμα, καὶ εἰς ἴχωρας καὶ ἕλκῃ διαλυόμενον, οἷα τὰ τῶν νεκρῶν, ἢ καὶ αὐτὴν νεκρὰν τοῖς ἔνδοθεν ὀφθαλμοῖς ὑποτιθέτω.

Οὕτω γὰρ ὁ νοῦς ἀηδίας ὑποπλησθεῖς ἀποσβέσει τὸν πρὸς αὐτὸ πόθον, καὶ ἑαυτὸν τῆς ματαίας πλάνης ἰσχύσει ἀναχαιτίσαι, λογιζόμενος ὅτι τὸ φιλούμενον οὐδὲν ἄλλο ἦν ἢ αἷμα σὺν φλέγματι μεμιγμένον, ὅπερ καὶ ὑφάσματος χρείαν παρέχειν τοῖς ζώους καὶ λοιπὸν τῆς ἡδυπαθείας ἀποστήσεται οὕτω γὰρ καὶ τῶν ὑπογαστρίων ἡδονῶν κρατῆσαι τὶς εὐχερῶς, σὺν Θεῶ, δύναται.

Ερμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητική έλεγε προς τας καλογραίας, που είχαν συγκεντρωθή: Κάθε μία από ημάς πρέπει να γνωρίζη καλά την αποστολήν της, να μη γλυστρά προς τα κάτω, αλλά πάντοτε να επιθυμη τα υψηλότερα. Διότι δεν πρέπει να αγνοήτε την παραβολήν του Ευαγγελίου διά τα εκατόν και τα εξήκοντα και τα τριάκοντα (Ματθ. ιγ', 8). Η εκατοντάς λοιπόν συμβολίζει την ιδικήν μας αποστολήν: η εξηκοντας συμβολίζει το τάγμα αυτών που εγκρατεύονται, και η τριακοντας αυτάς που ζουν με σωφροσύνην.

Είναι λοιπόν καλόν από τα τριάκοντα να πηγαίνωμεν εις τα εξήκοντα διότι είναι καλόν να προχωρή κανείς από τα μικρότερα προς τα μεγαλύτερα, ενώ είναι επικίνδυνος να πίπτη από τα μεγαλύτερα προς τα μικρότερα. Διότι εκείνος, που μίαν φοράν θα στραφή προς τα χειρότερα ούτε εις αυτά θα ήμπορέση να σταθή μέχρις ότου βυθισθή εις τον βυθόν της απωλείας.

Μερικαι λοιπόν, αι οποίαι υπεσχέθησαν παρθενίαν και δεν είναι σταθεραί εις την γνώμην των, παρασύρονται από τον λογισμός των. Έτσι προφασίζονται προφάσεις εν αμαρτίαις και λέγουν προς τον εαυτόν τους· αν ζήσωμεν με σωφροσύνην -μάλλον με αφροσύνην θα έλεγα θα κερδίσωμεν τουλάχιστον τα τριάκοντα. Αυτή όμως η σκέψις προέρχεται από τον εχθρόν. Διότι εκείνος που έρχεται από τα μεγαλύτερα προς τα μικρότερα, εμπαίζεται από τον εχθρόν. Αυτός που θα κάμνη αυτό θεωρείται ως στρατιώτης, ο οποίος έλιποτάκτησεν από την μάχην και όχι ως στρατιώτης που κατετάγη εις στράτευμα ολιγωτέρας πολεμικής σημασίας δι' αυτό δεν συγχωρείται, αλλ' απεναντίας τιμωρείται, διότι εγκατέλειψε την σπουδαιοτέραν στρατιωτικής παράταξιν.

Πρέπει λοιπόν ημείς να προοδεύωμεν συνεχώς από τα μικρότερα προς τα μεγαλύτερα να εγκαταλείπωμεν εις την λήθην τα παρελθόντα, κατά την 'Αποστολικής διάταξιν (Φιλιπ. γ΄, 14), να προχωρώμεν δε συνεχώς προς εκείνα που ευρίσκονται εμπρός μας και, σύμφωνα με την υπόσχεσίν μας να επιδεικνύωμεν την πλέον αυστηράν σωφροσύνην. Και αι κοσμικαι γυναίκες έχουν την γνώμην, ότι πρέπει να ζούν με σωφροσύνην· ωστόσον όμως μαζί με την σωφροσύνην των κοσμικών υπάρχει και αφροσύνη, διότι αυται αμαρτάνουν με όλας τας άλλας αισθήσεις. Και αδιάντροπα κοιτάζουν και με αναίδειαν γελούν: ημείς όμως, αφού αφήσωμεν αυτά, ας αναβωμεν υψηλότερα, προς τις αρετάς και ας αποδιώξωμεν από τα μάτια μας κάθε ανωφελή φαντασίαν· διότι και η Αγία Γραφή λέγει: τα μάτια σου ας βλέπουν σωστά (Παροιμ. δ', 25). Συγχρόνως δε και την γλώσσαν μας πρέπει να εμποδίζωμεν από τα σχετικά αμαρτήματα, διότι δεν είναι σωστόν το όργανον τών ύμνων να προφέρη αισχρους λόγους.

Όλα αυτά θα ήμπορέσωμεν να τα τηρήσωμεν αν δεν εξερχώμεθα συχνά από το Μοναστήρι διότι έστω και αν δεν θέλωμεν, οι κλέπται εισέρχονται εις την ψυχήν μας από τις αισθήσεις. Διότι πώς είναι δυνατόν να μη μαυρίση το σπίτι από καπνόν, που καπνίζει έξω, όταν ανοιχθούν αί θύραι;

Κατ' ανάγκην λοιπόν πρέπει να αποφεύγωμεν να πηγαίνωμεν εις την αγοράν. Διότι αν θεωρούμεν βαρύ και άπρεπον να ίδωμεν γυμνούς τους γονείς και τα αδέλφια μας, πόσον μάλλον θα είναι δι' ημάς βλαβερόν να ίδωμεν εις τας πλατείας αυτούς που έχουν γυμνωθή αδιάντροπα, ή να ακούσωμεν αισχρά λόγια; Και εις τα σπίτια μας ακόμη όταν κλεισθώμεν, ούτε και τότε πρέπει να είμεθα αμέριμνοι, αλλά σύμφωνα με αυτό που γράφει συνεχώς να επαγρυπνώμεν (Α΄ Θεσ. ε', 17). Διότι όσον περισσότερον ασφαλιζόμεθα πρός τήρησιν της σωφροσύνης, τόσον περισσότερον παλαίομεν με περισσότερον ερεθιστικούς λογισμούς. Όσον δηλαδή προκόπτουν οι αθληταί, τόσον και ανταγωνίζονται προς ισχυροτέρους αντιπάλους.

Κοίταξε λοιπόν πόσον απεμακρύνθης και δεν θα αδιαφορήσης διά τα παρόντα. Ένίκησες, παραδείγματος χάριν, την υλικήν και σαρκικήν πορνείαν; ο εχθρός θα σε ενοχλήση (με την νοεράν) δια των αισθήσεων. (Όταν και από αυτήν φυλάξης τον εαυτόν σου, τότε θα φωλιάση εις την διάνοιάν σου και θα κινήση εναντίον σαυ τον αόρατον πόλεμον. Θα παρουσιάζη δηλαδή εις τας ασκητρίας πρόσωπα ωραία και παλαιάς συνναναστροφάς, που έχουν λησμονηθή.

Πρέπει λοιπόν να μη δεχώμεθα καθόλου τα δημιουργήματα αυτά της φαντασίας διότι λέγει η Αγία Γραφή. Αν ξεσηκωθή εναντίον σου πόλεμος του εξουσιάζοντος πνεύματος (του διαβόλου), μη αφήσης τον τόπον σου, δηλαδή μη υποχωρήσης και δεχθής τους λογισμούς. Η συγκατάθεσις εις αυτά τα δημιουργήματα της φαντασίας είναι ίδια με την κοσμικήν πορνείαν· διότι οι δυνατοί, λέγει η Αγία Γραφή, θα κριθούν αυστηρά. Είναι λοιπόν μεγάλος ο αγών εναντίον του δαιμονίου της πορνείας, διότι το σπουδαιότερον κακόν, που διαθέτει ο εχθρός διά την απώλειας ψυχής, είναι αυτό. Αυτό εννοούσεν ο μακάριος Ιώβ, όταν έλεγε δια τον διάβολον: «αυτός που έχει την δύναμιν εις τον ομφαλόν της κοιλίας» (Ιώβ μ', 11).

Με πολλές και διαφόρους μηχανας κινεί ο διάβολος το κέντρον της πορνείας εναντίον των φιλοχρίστων ανθρώπων. Πολλάκις ο κακόβουλος διάβολος μετέβαλε και αυτήν την αδελφικήν αγάπην εις την ιδικήν του κακίαν. Και παρθένους δηλαδή, που ηρνήθησαν τον γάμον και κάθε κοσμικήν επίδειξιν, τας επαγίδευσε με την αδελφικήν σχέσιν και Μοναχούς, οι οποίοι απέφυγαν οποιονδήποτε πορνικόν σχήμα, τους επλήγωσε και τους εξηπάτησε με ευλαβή συνομιλίαν. Διότι έργον του εχθρού είναι να υποκρίνεται τα ξένα και με πονηρόν τρόπον να πράττη τα ιδικά του παρουσιάζει κόκκον σίτου και κάτω από αυτόν τοποθετεί παγίδα.

Νομίζω ότι και ο Κύριος δι' αυτόν λέγει, ότι έρχονται κοντά μας με ενδύματα προβάτου, ενώ από μέσα είναι αρπακτικοί λύκοι (Ματθ. ζ', 15). Ας γίνωμεν λοιπόν συνεταί όπως τα φίδια και ακέραιαι όπως τα περιστέρια (Ματθ. ι΄, 16). Προς απόκρουσιν των παγίδων του άς μεταχειρισθώμεν και ημείς πανούργον λογισμόν, διά να μη μας ξεγελούν τα μηχανήματά του, επειδή το όμοιον αναγνωρίζεται γρήγορα από το όμοιον με την καθαρότητα δε της πράξεώς μας ας επιδείξωμεν το ακέραιον της περιστεράς.

Είναι ανάγκη λοιπόν πάντοτε να προσέχωμεν και αφού έννοήσωμεν καλώς πόσον φοβερός είναι ο εχθρός, που μας πολεμεί, να προφυλασσώμεθα από τας διαφόρους επιβουλάς του· διότι όπως ελέχθη, και με τα εξωτερικά πράγματα μάς πολεμεί και με τους εσωτερικούς λογισμούς μας προσβάλλει και πολύ περισσότερον με τους εσωτερικούς.

Έχομεν λοιπόν ανάγκην, διά να νικήσωμεν εις τον πόλεμον αυτόν, από επίπονον άσκησιν και αδιάλειπτον προσευχήν αυτά έχουν αποδειχθή προστατευτικά προς απόκρουσιν γενικώς παντός βλαβερού λογισμού. Πρέπει όμως να μεταχειριζώμεθα εναντίον του όλεθρίου και καταστρεπτικού αυτού πολέμου και μερικές ειδικές

σκέψεις και να αντιτάσσωμεν έτσι εις αυτόν τα αντίθετα. Αν παρουσιασθή εις την διάνοιάν μας η φανταστική εικόνα ενός ωραίου προσώπου, ας καταστρέφει ο νους με την δύναμιν του λογικού το παρουσιαζόμενον εκείνο είδωλον: ας τού βγάζη τα μάτια, ας αφαιρή τας σάρκας από τας παρειάς, ας του κόπτη τα χείλη και ας βλέπη εις το εξής ένα άσχημον σύμπλεγμα από γυμνά κόκκαλα και τότε ας σκεφθή τί ήτο αυτό που εποθούσεν. Ας σχηματίση ακόμη η σκέψις και ολόκληρον το σώμα του αγαπημένου ως να είναι γεμάτος από βρωμερας πληγάς, που σαπίζουν, να διαλύεται εις δύσοσμα σάπια αίματα, όπως τα σώματα των νεκρών. Ας βλέπη δε ακόμη και τον εαυτόν της κάθε μια από ημάς, με τα μάτια της ψυχής της, νεκρόν.

Έτσι ο νούς θα γεμίση με αηδίαν, θα σβύση τον πόθον προς το πρόσωπον. της σαρκικής επιθυμίας και θα ήμπορέση να αναχαιτίση τον εαυτόν του από την ματαίαν πλάνην· θα σκέπτεται ότι το αγαπώμενον δεν ήτο τίποτε άλλο παρά αίμα ανακατωμένος με την ύλην των σαρκών, που προσφέρεται ως καταφύγιον εις τους σκώληκας. Κατόπιν αυτού ο νούς θα απομακρυνθη από την ηδυπάθειαν και θα ήμπορέση κανείς, με την βοήθειαν του Θεού, να κυριαρχήση εύκολα επί των σαρκικών ηδονών.

Δ'. Του Αγίου Εφραίμ

ΑΔΕΛΦΕ, οἱ ἀρχαῖοι μόσχους καὶ κριοὺς καὶ ἄμνους πάντες εἰς θυσίαν προσέφερον τῷ Κυρίῳ, ἡμεῖς δὲ τὸ ἑαυτῶν σῶμα προσηνέγκαμεν αὐτῷ ἐν Πνεύματι Ἁγίῳ. Μηκέτι οὖν μαμήσωμεν τοῦτο ἢ ρυπώσωμεν ἐν τοῖς ἀπαγορευμένοις, ἵνα μὴ ὡς ἱερόσυλοι θανάτῳ παραδοθῶμεν, ἀλλ' ἅγιον αὐτὸ καὶ ἄρτιον τηρήσωμεν. Πρὸς δὲ τὸ τηρεῖν τὴν ἁγιωσύνην τοῖς μὲν νοῦν ἔχουσι νηφάλιον ἀρκεῖ ἡ του Θεοῦ μνήμη, ἧς αἱ ἀκτῖνες φωτίζουσι τὴν καρδίαν, οἱ δὲ ἔτι ἀσθενῶς διακείμενου πρὸς τὴν τοιαύτην ἔννοιαν, χρήζουσι τινῶν ὑποδειγμάτων πρὸς κατόρθωσιν τῆς τοιαύτης ἀρετῆς.

Λάβωμεν οὖν ὑπόδειγμα τοὺς κατὰ τὸν κόσμον ἀνδραγαθούντας ἐν τοῖς πολέμοις, ὧν τὰς εἰκόνας ἐπὶ τοίχων καὶ σανίδων διαγράφουσι, τὰ κατὰ τὸν πόλεμον πάντα ἀνιστοροῦντες ἐπιμελῶς, καὶ τοὺς μὲν φεύγοντας δεικνύντες, τοὺς δὲ διώκοντας, καὶ τούτους μὲν βάλλοντας ἢ τιτρώσκοντας καὶ δίκην ἄσταχυών τους ἀντιπάλους θερίζοντας, τοὺς δὲ ἐλεεινῶς καταπίπτοντας καὶ ἀκόσμως ψυχορραγοῦντας. Πολλοὶ δὲ καὶ τὰς τῶν ἁγίων ἀθλήσεις ἐν τοῖς εὐκτηρίοις οἴκοις διαγράφουσι πρὸς ζῆλον τῶν νωθροκαρδίων καὶ ἀνάμνησιν τῶν ἀγωνισαμένων καὶ ἀριστευσάντων κατὰ τῶν ἐναντίων.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄ (Η συγκατάθεση στους αισχρούς λογισμούς)

Ὡς οὖν καὶ τοῦ ἡμετέρου πρὸς λεπτὸν ἀναγράφεσθαι μέλλοντος, καὶ ἐν ὑψηλῇ ἀνατίθεσθαι πρὸς ἐπίδειξιν πάντων των οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, σπουδάσωμεν κατορθώσαι τὴν ἀρετήν, ἵνα μηδὲν αἰσχρὸν ἢ ψεκτὸν περὶ ἡμῶν ἐν τῇ εἰκόνᾳ ἀναγραφὴ οὐκ ἔστι γὰρ κρυπτὸν ὁ οὐ γνωσθήσεται καὶ τὰ ἐξῆς.

Αἰσχρότατον οὖν ἀληθῆ ἄνδρα ἐν εἴκονι θεάσασθαι γυναικὶ ὁμιλοῦντα ἀσέμνως, καὶ μάλιστα τὸν δοκούντα σχῆμα εὐλαβείας περικείσθαι. Εἰ δὲ καὶ μετὰ ἄρρενος, κατὰ τὸν εἰπόντα «ἄρρενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι», τὶς ἄρα δυνηθῆ τὴ εἴκονι ἔγατενισαι ; φευκτῶν καὶ μισητὸν ἀληθῶς καὶ τὸ θέαμα. Εἰ οὖν ἐν τῇ τοιαύτῃ ἀτιμία καὶ αἰσχρότητι οὐ βουλόμεθα θεαθῆναι ὑπὸ πάσης της κτίσεως, τοῦτο λογιζώμεθα πάντοτε, ὅτε ὑπὸ αἰσχρῶν λογισμῶν πολεμούμεθα, καὶ πάντως αἰσχυνθέντες καὶ ἀπογαρκήσαντες, τοῦ πάθους περιγενόμεθα, τῆς χάριτος συνεργούσης.

Οὕτως οὖν χρὴ φυλάσσειν τὸ σῶμα ἡμῶν ἁμαρτίας, εἰς τὸ μὴ ψεύσασθαι τὴ δημιουργῶ δῶρον γὰρ προσηγάγομεν ἑαυτοὺς τῷ Κυρίῳ καὶ οὐκέτι ἔχομεν ἐξουσίαν τοῦ ἑαυτῶν σώματος εἴτε γὰρ στενούμεθα εἴτε πολεμούμεθα, οὐ δυνάμεθα ἔτι ἐφέλκεσθαι τὸ δῶρον πρὸς τὸ ἴδιον θέλημα. "Ὥσπερ γὰρ ὁ εὐξάμενος εὐχὴν τῷ Θεῷ καὶ προσενεγκῶν αὐτῶ δῶρον τί καὶ διὰ τοῦ ἱερέως ἐν τῷ ναῷ ἀνατίθησιν, οὐκέτι τοῦ λοιποῦ ἐξουσίας ἔχει ἀφελεῖν καὶ προσήνεγκε, κὰν μεταμεληθῆ ἴσως, εἰ δὲ καὶ λάθρα τοῦτο ὑφελέσθαι ἐπιχειρήσας φωραθῆ, οὐχ ὡς τὸ ἴδιον ἀφελόμενος ἀπολυθήσεται τοῦ ἐγκλήματος, ἀλλ' ὡς ἱερόσυλος κολασθήσεται, οὕτω καὶ οἱ τῷ Θεῷ ἀφιερώσαντες ἑαυτοὺς οὐκέτι τοῦ ἰδίου ἐξουσιάζουσι σώματος.

Εἰ δὲ καὶ ἔτσι ὀχλεῖ ἡ ἐπιθυμία, ἐγκύψωμεν εἰς μνημεῖον καὶ ἴδωμεν τὰ τῆς φύσεως ἡμῶν μυστήρια, τὸν ἐπάλληλός των ὀστέων σωρόν, κρανία σαρκῶν γεγυμνωμένα, καὶ τὰ λοιπά των ὀστέων. Ἐκεῖνα δὲ θεασάμενοι ἑαυτοὺς ἐν ἐκείνοις νομίσωμεν θεωρεῖν καὶ λογισώμεθα ποὺ τοῦ παρόντος ἄνθους τὸ κάλλος καὶ ἥ της παρειᾶς εὔχροια καὶ ἡ λοιπὴ εὐμορφία, καὶ διὰ ταύτης τῆς ἐνθυμήσεως σβεσθήσεται ἡ πύρωσις τῆς σαρκός.

"Ἔστι δὲ καὶ δι' ἑτέρων λογισμῶν πολεμῆσαι καὶ καταγωνίσασθαι τὸ πάθος συνεργεῖα Θεοῦ. Ὁ γὰρ ἐχθρὸς ἐνοχλῶν συνεχῶς διὰ τῆς πυρώσεως τῷ ἀδελφῷ, ὑποτίθησιν αὐτῶ λογισμοὺς τοιούτους καὶ λέγει ἕως τίνος ὑποφέρεις τὸν κόπον καὶ τὴν ὄχλησιν τοῦ πάθους; τέλεσόν σου ἅπαξ τὴν ἐπιθυμίαν, ἵνα μηκέτι πολεμηθῆς καὶ πάλιν μετανοεῖς οὐδὲν γὰρ ἔστι τὸ πρᾶγμα μιᾶς ὥρας, καὶ εὐθὺς παρῆλθε φιλάνθρωπος δὲ καὶ συμπαθὴς καὶ Θεός, καὶ πάλιν σὲ μετανοοῦντα προσδέξεται. Ὁ δὲ ἀδελφὸς δι' ἀντιρρήσεως τοιαύτης ἀνατρέψει αὐτὸν λέγων. *Ὢ ἐχθρέ του γένους ἡμῶν καὶ τῆς σωτηρίας πολέμιες ὑποβάλλεις μοὶ ἕως τίνος ὑπομενῶ τὸν κόπον; καὶ λέγω σοί, ἕως οὐ ἐπίδη ὁ Κύριος τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἀφήση πάσας τὰς ἁμαρτίας

μου, σοῦ τοῦ ἀντιδίκου μου ὡς τὴν χήραν ἐλευθερώσας μέ. Οὐκ οἶδας δέ, διάβολε, ὅτι ἐὰν ἐθίση θηρίον σαρκοφαγεῖν, πικρότερον εἰς τὸ ἑξῆς πρὸς τὸ πάθος καθίσταται;

Πῶς οὐν ὑποβάλλεις μου λέγων, ὅτι ἐὰν ποιήσης ἅπαξ σου τὴν ἐπιθυμίαν, οὐκέτι ἐνοχληθήση; τὶς δὲ μοὶ καὶ ὑπισχνεῖται, ὅτι ἐὰν φθείρω μου τὴν σάρκα, εὐρήσω καιρὸς μετανοίας καὶ οὐχὶ συνελκυσθῶ ἅμα τοὺς ἐργαζομένους τὴν ἀνομίαν; σκιὰ γὰρ τυγχάνει ὁ βίος ἡμῶν ἐπὶ τῆς γῆς. Τί δὲ καὶ οὐκ ἐν μιᾷ ὥρα ἔσται; ἐὰν πὲρ ἀρῶ μάχαιραν καὶ ἀνακείρω ἐμαυτόν; Μᾶλλον μὲν οὖν διὰ τοῦτο οὐκ ὀφείλω σου ἀκούσαι, ἵνα μὴ ἐν μιᾷ ὥρα ἀπολέσω πλοῦτον αἰώνιον, καὶ ἃ συνήξα διὰ τῶν τοσούτων χρόνων καὶ καμάτων τὰς ἀρετᾶς ἐργαζόμενος ἐν βραχεῖᾳ ροπὴ σκορπίσας, αἰχμάλωτος σοὶ γενήσομαι.

Λέγεις δὲ καὶ τὸ πρᾶγμα εἶναι μικρόν; καὶ ἄκουε, ἔχθρέ της ζωῆς ἡμῶν καὶ ἐπίβουλε, οἵα τιμὴ κεῖται τοὺς τὸ πάθος τοῦτο, καὶ σὺ λέγεις μικρόν, νικήσασι δὶ' εὐσέβειαν καὶ οἵα τιμωρία τοὺς αὐτὴ ἠττηθείσιν ἠτοίμασται. Καὶ ὁ σώφρων Ἰωσὴφ οὐχὶ τὸ πάθος τοῦτο γικήσας ἐν πάσαις ταῖς γενεαῖς ἐπαινεῖται καὶ μεγαλύνεται ἐν οὐρανὸ καὶ ἐπὶ τῆς γῆς, τὸ δὲ τῆς Αἴγυπτιας ὄνειδος ὁμοίως καταγελᾶται ἐν τῷ κόσμῳ παντὶ κηρυσσόμενον; Καὶ ἡ μακαρία δὲ Σωσάννα οὐχὶ παρὰ πάντων ἐγκωμιάζεται ἄχρι τοῦ νῦν καὶ εἰς τοὺς αἰῶνας, ὡς μὴ τὴ ἐπιθυμία ταύτη ἔνδουσα, ἀλλὰ διὰ τὸ τηρῆσαι τὴν σωφροσύνην καὶ θανάτου καταφρονήσασα; Οἱ δὲ Πρεσβύτεροι καὶ Κριται, οἱ ἔδοκουν κυβερνᾶν τὸν λαόν, ἠττηθέντες τούτω τῷ πάθει, λιθοβοληθέντες ἀπέθανον καὶ κατέλιπον ἑαυτοῖς ὄνομα πονηρὸν εἰς τὰς μετὰ ταῦτα γενεᾶς;

Ἀποστήθη οὖν ἀπ' ἐμοῦ, ἐργάτα τῆς ἀνομίας καὶ πολέμιε τῶν ψυχῶν. Κύριος ὁ Θεὸς ὁ δοὺς τοὺς ἀνθρώπους τὸ Ἰνεύμα αὐτοῦ το "Ἅγιον, αὐτὸς ἐπιτιμῆσαι σου καὶ ἀπράκτους θήσοι τὰς σᾶς μηχανὲς καὶ τὰ ἔνεδρα, ὅτι ἐνεδρεύεις ὡς πὲρ λέων καταπιεῖν τὴν ψυχήν μου τὸ γὰρ γλυκύ σου, πικρόν ἐστι καὶ τὸ λεῖόν σου, βόθυνός ἐστι κατάγων εἰς ἀπώλειαν, καὶ τὰ χαρίσματά σου φθορᾶς καὶ θανάτου πεπλήρωνται.

Ὑποβάλλεις μοὶ γὰρ ἀθετῆσαι τὴν τοσαύτην χάριν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου μου, καὶ λυπῆσαι τὸ Πνεῦμα τὸ "Ἅγιον, ἐν ᾧ ἐσφραγίσθην εἰς ἡμέραν ἀπολυτρώσεως, καὶ τὰ μέλη τοῦ Χριστοῦ πόρνης μέλῃ ποιῆσαι ; καὶ τὸν ἁγιασμὸν ἀπολέσαι, οὐ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον καὶ ἀτελευτήτου χαρᾶς καὶ δόξης ἐκπεσεῖν τοῦ Κυρίου μου καὶ κληρονομῆσαι σὺν σοῖ τὸ ἄσβεστον πῦρ, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον, καὶ τὰς λοιπᾶς κολάσεις τὰς αἰωνίους, αἵτινες σὺν σοῖ καὶ τοῖς σοῖς 'Ἀγγέλοις παρὰ Θεοῦ ἡτοιμασθησαν; Ταῦτά μου ποιῆσαι καὶ παθεῖν ἐν βραχεῖ ὑποβάλλεις, καὶ λέγεις μου ὅτι οὐδὲν ἔστι τὸ πρᾶγμα;

Οἶδα μὲν ὅτι ἐὰν ἀκούσω σου, σὺ μὲν ἀπελεύση εὐαγγελιζόμενος τὸ πατρί σου τὸ σατανᾶ τὴν ἐμὴν ἀπώλειας συγχαίρων τῶν ἐμῶ πτώματι, ἐγὼ δὲ ἔμπροσθέν του Πατρός μου τοῦ ἐν οὐρανοὺς αἰσχυνθήσομαι. Ἀλλ' οὖ πεισθήσομαι σοί, διάβολες κρεῖσσον γὰρ

μοὶ ἔστιν ἵνα σὺ ἔνοχλῃς ὡς πὲρ κύων, ἢ ἕνα γελάσης κατ' ἔμου τοῦτον τὸν γέλωτα. «Κύριος γάρ μου στερέωμα καὶ καταφυγὴ καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου καὶ ἐπ' αὐτῶ ἐλπιῶ καὶ τῶν σῶν παγίδων σωθήσομαι». Πρὸς τούτοις, ἀγαπητέ, ἐπίφερε κατ' αὐτοῦ τὸν φόβον τῆς γεέννης καὶ τὴν πικρίαν τῶν κολάσεων, καὶ οὕτω τὸ φόβο τοῦ πυρὸς ἐκείνου τὸ ἐν σοῖ πῦρ μαρανθήσεται.

Εἰ δὲ βούλει, παραστήσω σου καὶ τί βραχὺ ἀπεικόνισμα τῆς ἐν γεέννῃ τιμωρίας, ἵνα διὰ τοῦ μικροῦ τούτου τὴν ἀπέραντον καὶ ἀφόρητον ἐκείνην ὀδύνην ὡς ἐκ στοχασμοῦ καταμάθῃς. Οὐκ εἰσῆλθες εἰς βαλανεῖον ποτέ, καὶ ἐώρακας ἐκεῖ ἄνδρας λελυμένους ἐκ τῆς πυρᾶς καὶ εἰς τὴν γερᾶν βαλλομένους; Ἐν ἐκείνῃ δὲ τὴ φλογι τὴ μελλούση διαδέχεσθαι τοὺς ἁμαρτωλούς, οὔτε νεροφόρος. παράκειται, οὔτε θύρα καὶ ἔκβασις ὑπάρχει, οὔτε φέγγος, οὔτε ἄνεμος ἀναψύχων, οὔτε ἐὰν βοήση τὶς μεγάλη τὴ φωνὴ φλογιζόμενος ἔστιν ὁ βοηθῶν ἢ παρακαλῶν. Γέγραπται γὰρ «ἡ κρίσις ἀνίλεως τῷ μῇ ποιήσαντι ἔλεος».

Οὐχ ἑώρακας δὲ καὶ αὐτὴν τὴν κάμινον τὴν ὑποκαίουσαν τὸ βαλανεῖον, ποῖον φόβον παρέχει τὴ μόνον πλησιάσαντι; Ἐκεῖ δέ, ἀντὶ ξύλου, ἀσεβεῖς κατακαίονται θείω πυρί, καὶ αἱ ἁμαρτίαι αὐτῶν ἐκείνην τὴν φλόγα σφοδροτέρως ἀναπτουσι, καὶ ἀφόρητον αὐτοῖς ἐμποιούσι τὴν κόλασιν. Γέγραπται γάρ' «ὀργή, θυμὸς καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κακὸν κατεργαζομένου καὶ ἁμαρτάνοντος».

Ταῦτα οὖν, ἀδελφέ, ἀναλόγισαι καὶ διαλυθήσεται ἡ ἐπιθυμία τῆς ἡδονῆς ἐκ τῆς διανοίας σου, ὡς διαλύεται κηρὸς ἀπὸ προσώπου πυρός. Φύλαττε δὲ καὶ τοὺς σους ὀφθαλμοὺς καὶ ἀπόστρεφέ του μὴ ἰδεῖν ματαιότητας. Δεινὸς γὰρ ὑπάρχει προδότης ὁ ὀφθαλμὸς καὶ μετέωρος. Διὰ μὲν γὰρ τῶν λοιπῶν αἰσθήσεων καὶ νοῦς προσφάτως τὸν πόλεμον δέχεται, καὶ ἀπελθόντος τοῦ πράγματος ἢ τοῦ ἐναντίου ἐπισυμβαίνοντος, συναπῆλθε καὶ ἀπηλάθη καὶ ὁ ἐξ αὐτοῦ πόλεμος. "Ο δὲ διὰ τῶν ὀφθαλμῶν, καὶ παρόντος τοῦ πράγματος καὶ ἀποντος, δειγῶς πολεμεῖ, μᾶλλον δὲ καὶ πλέον ἀποντος ἢ παρόντος ὀδυνᾶ τὴν ψυχήν, τὴν ἐπιθυμίαν ἀνάπτων.

Οἰὸν τί λέγω" ἤκουσε τὶς ἡδυφωνίας μουσικῶν καὶ παρῆλθεν" εἶτα ἤκουσε φωνῆς πένθους, καὶ ὀδυρμοῦ, καὶ διὰ τοῦ θρήνου ἀπεκρούσθη ἡ ἡδυφωνία τῶν μουσικῶν ὁμοίως ἐγεύσατο μέλιτος, εἶτα καὶ πικροῦ τινὸς εἴδους, καὶ ἔσβεσθη ἡ γλυκύτης τοῦ μέλιτος ὑπὸ τῆς ἐσχάτης πικρότητος. Παραπλησίως δὲ καὶ ἐπὶ τῆς ὀσφρήσεως ὤσφρησατο τὶς εὐωδίας τινός, ἔπειτα καὶ δυσωδίας, καὶ ἀπηλάθη καὶ τῆς εὐωδίας ἡδύτης τὴ ἀηδία τῆς δυσωδίας. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἁφῆς ἤψατο τὶς ὕδατος ψυχροῦ, μετὰ τοῦτο ἤψατο καὶ βράζοντος, καὶ ἡ ζέσις τοῦ θερμοῦ ἤμβλυνε τὴν προτέραν ψυχρότητα.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄ (Η συγκατάθεση στους αισχρούς λογισμούς)

Ὁ δὲ διὰ τοῦ μετεώρου ὀφθαλμοῦ πόλεμος, καὶ παρούσης τῆς ὕλης καὶ ἀπούσης, καταφλέγει τὸν νοῦν τὴ ἐπιθυμία. Οὗ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν ἐνυπνίοις αἰσχροὺς φαντάζει τὴν καρδίαν' οἱ γὰρ δαίμονες, εὑρόντες παρείσδυσιν διὰ τοῦ λογισμοῦ, διαγράφουσι τὸν πειρασμὸν ἐν τῇ διανοίᾳ καὶ ἀσχολοῦντες τὸν νοῦν, εἰς ἡδυπαθείας αὐτὸν καταφέρουσι.

Διὸ γέγραπται· «ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον». Ἐν γὰρ τὴ ἥττη τῶν ὀφθαλμῶν ἀρχὴν λαμβάνει ἡ ἁμαρτία, εἰς ἣν ὁ νοῦς, εἰ μὴ θάττον ἐκνήψη, κατὰ μικρὸν πάντως ἐκκυλισθήσεται, καθὼς καὶ ὁ Κύριος διεμαρτύρετο λέγων" «πᾶς ὁ ἔμβλεψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Ταύτην δὲ τὴν μοιχείαν ἐκριζοι τὸ κάτω ἀεὶ ἔχειν τὸ ὄμμα, ἄνω δὲ τὴν ψυχήν. Βοηθεῖ δὲ τούτω καὶ ἡ ἐγκράτεια ὁ γὰρ κρατήσας φησὶ γαστρός, ἐκράτησε βλέμματος. Φεῦγε λόγους αἰσχρούς, καὶ ἐκφεύξη λογισμοὺς ρυπαρούς.

Ερμηνεία

ΑΔΕΛΦΕ, όλοι οι αρχαίοι προσέφεραν εις τον Θεόν ως θυσίαν μόσχους και κριούς και αμνούς ημείς όμως προσεφέραμεν εις Αυτόν το σώμα μας με την χάριν του Αγίου Πνεύματος. Ας μη το μιάνωμεν λοιπόν ποτέ ή ας μη το λερώσωμεν με τα απαγορευμένα, δια να μη παραδοθωμεν εις θάνατον ως ιερόσυλοι, άλλ' ας το διατηρήσωμεν άγιον και άρτιον. Διά να παραμένωμεν εις την αγιωσύνην είναι αρκετή, δι' εκείνους που έχουν καθαράν διάνοιαν, η συνεχής ενθύμησις του Θεού, της οποίας αι ακτίνες φωτίζουν την καρδίαν εκείνοι όμως, οι οποίοι έχουν ακόμη αδυναμίας, εκτός από αυτήν την ενέργειας του νου, έχουν ανάγκην και από μερικά παραδείγματα διά να κατορθώσουν μίαν τοιαύτην αρετήν.

Ας λάβωμεν λοιπόν ως παράδειγμα τους κοσμικούς, οι οποίοι ανδραγαθούν εις τον πόλεμον τους ζωγραφίζουν επάνω εις τοίχους και σανίδια και εξιστορούν με κάθε λεπτομέρειαν όλα τα πολεμικά των κατορθώματα. Εις την αναπαράστασιν αυτήν παρουσιάζονται οι εχθροί να φεύγουν και αυτοί να τους καταδιώκουν, να τους κτυπούν, να τους πληγώνουν και να τους θερίζουν όπως τα στάχυα να πίπτουν αξιοθρήνητοι νεκροί οι αντίπαλοι και να ξεψυχούν άδοξα. Πολλοί πάλιν ζωγραφίζουν εις τους ναούς τα κατορθώματα και τα μαρτύρια των Αγίων, διά να ενθυμούνται αυτούς οι βραδυκίνητοι ότι ηγωνίσθησαν εναντίον των αντιπάλων και εβραβεύθησαν και έτσι να ξυπνά μέσα των η επιθυμία να τους μιμηθούν.

Επειδή λοιπόν πρόκειται να εξιστορηθή και ο βίος μας λεπτομερώς και να εκτεθή εις υψηλόν μέρος, δια να τον δουν όλα τα ουράνια και επίγεια και καταχθόνια κατά

την ημέραν της Κρίσεως, ας προσέξωμεν, να κατορθώσωμεν την αρετήν, διά να μη αναγραφή εις εκείνην την εικόνα δι' ημάς κανένα αισχρόν αξιοκατάκριτον· διότι δεν υπάρχει τίποτα κρυφόν, το οποίον δεν θα γίνη γνωστόν (Ματθ. ι΄, 26).

Είναι λοιπόν πολύ αισχρόν να ίδωμεν εις εικόνα ένα πραγματικόν άνδρα να συνομιλή άσεμνα με γυναίκα και μάλιστα να είναι και μοναχός. Αν, πάλιν συνομιλη (άσεμνα) με αρσενικόν, σύμφωνα με το νόημα του ρητού «αρσενικοί με αρσενικούς ασχημονούν» (Ρωμ. α', 27), άραγε τότε ποίος θα ήμπορέση να κοιτάξη αυτήν την εικόνα; Και μόνον το θέαμα αυτό είναι πραγματικά αποκρουστικών και μισητόν. Αν λοιπόν δεν θέλωμεν να μας ιδή ολόκληρος ή κτίσις εις μίαν τοιαύτην ατιμίαν και αισχρότητα, αυτό ακριβώς να σκεπτώμεθα πάντοτε, οσάκις πολεμούμεθα από αισχρούς λογισμούς οπωσδήποτε τότε θα συνερχώμεθα από την νάρκης και αισθανόμενοι εντροπήν (δι' αυτούς τους λογισμούς μας) θα νικώμεν το πάθος με την βοήθειαν της Θείας Χάριτος.

Έτσι πρέπει να προφυλάσσωμεν το σώμα μας από την αμαρτίαν και να μη γινώμεθα ψεύσται ενώπιον του Δημιουργού· διότι προσεφέραμεν τους εαυτούς μας ως δώρον εις τον Κύριον και δεν έχομεν πλέον εξουσίαν επάνω εις το σώμα μας. Είτε, δηλαδή, στενοχωρούμεθα, είτε πολεμούμεθα, δεν ήμπορούμεν να αποτραβήξωμεν το δώρον (και να το χρησιμοποιήσωμεν) όπως θέλομεν. Οπως δηλαδή εκείνος, που έταξε κάτι εις τον Θεόν και του έφερε κάποιο δώρον, το αφιερώνει, δια του ιερέως εις τον Ναόν, από εκείνην δε την στιγμής δεν έχει πλέον εξουσίαν να αφαιρέση αυτό που προσέφερεν, έστω και αν μεταμεληθη. Αν συλληφθή να επιχειρη να αφαιρέση κρυφά το δώρον που αφιέρωσεν, δεν θα απαλλαγή διά το έγκλημά του αυτό, με την δικαιολογίαν ότι αφαιρεί ιδικόν του πράγμα, αλλά θα τιμωρηθή ως ιερόσυλος. Έτσι λοιπόν ακριβώς και εκείνοι που έχουν αφιερωθή εις τον Θεόν, δεν εξουσιάζουν πλέον το σώμα των.

Αν όμως, παρ' όλα αυτά, μάς ενοχλή ακόμη η σαρκική επιθυμία, ας σκύψωμεν επάνω εις τον τάφον και ας ίδωμεν τα μυστήρια της φύσεώς μας: τον σκελετόν, τα απογυμνωμένα από τας σάρκας κρανία, και τα υπόλοιπα οστά. Αφού δε τα ίδωμεν, άς θεωρήσωμεν, ότι βλέπομεν εις εκείνα τους εαυτούς μας και τότε ας σκεφθώμεν που επήγε το κάλλος του άνθους της παρούσης ζωής, το ωραίον χρώμα εις το πρόσωπον και η υπόλοιπος ωραιότης. Με αυτήν την σκέψιν θα σβήση η φλόγα της σαρκός.

Και με άλλους λογισμούς είναι δυνατόν να πολεμήσωμεν και να νικήσωμεν αυτό το πάθος με την βοήθειαν του Θεού. Ο εχθρός, ο οποίος ενοχλεί συνεχώς τον αδελφόν με την έξαψιν της σαρκικής επιθυμίας, έμβάλλει εις τον νούν τέτοιους περίπου λογισμούς: Μέχρι πότε – τού λέγει – θα υποφέρης τον κόπον και την ενόχλησιν του πάθους; Ικανοποίησε μίαν μόνον φοράν την επιθυμίαν σου διά να μη πολεμηθής πλέον και κατόπιν μετανοείς. Διότι δεν είναι τίποτε: μιάς ώρας υπόθεσις και έπειτα επέρασε. Ο Θεός δε, επειδή είναι φιλάνθρωπος και συμπαθής, πάλιν θα σε δεχθή, όταν μετανοήσης. Ο αδελφός τότε ας τον ανατρέψη με την εξής αντίρρησιν. Ω έχθρέ του γένους μας – ας του είπη – και πολέμιε της σωτηρίας μας, μου βάζεις εις τον νούν μέχρι πότε θα υπομένω τον κόπον; Σου απαντώ: έως ότου ο Κύριος ίδη με συγκατάβασιν την ταπείνωσίν μου και τον κόπον μου και συγχωρήση τας αμαρτίας μου (Ψαλ. κδ', 18), και με απελευθερώση, όπως την χήραν (Λουκ. ιη', 3– 8) από τον αντίδικόν μου. Δεν γνωρίζεις δέ, διάβολε, ότι αν συνηθίση το θηρίον να τρώγη ανθρώπους[(*)] τότε θα γίνη εκ της συνηθείας αγριώτερον; Πώς λοιπόν φέρεις εις τον νούν μου την σκέψιν ότι αν μίαν φοραν κάμης την επιθυμίαν σου, ποτέ πλέον δεν θα ενοχληθής; Και ποιος θα μου υποσχεθή ότι αν φθείρω το σώμα μου, θα εύρω καιρόν μετανοίας και δεν θα παρασυρθώ εις την κόλασιν μαζί με τους εργαζομένους την ανομίαν; Διότι η ζωή μας επάνω εις την γην είναι μία σκιά. Και τι δεν ήμπορεί να γίνη μέσα εις μίαν ώραν; Αν πάρω μαχαίρι και αυτοκτονήσω;

Δι' αυτό λοιπόν ακριβώς δεν πρέπει να σε ακούσω, δια να μη χάσω, μέσα εις μίαν ώραν, αιώνιον πλούτον και όσα έμάζεψα τόσα χρόνια, με κόπους εργαζόμενος τας αρετάς, να τα σκορπίσω εις μίαν στιγμήν και να γίνω αιχμάλωτός σου. Και λέγεις ότι το πράγμα είναι μικρόν; Μάθε, κακόβουλε εχθρέ της ζωής μας, ποία τιμή επιφυλάσσεται εις εκείνους, οι οποίοι ενίκησαν, με την ευσέβειάν των, αυτό το πάθος, το οποίον συ λέγεις μικρόν και ποια τιμωρία, αντιθέτως, έχει ετοιμασθή δι' αυτούς, που ενικήθησαν από αυτό. Μήπως ο σώφρων Ιωσήφ δεν επαινείται από όλας τας γενεάς και δεν δοξάζεται εις τον ουρανόν και εις την γην, επειδή ενίκησε το πάθος αυτό, ενώ, αντιθέτως, δεν χλευάζεται η Αίγυπτία διά την αισχράν πράξιν της, καθώς κηρύσσεται εις όλον τον κόσμον; Και η τρισευτυχισμένη Σωσάννα δεν εγκωμιάζεται από όλους μέχρι σήμερον και θα εγκωμιάζεται εις τους αιώνας, διότι δεν υπεχώρησεν εις αυτήν την επιθυμίαν, αλλά διετήρησε την σωφροσύνην της και κατεφρόνησε τον

(*) Πράγματι πολλοί επιστήμονες αναφέρουν ότι διάφορα θηρία, ιδίως λέοντες και τίγρεις, όταν άπαξ γευθούν κρέας ανθρώπου, έπειτα το προτιμούν από κάθε άλλο και εγκαθιστάμενα πλησίον κατωκημένων τόπων προσπαθούν πάντοτε να αρπάσουν άνθρωπος να τον καταβροχθίσουν.

θάνατον; Ενώ οι Πρεσβύτεροι και Κριταί, οι οποίοι εκυβερνούσαν τον λαόν, επειδή ενικήθησαν από αυτό το πάθος, εθανατώθησαν με λιθοβολισμόν και άφησαν κακόν όνομα εις τας επομένας γενεάς(*).

Φύγε λοιπόν από κοντά μας, εργάτα της ανομίας, που πολεμείς τας ψυχάς. Κύριος ο Θεός, ο οποίος έδωσεν εις τους ανθρώπους το πνεύμα Του το Αγιον άς σε τιμωρήση και ας αχρηστεύση τας μηχανές και τας παγίδας σου, διότι ενεδρεύεις όπως το κρυμμένο λεοντάρι να καταπίης την ψυχήν μου· διότι εκείνο, που παρουσιάζεις ως γλυκύ, είναι πικρόν και το ίσιωμά σου είναι λάκκος, που οδηγεί εις την απώλειαν και τα χαρίσματά σου είναι γεμάτα από φθοραν και θάνατον.

Φέρεις εις τον νούν μου την σκέψιν να αρνηθώ την τόσον μεγάλην χάριν που έλαβα από τον Κύριόν μου και να λυπήσω το Αγιον Πνεύμα, με το οποίον έσφραγίσθην δια να απολυτρωθώ και να κάμω τα μέλη του Χριστού μέλη πόρνης (Α' Κορ. στ', 15); Με προτρέπεις να χάσω τον αγιασμόν, χωρίς τον οποίον δεν θα ίδη κανείς τον Κύριον (Εβρ. ιβ', 14) και να ξεπέσω από την ατελεύτητον χαραν και δόξαν του Κυρίου μου και να κληρονομήσω μαζί σου το άσβεστον πυρ και τον ακοίμητον σκώληκα και τας υπολοίπους αιωνίους τιμωρίας, που έχουν ετοιμασθή από τον Θεόν δι' εσε και τους υπηρέτας σου (Ματθ. κε΄, 41); Αυτά μου συνιστάς να κάμω και να πάθω εις ελάχιστον χρονικόν διάστημα και μου λέγεις ότι δεν είναι τίποτα αυτό το πράγμα;

Γνωρίζω καλά ότι εάν σε ακούσω, συ θα τρέξης να φέρης εις τον πατέρα σου, τον σατανάν, ως καλήν είδησιν, την ιδικήν μου απώλειαν και θα χαρής μαζί του διά την πτώσιν μου εγώ όμως θα παρουσιασθώ κατεντροπιασμένος εμπρός εις τον επουράνιον Πατέρα μου. Δεν θα με πείσης, διάβολες διότι είναι καλύτερον δι' εμε να με ενοχλης ως σκύλος, παρά να γελάσης εις βάρος μου διά το τοιούτον πάθημά μου. «Ο Κύριός μου είναι στερέωμά μου και καταφύγιόν μου και εκείνος που φροντίζει για την σωτηρίαν μου. Ο Κύριος υπερασπίζει την ζωήν μου και εις αυτόν θα έλπίσω και θα σωθώ από τας παγίδας σου» (Ψαλ. γ΄, 3-- ιζ', 30-- κστ΄, 10', 3).

Εκτός από αυτά, αγαπητέ, φέρε ακόμη εις τον νούν σου τον φόβον της γεέννης και την πικρίαν της κολάσεως και έτσι με τον φόβον εκείνου του πυρός θα μαρανθή μέσα σου το πυρ της πορνείας.

(*) Περί της Σωσάννας και των συκοφαντών αυτής βλέπε υποσημείωσιν της σελίδος 335 του Α' τόμου του «Ευεργετινού».

Αν δε θέλης, θα σου παρουσιάσω και μίαν μικράν εικόνα της τιμωρίας εις την γέενναν, διά να συμπεράνης, από αυτό το παραμικρόν, πόσον απέραντος και ανυπόφορος θα είναι εκείνος ο πόνος. Δεν έτυχε ποτέ να εισέλθης εις λουτρόν και να ίδης εκεί άνδρας, που έχουν παραλύσει από την θερμότητα, με πόσην λαχτάραν τρέχουν να δροσισθούν εις τον λουτήρα με το δροσερόν νερόν; Είς εκείνην όμως την φλόγα, η οποία πρόκειται να υποδεχθή τους αμαρτωλούς, ούτε λουτήρ με δροσερόν γερόν βρίσκεται κοντά, ούτε θύρα εξόδου υπάρχει, ούτε φώς, ούτε δροσερός αήρ, ούτε και εάν φωνάξη κανείς, καθώς θα καίγεται από την φλόγα, με δυνατήν φωνήν, θα ευρεθή κάποιος να τον βοηθήση ή να τον παρηγορήση. Διότι λέγει η Αγία Γραφή: «η κρίσις θα είναι χωρίς έλεος (δι' αυτόν που δεν έδειξεν ευσπλαγχνίαν» (Ιακ. 6', 13).

Δεν επρόσεξες δε και την φωτιάν που καίει κάτω από το λουτρόν, πόσον φοβίζει και εκείνον που μόνον θα την πλησιάση; Εκεί εις την κόλασιν, αντί ξύλων, κατακαίονται από το θεϊκόν πύρ ασεβείς, και αι αμαρτίαι των φουντώνουν περισσότερον εκείνην την φλόγα και τους κάμνουν ανυπόφορον την κόλασιν. Διότι, καθώς λέγει η Αγία Γραφή, «θα εκσπάση οργή, θυμός, και θλίψις δε και στενοχώρια θα πλημμυρίση κάθε ψυχήν, που εξακολουθεί να κάμνη το κακόν και να αμαρτάνη» (Ρωμ. 6', 8-9).

Αυτά λοιπόν, αδελφέ, να σκέπτεσαι και θα διαλυθή από την διάνοιάν σου η επιθυμία της ηδονής, όπως διαλύεται το κερί από την φωτιάν. Προφύλασσε δε και τα μάτια σου και γύριζέ τα αλλού, διά να μη ίδης ματαιότητας. Διότι ο οφθαλμός, ο οποίος επιπόλαια γυροφέρνει το βλέμμα, είναι προδότης. Διότι με τας μεν υπολοίπους αισθήσεις ο νούς πολεμείται μόνον όσον υπάρχει και η αιτία που τον προκαλεί όταν όμως φύγη η αιτία ή μάς συμβή κάτι αντίθετον, τότε, μαζί με την αιτίαν, έφυγε και εξεδιώχθη από τον νούν μας και ο πόλεμος που προεκλήθη από την αιτίαν αυτήν. Ο πόλεμος όμως που προκαλείται από τα μάτια, εξακολουθεί φοβερός και όταν υπάρχη η αιτία και όταν εκλείψη: μάλλον δε και περισσότερον στενοχωρεί την ψυχήν όταν έκλείψη ή αιτία, παρά όταν υπάρχη, διότι ανάπτει τότε η επιθυμία.

Και εξηγούμαι τί εννοώ κάποιος ήκουσε γλυκύφθογγον μουσικήν και έφυγε, κατόπιν δε ήκουσε φωνήν πένθους και οδυρμόν: η γλυκύφθογγος μουσική έξεδιώχθη από τους θρήνους. Επίσης κάποιος εγεύθη μέλι και αμέσως κατόπιν κάτι πικρόν: η γλυκύτης του μέλιτος εξηφανίσθη από την τελευταίαν πικράδα. Το ίδιο συμβαίνει και με την όσφρησιν· έμύρισε κανείς κάποιαν ευωδίαν και κατόπιν κάποιαν δυσωδίαν έφυγεν αμέσως ή ευχαρίστησις της ευωδίας από την αηδίαν της δυσωδίας. Κάτι

ανάλογον συμβαίνει και με την αφήν: ήγγισε κανείς ψυχρών νερών και κατόπιν θερμόν; Η θερμότητα του ζεστού νερού εξουδετέρωσε την προηγουμένην ψυχρότητα.

Ο πόλεμος όμως που προκαλείται από την επιπολαίαν περιπλάνησιν του βλέμματος, και όταν υπάρχη το αντικείμενον της οράσεως και όταν φύγη, καταφλέγει τον νούν με την επιθυμίαν. Όχι δε μόνον αυτό, αλλά και με αισχρά όνειρα εξαπατά την καρδίαν· διότι οι δαίμονες, αφού εύρουν άνοιγμα εις τον λογισμών και εισέλθουν, σχεδιάζουν εις την διάνοιαν τον πειρασμόν, απασχολούν με αυτόν τον νούν και τον παρασύρουν εις φιληδόνους σκέψεις.

Διά τούτο λέγει η Αγία Γραφή: «η διαρκής απασχόλησης με την επιθυμίαν αναστατώνει νούν άκακον» (Σοφ. Σολομ. δ', 12). Οταν δηλαδή νικηθούν οι οφθαλμοί, αρχίζει η αμαρτία, προς την οποίαν οπωσδήποτε θα κατρακυλήση ο νούς, αν δεν συνέλθη γρήγορα, σύμφωνα με την βεβαίωσιν του Κυρίου, «όποιος ίδη γυναίκα, διά να την επιθυμήση, εμοίχευσεν ήδη αυτήν εις την καρδίαν του» (Ματθ. ε΄, 28). Αυτήν την μοιχείαν ξεριζώνει το να έχωμεν συνεχώς γυρισμένον προς τα κάτω το βλέμμα προς τα επάνω δε την ψυχήν. Εις αυτό βοηθεί και η εγκράτεια διότι – λέγει – αυτός, που θα κυριαρχήση της κοιλίας του, εκυριάρχησε και του βλέμματός του. Να αποφεύγης λόγια αισχρά και θα αποφύγης, τότε, και τους ρυπαρούς λογισμούς.

Ε'. Ησαΐου του Αναχωρητού

ΕΑΝ ὑπάρχῃ εἰς πόλιν ἢ εἰς κώμην, οἱ ὀφθαλμοί σου ἔστωσαν βλέποντες κάτω, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου ἐὰν πρὸς ὕδωρ στῆς ἢ καὶ ἀναγκαίας χρείας χάριν καθίσῃς, μὴ καταφρονήσῃς, ἀλλὰ μνήσθητι τοῦ Θεοῦ, ὅτι προσέχει σοί, μέλλων δὲ κοιμηθῆναι, ἔσο περιεζωσμένος τὴν ζώνην σου. "Ἀσκησον δὲ μὴ εἰσενεγκεῖν τὰς χεῖράς σου ἔνδον σου πολλὰ γὰρ πάθη ἔχει τὸ σῶμα, ἅτινα ἐπιτελεῖ ἡ καρδία. Μὴ καταδέξῃ ποτὲ κοιμηθῆναι μετὰ τινὸς εἰς ἐν ψιάθιον, νεώτερος ὤν, εἰμὴ μετὰ τοῦ ἀδελφοῦ σου ἢ τοῦ 'Ἀββᾶ σου, καὶ τοῦτο μετὰ φόβου καὶ μὴ μετὰ καταφρονήσεως.

Μὴ καταφρονήσῃς τοῖς ὀφθαλμοῖς ἐνδυόμενος τὰ μάτια σου, μηδὲ καλὸς ἱμάτιον φορέσῃς νεώτερος ὢν ἕως οὐ φθάσῃς εἰς ἡλικίας ἄνδρος ἴασις γάρ σου ἐστί. Μὴ οἰκήσῃς εἰς τόπον ἐν ᾧ ἥμαρτες εἰς Θεόν. Φύλαξον σεαυτὸν μὴ αἰχμαλωτισθῆναι εἰς & ἥμαρτες, ἵνα μὴ ἀνακαινισθῶσιν ἐν σοῖ. Φύλαξον τοὺς ὀφθαλμούς σου, καὶ ἡ καρδία σου οὐ μὴ βλέψῃ πονηρά. Ὁ ἐπιβλέπων εἶς τιγα ἐν ἡδονῇ, μοιχείαν ἐπιτελεῖ ἐὰν κάλλος σώματος ἕλκῃ τὴν καρδίαν σου, μνήσθητι τῆς δυσωδίας αὐτοῦ καὶ ἀναπαύῃ. Ἐὰν ἡδονὴ γυναικῶν ἥδιστη σοί ἐστι, μνήσθητι τῶν ἀποθανουσῶν ἤδη ποὺ ἀπῆλθον καὶ ἀναπαύει.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄ (Η συγκατάθεση στους αισχρούς λογισμούς)

Πρόσεχε σεαυτὸ ἀκριβῶς, ἵνα ὡς πὲρ ἐγκρατεύη ἀπὸ τῆς πορνείας, οὕτως ἐγκρατεύσῃ καὶ ἀπὸ τῶν ἐπιθυμιῶν τῶν ὀφθαλμῶν, καὶ τῆς ἀκοῆς, καὶ τῆς γλώττης, καὶ τῆς ἁφῆς, ἕνα τους ὀφθαλμούς σου πάντοτε ἔχῃς σεαυτῶ προσέχοντας καὶ τὸ ἔργοχειρώ σου, καὶ μὴ κατανοήσης ἄνθρωπον, εἰ μήπου γνῶς ὅτι χρεία εὐλογός ἐστι. Γυναικὶ δὲ ἢ ἄρρενι εὐπροσώπω τὸ καθόλου μὴ προσχης χωρὶς ἀνάγκης, τὰς δὲ ἀκοᾶς σου οὐ μὴ συγχώρει ἀκούειν ὁμιλίας ἀνωφελῶς, καὶ τὸ στόμα σου δὲ σιωπάτω καὶ μὴ λαλείτω ὅλως μὴ οὔσης ἀνάγκης.

Ερμηνεία

ΕΑΝ ευρίσκεσαι εις πόλιν ή εις χωρίον οι οφθαλμοί σου ας βλέπουν προς τα κάτω, διά να μη ξεσηκώνης πολέμους εντός σου, όταν θα είσαι μόνος εις το κελλί σου. Αν σταθής κάπου να πιής νερόν ή καθίσης διά σοβαράν ανάγκην, να μη χαλαρώσης την προσοχήν σου θυμήσου ότι ο Θεός σε προσέχει. Όταν πρόκειται να κοιμηθής, να είσαι ζωσμένος με την ζώνην σου. Συνήθιζε να μη βάζης τα χέρια σου κατάσαρκα εις το σώμα σου, διότι το σώμα έχει πολλά πάθη, τα οποία εκτελεί η καρδία. Να μη δεχθής ποτέ να κοιμηθης με άλλον σε μίαν ψάθαν, όταν είσαι νέος, παρά μονάχα με τον αδελφόν σου ή τον 'Αββάς σου και αυτό με φόβον και όχι απρόσεκτα.

Μή παραμελήσης να προσέχης τα μάτια σου, όταν θα φορης τα φορέματά σου, ούτε να φορέσης καλόν φόρεμα, όταν θα είσαι ακόμη νέος, μέχρις ότου γίνης ώριμος άνδρας διότι αυτό είναι θεραπεία δια σε.

Μη κατοικήσης είς τόπον, εις τον οποίον ημάρτησες ενώπιον του Θεού.

Προφυλάξου να μη αιχμαλωτισθή η σκέψις σου από εκείνα που ήμάρτησες, διά να μη ανανεωθούν μέσα σου. Πρόσεξε τους οφθαλμούς σου και η καρδία σου ας μη κοιτάξη πονηρά. Εκείνος που βλέπει με φιλήδονον διάθεσιν κάποιον άλλον, διαπράττει μοιχείαν· αν παρασύρη σωματικον κάλλος την καρδίαν σου, ενθυμήσου την δυσωδίαν του και θα εύρης ανάπαυσιν. Εάν σου είναι πολύ ευχάριστος η ηδονή των γυναικών, ενθυμήσου εκείνας αι οποίαι ήδη απέθανον και θα έχης ψυχικήν γαλήνην.

Πρόσεχε αυστηρά τον εαυτόν σου, ώστε όπως εγκρατεύεσαι από την πορνείαν, έτσι να εγκρατευθής και από τας επιθυμίας των οφθαλμών και της ακοής και της γλώσσης και της αφής, διά να είναι αφοσιωμένα τα μάτια σου εις σε και εις το εργόχειρόν σου να μη κοιτάξης προσεκτικα άνθρωπον, εκτός αν αντιληφθής ότι υπάρχει σοβαρά ανάγκη. Ωραίον άνδρα ή γυναίκα μή προσέξης εκτός από ανάγκην. Να μη επιτρέψης

εις τα αυτιά σου να ακούουν ομιλίας ανωφελείς και το στόμα σου ας είναι κλειστός και ας μη ομιλή καθόλου, αν δεν υπάρχη ανάγκη.

ΣΤ'. Του Αββά Κασσιανού

ΤΑ ΜΕΝ ἄλλα πάθη ἐν τῇ ψυχῇ μόνον τὴν μάχην ἔχουσιν, ὁ δὲ τῆς πορνείας πόλεμος διπλοὺς κατέστηκεν ἐν ψυχῇ καὶ σώματι συνιστάμενος, διὸ καὶ διπλῆν τὴν πρὸς αὐτὸν πάλην ἀναδέξασθαι χρή. Οὔδε γὰρ ἱκανὴ ὑπάρχει μόνη ἡ σωματικὴ νηστεία πρὸς κτῆσιν τῆς τελείας σωφροσύνης καὶ ἀληθοῦς ἁγνείας, εἰ μὴ καὶ καρδίας γένηται συντριμμός, καὶ εὐχὴ πρὸς Θεὸν ἐκτενής, καὶ πυκνή των Γραφῶν μελέτη, καὶ κάματος καὶ ἐργόχειρον, ἅπερ δύνανται τὰς ἀτάκτους ὁρμᾷς τῆς ψυχῆς συστέλλειν καὶ ἐκ τῶν αἰσχρῶν φαντασιῶν ἀνακαλείσθαι αὐτήν. Πρὸ γὲ πάντων συμβάλλεται ταπείνωσις ψυχῆς, ἧς χωρὶς οὐδὲ πορνείας, οὐδὲ τῶν ἄλλων παθῶν δυνήσεται τὶς περιγενέσθαι.

Προηγουμένως τοίνυν χρὴ πάση φυλακὴ τηρεῖν τὴν καρδίαν ἀπὸ ρυπαρῶν λογισμῶν" ἐκ γὰρ ταύτης προέρχονται, κατὰ τὴν τοῦ Κυρίου φωνήν, διαλογισμοὶ πονηροί, φόνοι, μοιχείαι, πορνείαι καὶ τὰ λοιπά. Καὶ γὰρ ἡ νηστεία οὐ μόνον πρὸς κακουχίας τοῦ σώματος ἡμὶν προστέτακται, ἀλλὰ καὶ πρὸς νηψιν τοῦ νοός, ἵνα μὴ τὸ πλήθει τῶν βρωμάτων σκοτωθεῖς ἀδυνατήση πρὸς τὴν τῶν λογισμῶν παραφυλακήν.

Χρὴ τοίνυν μὴ μόνον ἓν τὴ σωματικὴ νηστεία τὴν πᾶσαν σχολὴν ἐνδείκνυσθαι, ἀλλὰ καὶ ἐν τῇ προσοχῇ τῶν λογισμῶν καὶ ἐν τῇ πνευματικῇ μελέτη, ὧν χωρὶς ἀδύνατον πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ἁγνείας ἀνελθεῖν.

Σπουδάζωμεν οὖν καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ Κυρίου φωνήν, τὸ ἔνδον του ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἔξω καθαρόν. Καὶ γὰρ ὁ ἰατρὸς τῶν ψυχῶν εἰδῶς τὴν νόσον ἐν τοῖς ἀποκρύφους της ψυχῆς κεκρυμμένην, ἐκεῖ το φάρμακον ἐναπέθετο, ἔνθα καὶ τὰς αἰτίας τῆς νόσου ὑπάρχειν ἐγίνωσκε, φάσκων, «ὁ ἔμβλεψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», οὐ τοσούτον τοὺς περιέργους καὶ πορνικοὺς ὀφθαλμοὺς διορθούμενος, ὅσον τὴν ἔνδον ἐνιδρυμένην ψυχήν, ἥτις τοῖς ἐπ' ἀγαθῶ παρὰ Θεοῦ δοθείσιν ὀφθαλμοῖς κακῶς κέχρηται. Τούτου χάριν καὶ ἡ σοφὴ παροιμία οὐ λέγει «πάση φυλακὴ τήρει σους ὀφθαλμούς», ἀλλὰ «πάση φυλακὴ τήρει στὴν καρδίαν», ἐκείνην μάλιστα ἐπιτιθεῖσα τὴν ἰατρείαν τὴ φυλακῆς, τὴ κεχρημένη εἰς ὁ βούλεται τοῖς ὀφθαλμοῖς.

Τοιγαροῦν αὕτη ἔστω τῆς καθάρσεως ἡμῶν προφυλακή, ἵνα ὅταν ἐν τῇ ἡμετέρᾳ διανοία μνήμη γένηται γυναικός, ἀναδοθεῖσα διὰ τῆς διαβολικῆς κακουργίας, εἰ τύχοι μητρός, ἢ ἀδελφῆς, ἢ ἄλλων τινῶν γυναικὼν εὐλαβῶν, ταχέως ταύτην ἐκ τῆς ἡμετέρας

καρδίας ἐκβάλωμεν, ἵνα μὴ ἐπὶ πολὺ διατριβόντων ἡμῶν ταύτῃ τὴ μνήμη καὶ τῶν ψυχῶν ἀπατεὼν ἐκ τούτων τῶν προσώπων κατακυλίση καὶ κατακρημνίση τὴν διάνοιαν εἰς αἰσχρᾶς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις.

Καθὼς καὶ ἡ παρὰ Θεοῦ δοθεῖσα τῷ πρωτοπλάστῳ ἐντολὴ κελεύει τηρεῖν τὴν κεφαλὴν τοῦ ὄφεως, τουτέστι τῶν βλαβερῶν λογισμῶν τὰς ἀρχάς, δι' ὧν ἔρπειν εἰς τὰς ἡμετέρας ψυχᾶς ἐπιχειρεῖ, ἵνα μὴ τὴ παραδοχὴ τῆς κεφαλῆς, ἥτις ἔστιν ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ λοιπὸν τοῦ ὄφεως σῶμα, τουτέστι τὴν συγκατάθεσιν τῆς ἡδονῆς, παραδεξώμεθα, καὶ ἐκ τούτου λοιπὸν ἐπὶ τὴν ἀθέμιτον πρᾶξιν κατενεχθῆ ἡ διάνοια. Ἀλλὰ προσήκει, κατὰ τὸ γεγραμμένον, εἰς τὰς πρωΐας ἀποκτείνειν πάντας τους ἁμαρτωλούς της γῆς, ἤγουν τὸ φωτὶ τῆς γνώσεως διακρίνειν καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμων, κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν, καὶ ὡς ἔτι νήπιοι εἰσιν οἱ πονηροὶ λογισμοί, οὓς υἱοὺς Βαβυλῶνος ἡ γραφὴ καλεῖ.

Ἐὰν γὰρ διὰ τῆς ἡμετέρας συγκαταθέσεως ἀνδρισθῶσιν, οὐκ ἂν δίχα μεγάλου στεναγμοῦ καὶ καμάτου νικηθήσονται. Χρὴ δὲ γινώσκειν, ὅτι πρὸς τὸν πόλεμον τοῦτον καὶ ἡ ἀγρυπνία μεγάλα δύναται ὡς πὲρ γὰρ ἢ ἁγνεία καὶ ἡ παραφυλακὴ τῆς ἡμέρας τὴν νυκτερινὴν ἁγιωσύνην προπαρασκευάζουσιν, οὕτως ἢ γυκτερινὴ κατὰ Θεὸν ἀγρυπνία τὴν ἡμερινὴν τὴ ψυχὴ προοδοποιεῖ καθαρότητα.

Ερμηνεία

ΤΑ ΜΕΝ άλλα πάθη μόνον μέσα εις την ψυχήν έχουν το κέντρον της μάχης ο πόλεμος όμως της πορνείας είναι διπλός, διακρινόμενος εις ψυχικόν και εις σωματικόν. Δι' αυτό πρέπει να αναλάβωμεν διπλήν πάλην εναντίον του. Δεν είναι, δηλαδή, αρκετή ή σωματική νηστεία διά την απόκτησιν της τελείας σωφροσύνης και της πραγματικής αγνείας, αν δεν συνοδεύεται από συντριβήν καρδίας, από θερμήν προσευχήν προς τον Θεόν, από τακτικής μελέτης της Αγίας Γραφής, από κόπον και εργόχειρον, που ήμπορούν να περιορίζουν τις ατάκτους όρμας της ψυχής και να την αποτρέπουν από τας σαρκικής φαντασίας. Περισσότερον όμως από όλα βοηθεί εις την νίκην η ταπείνωσις της ψυχής, χωρίς την οποίαν δεν θα ήμπορέση κανείς να καταβάλη ούτε την πορνείαν ούτε τα άλλα πάθη.

Πρέπει λοιπόν προηγουμένως να προφυλάσσωμεν, με όλης μας την προσοχήν, την καρδίαν μας από ακαθάρτους λογισμούς, διότι από αυτήν την καρδίαν προέρχονται, όπως λέγει ο Κύριος, πονηραι σκέψεις, φόνοι, μοιχείαι, πορνείαι και όλα τα άλλα (Ματθ. ιε', 19). Η νηστεία δηλαδή μάς έχει ορισθή όχι μόνον διά την κακουχίαν του

σώματος, αλλά και διά την νηφαλιότητα του νου, διά να μη ζαλισθη από το πλήθος των φαγητών και έτσι αδυνατίση ή επαγρύπνησίς του δια τους λογισμούς.

Πρέπει λοιπόν να μη φροντίζωμεν μόνον διά την σωματικήν νηστείαν, αλλά και διά την προσοχήν των λογισμών και διά την πνευματικην μελέτην, χωρίς τα οποία μας είναι αδύνατον να ανέλθωμεν εις το ύψος της πραγματικής αγνείας.

Ας φροντίζωμεν να καθαρίζωμεν πρώτα – όπως λέγει ο Κύριος – το εσωτερικών του ποτηρίου και του πιάτου, διά να είναι καθαρά και η εξωτερική επιφάνεια(*). Διότι και ο ιατρός των ψυχών, επειδή ήξευρεν, ότι η νόσος ευρίσκεται κρυμμένη εις τα βάθη της ψυχής, εκεί ετοποθέτησε και το φάρμακον, όπου εγνώριζεν ότι υπάρχει η αιτία της νόσου· δι' αυτό είπεν: «εκείνος, που θα ίδη γυναίκα, διά να την επιθυμήση, ήδη εμοίχευσεν αυτήν εις την καρδίαν του». Είπεν έτσι όχι τόσον διά να διορθώση τους περιέργους και πορνικούς οφθαλμούς, όσον διά να προστατεύση την ψυχήν, που ευρίσκεται μέσα μας και χρησιμοποιεί κακώς τα μάτια που μας έδωσεν ο Θεός διά αγαθόν σκοπόν. Χάριν αυτού και η σοφή παροιμία δεν λέγει «με όλην σου την δύναμιν πρόσεχε τα μάτια σου», αλλά «με όλην σου την δύναμιν πρόσεχε την καρδίαν σου». (Παροιμ. δ', 23)· εις την καρδίαν, δηλαδή, ανέθεσε την ιατρικής φροντίδα της αυστηρές προσοχής, διότι αυτή χρησιμοποιεί τα μάτια όπως θέλει.

Επομένως αυτή ας είναι η απαρχή της καθάρσεώς μας: αν τύχη, δηλαδή, και έλθη εις την διάνοιάν μας ανάμνησις γυναικός, την οποίαν προεκάλεσε διαβολική κακουργία, της μητρός μας ή της αδελφής μας ή κάποιων άλλων ευλαβών γυναικών, να την εκδιώξωμεν αμέσως από την καρδίαν μας. Πρέπει να μη χρονοτριβήσωμεν πολύ εις αυτήν την ενθύμησιν και εύρη ευκαιρίαν ο πανούργος ληστής των ψυχών μας να κατρακυλήση, από αυτά τα πρόσωπα, την διάνοιάν μας και να την κατακρημνίση εις αισχράς και επιζημίους ενθυμήσεις.

(*) Ενταύθα και συγγραφεύς υπαινίσσεται το κατηγορητήριον του Κυρίου εναντίον των Γραμματέων και Φαρισαίων, οι οποίοι εξωτερικώς προσεπάθουν να φαίγωνται δίκαιοι, ελεήμονες, ευσεβείς και καλοί, ενώ εις την πραγματικότητα ήσαν άδικοι, άρπαγες, μοιχοί και οι υποκριταί (Ματθ. Κεφ. κγ', 13-36). Διά τούτο και ο Κύριος λέγει εις αυτούς: «ουαί υμίν, γραμματείς και Φαρισαίοι υποκριται, ότι καθαρίζετε το έξωθεν του ποτηρίου και της παροψίδος, έσωθεν δε γέμουσιν εξ αρπαγής και αδικίας». Κατά ανάλογον τρόπον συνιστά ενταύθα ο 'Αββάς Κασσιανός να μή νηστεύωμεν μόνον, ώστε εξωτερικώς να φαινόμεθα ευλαβείς, αλλά και να αποφεύγωμεν τους πονηρούς λογισμούς και να ταπεινωθώμεν ενώπιον του Θεού, διότι και αν οι άνθρωποι πλανηθώσιν από την εξωτερικήν εμφάνισιν, δεν είναι όμως δυνατόν να εξαπατήσωμεν και τον παντογνώστης Θεόν.

Η εντολή που εδόθη από τον Θεόν εις τον πρωτόπλαστον παραγγέλλει να προσέχωμεν το κεφάλι του φιδιού (Γενεσ. γ΄, 15): δηλαδή τας αιτίας, αι οποίαι γεννούν τους πονηρούς λογισμούς, διά των οποίων επιχειρεί να εισέλθη εις τας ψυχάς μας. Όταν δεχθώμεν το κεφάλι που είναι η προσβολή του λογισμού, τότε και το υπόλοιπον σώμα του φιδιού θα δεχθώμεν, δηλαδή την συγκατάθεσιν της ηδονής: μετά από αυτό πλέον η διάνοιά μας θα καταπέση εις την αθέμιτον πράξιν. Αρμόζει, σύμφωνα με το ρητόν της Αγίας Γραφής, να φονεύωμεν εις τας πρωΐας όλους τους αμαρτωλούς της γης (Ψαλμ. ρ', 8): να διακρίνωμεν, δηλαδή, με το φώς της γνώσεως τους αμαρτωλούς λογισμούς και να τους εξολοθρεύωμεν από την γην, που είναι η καρδία μας, σύμφωνα με την διδασκαλίας του Κυρίου, όταν οι πονηροι λογισμοί είναι ακόμη όπως τα νήπια, τους οποίους η Αγία Γραφή ονομάζει υιούς Βαβυλώνος (Ψαλμ. ρλστ΄, 8-9) Διότι αν οι πονηροί λογισμοί ανδρωθούν, με την συγκατάθεσίν μας, δεν είναι δυνατόν να νικηθούν χωρίς μεγάλον στεναγμών και κόπον.,

Πρέπει ακόμη να γνωρίζωμεν ότι εις τον πόλεμον αυτόν προσφέρει μεγάλην βοήθειαν εις τον αγωνιζόμενον και η αγρυπνία: όπως δηλαδή η αγνεία και η μεγάλη προσοχή της ημέρας προπαρασκευάζουν την νυκτερινήν αγιωσύνην, έτσι και η νυκτερινή, κατά Θεόν, αγρυπνία προετοιμάζει διά την ψυχήν την καθαρότητα της ημέρας.

Ζ. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ὑπὸ λογισμῶν πορνείας ὄχλουμενος ἤρωτησε τὸν Ἀββᾶν Κύριλλον τὸν Ἀλεξανδρείας λέγων· τί ποιήσω, Πάτερ; Καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων: ἐὰν λογισμοὺς οὐκ ἔχῃς, πρᾶξιν ἔχεις, ἤγουν εἰ οὐκ ἀνθίστασαι τοῖς λογισμούς, δηλονότι πράττεις αὐτούς, καὶ οὐκέτι ὀχλὴ ὑπ' αὐτῶν. "Ο γὰρ ἐκπληρῶν & οἱ λογισμοὶ ὑποτίθενται, πῶς ὑπ' αὐτῶν ὄχληθησεται; "Ἔφη οὖν ὁ γέρων πρὸς τὸν ἀδελφὸν μὴ συνήθειαν ἔχεις εἰς ὁμιλίας γυναικός; καὶ εἶπεν ὁ ἀδελφός του, παλαιοὶ καὶ νέοι ζωγράφοι εἰσὶν οἱ λογισμοί μου, ἤγουν μνήμαι εἰσιν ὄχλουσαί μου καὶ λογισμῶν εἴδωλα. Λέγει αὐτῷ ὁ γέρων νεκροὺς μὴ φοβοῦ, ἀλλὰ τοὺς ζώντας φεῦγε καὶ ἐπεκτείνου μᾶλλον εἷς προσευχὴν νεκροὺς φησι τὰς παλαιᾶς μνήμας, ζωντας δὲ τὰς κατὰ πρόσωπον ὁμιλίας.

2. Ἠρώτησεν. ὁ Ἀββᾶς Ἀνοῦς περὶ τῶν ἀκαθάρτων λογισμῶν, ὧν γεννᾷ ἡ καρδία τοῦ ἀνθρώπου, καὶ ἀπεκρίθη αὐτῷ ὁ Ἀββᾶς Ποιμήν: μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος αὐτήν; καὶ σὺ μὴ δώσης αὐτοῖς χεῖρα καὶ ἀργούσιν.

3. Εἶπεν καὶ αὐτὸς δεῖ ἀγωνίζεσθαι τὸν ἄνθρωπον πρὸς τοὺς δύο λογισμούς, ἤτοι τὸν τῆς πορνείας καὶ τὸν τῆς καταλαλιᾶς, καὶ μήτε καταλαλεῖν τὸ σύνολον, μήτε ἐννοεῖν τὴ καρδία. Ἐὰν γὰρ θέλῃ διακρίναι ὅλως αὐτούς, οὐκ ὠφελεῖται, ἀλλὰ βλάπτεται: ἀλλοτριωθεῖς δὲ ἐξ αὐτῶν, ἔξει ἀνάπαυσιν ἀλλοτριούται δὲ τὶς καταφεύγων εἰς τὸν Θεὸν καὶ αὐτοὺς ἀπωθούμενος.

4. 'Ἀδελφὸς ἤρωτησε τινὰ τῶν Πατέρων λέγων· τί ποιήσω, ὅτι πάντοτε καὶ λογισμός μου εἰς τὴν πορνείαν ἐστι, καὶ οὐκ ἀφίησι μὲ ἀναπαυθῆναι καν μίαν ὥραν καὶ θλίβεταί μου ἡ ψυχή; Καὶ ἀπεκρίθη αὐτῶ ὁ γέρων ὅταν οἱ δαίμονες σπείρωση τοὺς λογισμούς, μὴ συλλαλήσης αὐτοὺς τῶν μὲν γὰρ ἐχθρῶν ἐστι τὸ ὑποβάλλειν πάντοτε, καὶ οὐκ ἀμελούσιν, οὐ μέντοι καὶ βιάζεσθαι δύνανται σὸν δὲ ἔστι δέξασθαι ἢ μὴ δέξασθαι. '"Ἔμαθες τί ἐποίησαν οἱ Μαδιηναίοι; πῶς ἔκαλλωπισαν τὰς θυγατέρας αὐτῶν καὶ ἔστησαν ἐξ ἐναντίας των Ἰσραηλιτῶν; τινὰ δὲ ἐξ αὐτῶν οὐκ ἔβιασαντο, ἀλλ' οἱ θέλοντες ἐπεσον μετ' αὐτῶν, ἄλλοι δὲ ἀγανακτήσαντες μετὰ ἀπειλῆς φόνω ἔχρησαντο. Οὕτως ἐστι καὶ ἐπὶ τῶν λογισμῶν, ὅταν ἄρχην βάλωσι λαλεῖν, μὴ ἀποκριθῆς αὐτούς, ἀλλὰ ἀναστᾶς εὔξαι καὶ βάλε μετάνοιαν λέγων" Ὑ ἰὲ τοῦ Θεοῦ, ἐλέησον μὲ κ αἴ βοήθησόν μου τὴ ἀσθενεῖ ἅ, καὶ ὄψει συντόμως ὡς κηρὸν ἀπὸ προσώπου πυρὸς τηκομένους τοὺς λογισμοὺς καὶ ἐκλείποντας.

5. Εἶπε τὶς τῶν Πατέρων, ὅτι πολυειδές ἐστι τὸ τῆς πορνείας πάθος λέγει γὰρ ὁ Ἀπόστολος, ὅτι «πορνεία ἢ ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν 5μίν, καθὼς πρέπει ἁγίοις». Ἡ πορνεία ἐστὶ τὸ ποιῆσαι εἰς τὸ σῶμα, ἡ δὲ ἀκαθαρσία τὸ ψηλαφᾶν τὸ σῶμα. Ὁ γέλως δὲ καὶ ἡ παρρησία, πολλάκις δὲ ὡς ἀπὸ θεοσεβείας τὶς διαλεγόμενος, ἢ διὰ διόρθωσιν, πληροὶ τὴν ἐπιθυμίαν κινηθέντος τοῦ πάθους. Ἐνίοτε δὲ καὶ ἀπὸ ὀσμῆς ἔματιού του ἀγαπημένου, μὴ τί γὲ ἀφῆς ἢ δμιλίας. Δεῖ οὖν τὸν Μοναχῶν νήφειν ἑκάστης ὥρας, ἵνα μή, χαῦνος ὤν, ὀλισθαίνῃ εἰς τὰ προειρημένα, καὶ οὐ μόνον τὸ ἑαυτοῦ πάθος αὐξάνει καὶ τυραννικώτερον αὐτὸ καὶ δυσκαταγώνιστον ἀπεργάζεται, ἀλλὰ καὶ τὰ μέγιστα ζημιούται καὶ καταβλάπτεται.

6. Εἶπε τὶς τῶν Πατέρων περὶ τῶν λογισμῶν τῆς πορνείας τῶν γεννωμένων ἐν τῇ καρδίᾳ καὶ μὴ συντελουμένων, ἤγουν μὴ διὰ πράξεως πληρουμένων, ὅτι ὡς πὲρ ἐὰν τὶς ἴδῃ ἀμπελῶνα καὶ ἐπιθυμήση ἐν ὅλῃ καρδία αὐτοῦ φαγεῖν σταφυλήν, φοβούμενος δὲ μήποτε πιασθεῖς ὡς κλέπτων ἀποθάνη, οὐκ εἰσέλθη, ἀλλ' ἔξω του φραγμοῦ διερχόμενος κατασκοπεῖ τὸν ἀμπελῶνα καὶ περιβλέπεται, καὶ τοῦτο ποιῶν ἐὰν πιασθῆ, οὐκ ἀποθνῄσκει ὁ τοιοῦτος, οὔτε γὰρ εἰσῆλθε τοῦ φραγμοῦ, οὔτε ἐγεύσατο, πληγᾶς δὲ λαμβάνει ὅτι ὅλως ἐπιθυμήσας εὑρέθη κατάσκοπος, οὕτω καὶ ἐπιθυμῶν μέν, τὴν ἁμαρτίαν δὲ μὴ τελέσας εἰς ἔργον, οὐ θανάτου ἀλλὰ πληγῶν ἄξιος.

7. Ἀδελφὸς ἤρωτησε γέροντα λέγων, ὅτι πολεμοῦμαι ὑπὸ τῆς πορνείας. Καὶ εἶπεν αὐτῷ ὁ γέρων· εἰ μὲν καλόν ἐστι, διατὶ ἀπέστης ἀπ' αὐτοῦ, ἤτοι τῷ κόσμῳ ἀποταξάμενος, εἰ δὲ σαπρόν, διατὶ ἐπιζητεῖς αὐτό;

8. Ἀδελφὸς συνόδευε τινι καὶ ἠττήθησαν οἱ λογισμοὶ αὐτοῦ εἰς πορνείαν, καὶ ἀπελθὼν ἀνήγγειλε τοῖς πατράσι λέγων· τί ποιήσω, ὅτι οὐ παρακαλεῖται ἡ καρδία μου, ἐφ' ὅσον συγκατέβην τὰ πολέμω τοῦ ἐχθροῦ; ὡς ποιήσας γὰρ τὴν ἁμαρτίαν εἰμί. Καὶ εἶπον αὐτῷ οἱ Πατέρες· οὐκ ἔστι τελεία ἁμαρτία καὶ μὲν ἐχθρὸς ἦλθε πειρᾶσαι σε, ὁ δὲ Θεὸς ἔσκεπασέ σε.

Ὁ δὲ ἀδελφὸς ταῦτα ἀκούων οὐκ ἐπείθετο ὑπὸ τῆς λύπης καταβληθεῖς καὶ διηγήσαντο αὐτὸ οἱ Πατέρες λέγοντες, ὅτι δύο ἀδελφοὶ σταλέντες ἀπὸ Κοινοβίου εἰς κώμην τινά, ὥδευον δμού. Ἐπολεμήθη δὲ καὶ εἷς ὑπὸ τοῦ δαίμονος πεντάκις ἁμαρτῆσαι, ὁ δὲ ἀνιστάμενος ἐποίει εὐχήν, καὶ οὐ κατεκυριεύθη ὑπὸ τῶν λογισμῶν, ὅμως οὖν ἤνωχληθη σφοδρῶς. Ὡς οὖν ὑπέστρεψαν πρὸς τὸν Πατέρα αὐτῶν, ἦν τὸ προσωπος τοῦ ἀδελφοῦ ἐκείνου τεταραγμένον, καὶ ἐρωτηθεῖς τί τὸ τῆς ταραχῆς αἴτιον, ἔβαλε μετάνοιαν λέγων: Εὔξαι, πάτερ, ὑπὲρ ἐμοῦ, ὅτι πέπτωκα εἷς πορνείας, καὶ διηγήσατο πῶς ἐπολεμήθη ὑπὸ τῶν λογισμῶν. Ὡς δὲ ὁ γέρων διορατικός, ἐθεώρει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ πέντε στεφάνους, καὶ εἶπεν αὐτω θάρσει, τέκνον οὐ γὰρ ἠττήθης, ἀλλὰ μᾶλλον ἐνίκησας, ἐφ' ὅσον οὐκ ἐτέλεσας τὴν ἁμαρτίαν.

Καὶ σὺ οὖν, ἀδελφέ, οἱ γέροντες εἶπον, θάρσει καὶ μὴ λυπηθῆς, ὅτι οὐκ εἰς ἔργον τὴν ἁμαρτίαν ἤγαγες. Μέγας γὰρ ἀγὼν ἔστιν, ὅταν ἄνθρωπος, εὐκαιρίαν λαβῶν, ἐγκρατεύσηται, καὶ μέγαν μισθὸν ὑπὲρ τούτου λαμβάνει, ὅτι οὐκ ἔστιν ἄλλος πόλεμος τούτου ἰσχυρότερος καὶ ὀξύτερος διὸ καὶ τὸ τούτου περιγενέσθαι δυσχερὲς λίαν καὶ ἔγκοπον. Τί γὰρ νομίζεις περὶ τοῦ μακαρίου Ἰωσήφ, ἀκόπως αὐτὸ τὸ τοιοῦτον κατωρθώθη; ὄχι, ἀλλὰ μετὰ πολλοῦ του καμάτου καὶ τοῦ ἀγῶνος καὶ ὡς ἐπὶ θεάτρου ἦν τὸ γινόμενον, καὶ ὁ Θεὸς αὐτὸς καὶ οἵ των Ἁγίων Ἀγγέλων δήμου τὸν ἀθλητῶν ἄνωθεν ἐθεώρουν ἀγωνιζόμενον.

Ἐμάχετο δὲ πρὸς αὐτὸν ὁ διάβολος μετὰ πάσης της πονηρᾶς αὐτοῦ φάλαγγος, τὴν τὲ ἐπιθυμίας τοῦ ἀνδρὸς ἀναφλέγοντες καὶ τὴν γυναῖκα πλεῖον ἐκθηριούντες. "Ὅτε οὖν ἐνίκησεν ὁ ἄγωνοθετης, πᾶσαι αἱ στρατιαι τῶν Ἀγγέλων φωνὴ μεγάλη ἔδωκαν δόξαν τῷ Θεῷ λέγοντες ἐνίκησε ξένην νίκην καὶ ἀθλητής. Καλὸν οὖν, ἀδελφέ, τὸ μὴ δι' ἐνθυμήσεως πράττειν τὸ κακὸν εἰ δὲ πειράζῃ, ἀγώνισαι μὴ ἠττηθῆναι, ἤγουν μὴ ἐνεργῆσαι.

9. Εἶπε γέρων: ἐὰν πορνεία πολεμὴ τὸ σῶμα σου καὶ τὴν καρδίαν σου, ζήτησον πόθεν σοὶ ἐκινήθη ὁ πόλεμος καὶ διόρθωσαι, εἴτε ἀπὸ ὕπνου πολλοῦ, εἴτε ἀπὸ

ὑψηλοφροσύνης, ἢ ἐὰν ἔχῃς ἑαυτὸν καλλίονα τινὸς ἢ ἔκρινας τινὰ ἁμαρτήσαντα. Χωρὶς γὰρ τούτων, οὐ πολεμεῖται ἄνθρωπος εἷς πορνείαν.

10. Εἶπε πάλιν ἐὰν πέσῃς εἰς πορνείαν καὶ ἔστιν ἐγγύς του τόπου, ἐνῷ οἰκεῖς, τὸ πρόσωπον μεθ' οὗ ἐπεσᾶς, ἀναχώρησον ἐκ τοῦ τόπου ἐκείνου, ἐπεῖ οὐ μετανοεῖς.

11. Ἀδελφὸς ἤρωτησε γέροντα διὰ τὰ πάθη τὰ σωματικά, ἤτοι τοὺς λογισμοὺς τῆς πορνείας. Καὶ ἀπεκρίθη ὁ γέρων· οὑτοι εἰσιν οἱ ἄδοντες τὴ εἰκόνα τοῦ Ναβουχοδονόσορ. Εἰ μὴ γὰρ οἱ αὐληται καὶ κιθαρισται ἐσαμβύκησαν τοὺς ἀνθρώποις, οὐκ ἂν προσεκύνησαν τὴ εἰκόνι. Οὕτω καὶ οἱ δαίμονες, ἄδουσι τὴ ψυχὴ ἐν τοῖς παθήμασιν, ἤγουν τὰ πάθη διεγείροντες, εἰ ἄρα ἀπατήσειεν αὐτήν, καὶ πείσειεν καταπεσεῖν εἰς τὴν κατ᾽ ἐνέργειαν ἁμαρτίαν.

Ερμηνεία

ΕΝΑΣ αδελφός, ο οποίος ήνωχλείτο από λογισμούς πορνείας, ήρώτησε τον Αββάν Κύριλλον τον Αλεξανδρείας[(*)]:

– Τι θα κάμω – τον έρωτά - Πάτερ; Ο Γέρων του απεκρίθη:

– Αν δεν έχης λογισμούς, τότε θα έχης πράξιν δηλαδή αν δεν αντιστέκεσαι εις τους λογισμούς, είναι φανερόν ότι εφαρμόζεις αυτούς εις την πράξιν και δεν ενοχλείσαι πλέον από αυτούς. Διότι εκείνος που εκτελεί όσα του λέγουν οι λογισμοί, πώς θα ενοχληθή από αυτούς; Κατόπιν ηρώτησεν ο Γέρων τον αδελφόν:

– Μήπως συνηθίζεις να συνομιλής με γυναίκα;

(*) Πρόκειται περί Κυρίλλου του Α' Πατριάρχου Αλεξανδρείας (375-444 μ.Χ.), όστις υπήρξεν εις από τους σπουδαιοτέρους Επισκόπους της Ανατολής. Ήτο ανεψιός του Πατριάρχου Θεοφίλου και μετά τον θάνατός του, παρά την αντίδρασιν των 'Αρειανών, εξελέγη Πατριάρχης Αλεξανδρείας. Κατεδίωξε τους Ναβατιανούς και τους Ιουδαίους και βραδύτερον εκήρυξεν αμείλικτον πόλεμος κατά του αιρετικού Νεστορίου, λαβών μέρος εις την Γ' εν Εφέσω Οικουμενική Σύνοδον, η οποία κατεδίκασε την αίρεσιν των Νεστοριανών. '"Έγραψε πολλά θεολογικά συγγράμματα και γενικώς θεωρείται ένας από τους σπουδαιοτέρους Πατέρας της Εκκλησίας.

- Όχι – απήντησεν ο αδελφός – οι λογισμοί μου είναι παλαιοί και νέοι ζωγράφοι, δηλαδή ενθυμήσεις που με ενοχλούν και φαντασίαι, τας οποίας δημιουργούν οι λογισμοί.

Λέγει προς αυτόν ο Γέρων:

– Μη φοβείσαι τους νεκρούς, αλλά να φεύγης από τους ζωντανούς και να αφοσιώνεσαι περισσότερον εις την προσευχήν. Νεκρούς εννοούσεν ο Γέρων τάς παλαιάς ενθυμήσεις, ζωντανούς δε τας συνομιλίας με διάφορα πρόσωπα.

2. Ο Αββάς Ανούς ήρώτησε τον Αββάν Ποιμένα διά τους ακαθάρτους λογισμούς που γεννά η καρδία του ανθρώπου, και εκείνος του απήντησε:

-Μήπως η αξίνη μπορεί να πάρη μόνη της αξίαν, χωρίς εκείνον ο οποίος την χρησιμοποιεί διά να σκάπτη; Έτσι και σύ, μη εκτελής τους λογισμούς και θα αδρανήσουν.

3. Είπε, πάλιν, ο ίδιος ο άνθρωπος πρέπει να αγωνίζεται έναντίον δύο λογισμών, δηλαδή εναντίον της πορνείας και της κακολογίας. Να μη κακολογή καθόλου ούτε να αφήνη την καρδίαν του να ασχολήται με πονηράς σκέψεις, διότι αν θέλω να εξετάση λεπτομερώς τους λογισμούς του, δεν ωφελείται, αλλά βλάπτεται. Αν αποξενωθή από αυτούς τους λογισμούς, θα έχη ανάπαυσιν αποξενώνεται δε κανείς με το να καταφεύγη εις τον Θεόν και να απομακρύνη τους κακούς λογισμούς του από την σκέψιν του.

4. Ένας αδελφός ήρώτησε κάποιον Πατέρα. Τι θα κάνω; – τον έρωτά – που ο λογισμός μου ασχολείται πάντοτε με την πορνείαν και δεν με αφήνει να αναπαυθώ έστω και μίαν ώραν και θλίβεται η ψυχή μου;

Εις αυτά ο Γέρων του απήντησε:

- Όταν οι δαίμονες σπείρουν τους λογισμούς, μη συνομιλήσης μαζί των. Έργον των εχθρών είναι να φέρουν πάντοτε εις τον νούν μας τοιαύτας σκέψεις και δεν το παραμελούν: δεν ήμπορούν όμως και να σε βιάσουν. Ιδικόν σου δε έργον είναι να δεχθής ή να μη δεχθής τους πονηρούς λογισμούς. Έδιάβασες τι έκαναν οι Μαδιηναίοι[(*)]; Πώς εκαλλώπισαν τας θυγατέρας των και εστάθησαν απέναντι των

[(*)] Οι Μαδιηναίοι διά να παρασύρουν εις τον όλεθρον τους Εβραίους, αντί να πολεμήσουν εναντίον των, εκαλλώπισαν τας θυγατέρας των και παρέσυραν πολλούς εξ αυτών εις την σαρκικήν αμαρτίαν και εις την χρήσιν

Ισραηλιτών; Κανένα από αυτούς δεν έβίασαν, αλλ' όσοι ήθελαν έπεσαν με τας θυγατέρας των Μαδιηναίων εις την αμαρτίαν· ενώ άλλοι, από αγανάκτησιν, τας ήπείλησαν και έχρησιμοποίησαν και φόνον ακόμη. Έτσι συμβαίνει και με τους λογισμούς, όταν αρχίσουν να ομιλούν (εις την ψυχήν σου) μη αποκριθής εις αυτούς, αλλά σήκω να προσευχηθής και βάλε μετάνοιαν. Υιέ του Θεού – να λέγης – ελέησέ με και βοήθησέ με εις την ασθένειάν μου, και θα ιδής σύντομα να λειώνουν οι λογισμοί, όπως το κερί και να χάνωνται.

5. Κάποιος από τους Πατέρας είπεν ότι το πάθος της πορνείας είναι πολύμορφον· διότι λέγει ο Απόστολος: «πορνεία, ή ακαθαρσία, ή πλεονεξία, να μη αναφέρεται μεταξύ σας, όπως πρέπει εις τους Αγίους» (Εφεσ. ε', 3). Πορνεία είναι η σωματική αμαρτία, ακαθαρσία δε η ψηλάφησις των μελών του σώματος. Τα γέλια δε και η παρρησία, πολλάκις δε και η εκ θεοσεβείας συνομιλία, ή και η πρός διόρθωσιν γενομένη, όταν κινηθή εντός μας το πάθος, ικανοποιούν την φιλήδονον επιθυμίαν. Μερικές φορές έξυπνά μέσα μας το πάθος και από την οσμήν του φορέματος αγαπημένου προσώπου: πόσο μάλλον από το άγγισμα ή την συναναστροφήν. Πρέπει λοιπόν ο μοναχός ανά πάσαν ώραν να άγρυπνη, διά να μη αποχαυνωθή και γλυστρήση εις αυτά που ανέφερα έτσι όχι μονάχα αυξάνει το πάθος του και το κάνει δυσκολονίκητον, αλλά ζημιώνεται και βλάπτεται πάρα πολύ.

6. Κάποιος άλλος από τους Πατέρας έλεγε διά τούς λογισμούς της πορνείας, οι οποίοι γεννώνται εις την καρδίαν, αλλά δεν ολοκληρώνονται, δηλαδή δεν πραγματοποιούνται, τα εξής: Οι λογισμοί αυτοί είναι ωσάν να ήδη κάποιος ένα αμπέλι και να επιθυμήση με όλην του την καρδίαν να φάγη σταφύλια: επειδή όμως φοβάται μήπως τον πιάσουν ως κλέπτην και τον φονεύσουν, δεν εισέρχεται, αλλά περιφέρεται έξω από τον φράκτης, κατασκοπεύει το αμπέλι και το κοιτάζει από όλα τα μέρη. Ενώ όμως απασχολείται με αυτό, αν τον πιάσουν, δεν θανατώνεται, διότι δεν παρεβίασε τον φράκτης ούτε έβαλεν εις το στόμα του σταφύλια τιμωρείται όμως, διότι κινούμενος από την επιθυμίας του, συνελήφθη να κατασκοπεύη. Έτσι και εκείνος που επιθυμεί την αμαρτίαν, αλλά δεν την πράττει, δεν θανατώνεται μέν, όμως τιμωρείται.

7. Ένας αδελφός είπεν εις κάποιον Γέροντα: Πολεμούμαι από την πορνείαν. Ο Γέρων του απήντησε:

κρεάτων των ειδωλολατρικών θυσιών. Αλλ' η τιμωρία του Θεού υπήρξε σκληρά. (Παράβαλε υποσημείωσιν της σελίδας 317 του ανά χείρας τόμου).

Αν η σαρκική ηδονή είναι καλόν, τότε διατί την απέρριψες και έφυγες από τον κόσμον; Αν πάλιν είναι άσχημον, τότε διατί την επιζητείς;

8. Ένας αδελφός συνεπορεύετο με κάποιον και ενικήθη από λογισμούς πορνείας. Επήγε λοιπόν αμέσως και το έξωμολογήθη εις τους Πατέρας:

– Τι να κάνω; Η καρδία μου δεν ησυχάζει, εφ' όσον έδειξα συγκατάβασιν εις τον πόλεμον του εχθρού. Είναι ώς να έχω διαπράξει την αμαρτίαν.

Οι Πατέρες του απήντησαν:

- Η αμαρτία δεν είναι τελειωμένη: ο εχθρός ήλθε να σε παρασύρη εις την αμαρτίαν, ο Θεός όμως σε εσκέπασεν.

Ο αδελφός όμως δεν επείθετο με αυτά που ήκουε, αλλά κατεβάλλετο από την λύπην. Οι Πατέρες τότε του διηγήθησαν την εξής ιστορίαν. Δύο αδελφοί – του είπαν - εστάλησαν από το κοινόβιον εις ένα χωρίον και έβάδιζαν μαζί. Ο ένας από αυτούς επολεμήθη πέντε φοράς από τον δαίμονα να αμαρτήση: εκείνος όμως εσηκώνετο κάθε φοράν και προσηύχετο: έτσι δεν ενικήθη από τους λογισμούς, ενωχλήθηκεν όμως σφοδρότατα.

Όταν λοιπόν επέστρεψαν εις τον πνευματικόν των Πατέρα, το πρόσωπον εκείνου του αδελφού ήτο ταραγμένον. Εις ερώτησιν δε τού πνευματικού του Πατρός ποία ήτο η αιτία της ταραχής του, εκείνος έβαλε μετάνοιαν και είπε:

- Πάτερ,κάμε προσευχήν δι' εμέ, διότι έπεσα είς πορνείαν· και διηγήθη πώς επολεμήθη από τους λογισμούς.

Εν τω μεταξύ ο Γέρων, επειδή ήτο διορατικός, έβλεπεν επάνω εις την κεφαλήν του πολεμηθέντος αδελφού πέντε στεφάνους και δι' αυτο του είπε:

–Έχε θάρρος, τέκνον, διότι δεν ένικήθης, αλλ' ενίκησες, εφ' όσον δεν ετέλεσες την αμαρτίαν.

Αφού ετελείωσαν, είπον τότε οι Γέροντες απευθυνόμενοι προς τον θλιβόμενος από τους λογισμούς αδελφόν:

- Και συ λοιπόν, αδελφέ, έχε θάρρος και μη λυπάσαι, διότι δεν έπραξες την αμαρτίαν. Είναι βέβαια μεγάλος αγών, όταν ο άνθρωπος, ενώ του παρέχεται η ευκαιρία να αμαρτήση, εγκρατευθή λαμβάνει δε μισθόν από αυτόν τον αγώνα, διότι

δεν υπάρχει άλλος πόλεμος περισσότερον ισχυρός και περισσότερον σκληρός από αυτόν δι' αυτό δύσκολα και με πολύ κόπον θα επιβληθή κανείς.

Τι γνώμην, δηλαδή, έχεις διά τον μακάριον Ιωσήφ; Χωρίς κόπον κατώρθωσε το γνωστόν του κατόρθωμα; Όχι! 'Αλλά μετά πολύν κόπον και αγώνα και ωσάν να συνέβαινεν αυτό που εγίνετο μέσα εις θέατρον, όπου ο ίδιος ο Θεός, τα πλήθη των Αγίων και των Αγγέλων έβλεπον από υψηλά τον αθλητών να αγωνίζεται.

Έπολεμούσεν αυτόν ο διάβολος με όλην του την πονηραν φάλαγγα διά να ανάψουν την επιθυμίαν του ανδρός και να εξαγριώσουν περισσότερον την γυναίκα. Όταν δε ενίκησεν ο αγωνιστής, τότε όλαι αι στρατιαι των Αγγέλων εδόξασαν, με μεγάλην φωνήν, τον Θεόν. Ένίκησεν – έλεγον – καταπληκτικήν νίκην ο αθλητής.

Είναι λοιπόν καλόν, αδελφέ, να μη διαπράξης το κακόν με την φαντασίαν σου: αν όμως πειράζεσαι, αγωνίσου και μη νικηθής, δηλαδή να μη πραγματοποιήσης την αμαρτίαν.

9. Ένας Γέρων είπε: άν πορνεία πολεμή το σώμα σου ή την καρδίαν σου, εξέτασε να μάθης από πού εκινήθη ο πόλεμος εναντίον σου και διορθώσου: είτε από πολύν ύπνον, είτε από υψηλοφροσύνην, ή αν θεωρής τον εαυτόν σου καλύτερος από άλλον, ή αν κατέκρινες κάποιον που ήμάρτησε, διότι χωρίς αυτά ο άνθρωπος δεν πολεμείται από την πορνείαν.

10. Είπε, πάλιν, ο ίδιος αν πέσης είς πορνείαν και το πρόσωπον, με το οποίον ημάρτησες, ευρίσκεται εκεί κοντά που κατοικείς, να φύγης από τον τόπον εκείνον, διότι άλλέως δεν μετανοείς.

11. Ένας αδελφός ήρώτησε κάποιον Γέροντα διά τα σωματικά πάθη, δηλαδή δια τους λογισμούς της πορνείας. Ο Γέρων του απήντησεν οι λογισμοί αυτοί ομοιάζουν με εκείνους που έψαλλαν εμπρός εις την εικόνα του Ναβουχοδονόσορ. Αν οι αυληται και οι κιθαρισται δεν έπαιζαν τα όργανά των διά να επηρεάσουν τους ανθρώπους, δεν θα επροσκυνούσαν την εικόνα[(*)]. Έτσι κάμνουν και οι δαίμονες τραγουδούν εις την ψυχήν

[(*)] Ναβουχοδονόσορ ο βασιλεύς της Βαβυλώνος κατεσκεύασεν εικόνα χρυσήν, - ψους 60 πήχεων και πλάτους έξ, την οποίαν έστησεν εις το πεδίον Δεηρά. Εκάλεσε δε τους υπάτους και τους στρατηγούς και τους τοπάρχας και λοιπούς άρχοντας του βασιλείου του εις τα εγκαίνια της εικόνος. Και όταν έμαζεύθησαν όλοι και κήρυξ εφώναξεν, ότι μόλις ακούσουν να παίζη η σάλπιγξ και η σύριγξ και η κιθάρα και η σαμβύκη και το ψαλτήριον και όλα τα άλλα μουσικά όργανα, να πίπτουν όλοι και να προσκυνούν την εικόνα την χρυσήν. Διότι ο μη προσκυνών θα ερρίπτετο αμέσως εις την κάμινον του πυρός τήν καιομένην. Και πράγματι «όταν ήκουον οι

τας διαφόρους αμαρτωλάς επιθυμίας, ξεσηκώνουν δηλαδή τα πάθη, μήπως την εξαπατήσουν και την πείσουν να διαπράξη πραγματικήν αμαρτίαν.

Η'. Του Αγίου Εφραίμ

ΩΣ ΠΕΡ επί κυνι εμβριθώς αντίλεγε τώ δαίμονι της πορνείας και μη θελήσης όλως συναπαχθήναι τω τοιούτω λογισμώ. Από γάρ σπινθήρος πληθύνεται ανθρακιά, και από ενθυμήσεως κακής πλεονάζουσιν επιθυμίαι κακαί. Αποτίναξον την μνήμην αυτών μάλλον ή δυσωδίαν βορβόρου.

2. Αδελφός τις πολεμούμενος υπό της πορνείας, επιτιμών τώ δαίμονι έλεγεν' ύπαγε εις το σκότος, σατανά αρά γε ουκ οίδας, ει και ανάξιος είμι, μέλη Χριστου βαστάζω; Και ευθύς επαύετο η πύρωσις, όν τρόπον τις φυσήσας σβέσει λύχνον, ώς τε αυτόν θαυμάζειν εν εαυτώ επί τούτω και δοξάζειν τον Κύριον.

3. Εάν εργαζομένω σοι ενοχλήση το πνεύμα της πορνείας, μή οκνησης εκτείναι σου τας χείρας εις προσευχήν ει δε και σφοδροτέρως επιτεθή σου, αγαστάς κλίνον γόνυ προσευχόμενος, και η ευχή της πίστεως αντιπολεμήσει υπέρ σου.

Ερμηνεία

ΩΣΑΝ να έχης εμπρός σου σκύλον, να απευθύνεσαι με σκληρότητα προς τον δαίμονα της πορνείας, και να μη θελήσης ποτέ να παρασυρθής από αυτόν τον λογισμόν. Διότι από μίαν σπίθαν φουντώνει η φωτια και από μίαν κακήν ενθύμησιν πλεονάζουν κακαι επιθυμίαι. Την ενθύμησιν των λογισμών να την αποδιώξης περισσότερον από όσον αποφεύγεις την δυσωδίαν του βορβόρου.

2. Ένας αδελφός που επολεμείτο από πορνείαν, επιτιμούσε τον δαίμονα· ύπαγε εις το σκότος – του έλεγε – σατανά μήπως δεν γνωρίζεις, ότι, αν και είμαι ανάξιος, κρατώ μέλη Χριστού; Και αμέσως έπαυεν η σαρκική επιθυμία, με την ιδίαν ευκολίας που κάποιος σβύνει με φύσημα τον λύχνον, ώστε και ο ίδιος να θαυμάζη από μέσα του και να δοξάζη δι' αυτό τον Κύριον.

λαοί της φωνής της σάλπιγγος, σύριγγός τε και κιθάρας, σαμβύκης τε και ψαλτηρίου και συμφωνίας και παντός γένους μουσικών, πίπτοντες πάντες οι λαοί, φυλαι και γλώσσαι προσεκύνουν την εικόνα τη χρυσή ή έστησε Ναβουχοδονόσορ και βασιλεύς». (Δανιήλ, Κεφ. Γ', 1-7) (Παράβαλε και σημείωσιν α' της σελίδας 192 του ανά χείρας τόμου).

3. Αν σε ενοχλήση το δαιμόνιον της πορνείας την ώραν που εργάζεσαι, μη βαρεθής να υψώσης αμέσως τα χέρια σου διά προσευχήν αν εξακολουθήση να σου επιτίθεται σφοδρότερον, τότε σήκω και προσευχήσου, γονατιστός, και η ευχή την οποίαν με πίστιν θα κάμης, θα πολεμήση προς χάριν σου το δαιμόνιον.

ΥΠΟΘΕΣΙΣ ΚΘ'
(Να αποφεύγουμε τις γυναίκες και όσα μας ερεθίζουν)

Ὅτι δεῖ καὶ τὰς τῶν γυναικῶν ὁμιλίας ἐκτρέπεσθαι, καὶ λοιπῶν των τὴν ἐπιθυμίαν ἐρεθιζόντων.

Οτι πρέπει να αποφεύγωμεν και τας συναναστροφής των γυναικών και όσα άλλα ερεθίζουν την επιθυμίαν.

Α'. Παλλαδίου

ΗΝ ΤΙΣ Μοναχὸς ἐν ἄκρωρειᾳ πόλεως τῆς Λυκῶ, ὄνομα αὐτὰ Ἰωάννης, ὃς ἀπελθούσιν ἡμὶν πρὸς αὐτὸν τοιαύτην διήγησιν διηγήσατο. "Ἔφη γάρ, ὅτι ὑπῆρχε τὶς μοναχὸς ἐν τῇ πλησίον ἐρήμω, ἐν πάσῃ ἀσκήσει διάγων καὶ ἐν ἐργοχείρῳ τὸν ἄρτον αὐτοῦ ποριζόμενος, καὶ ταῖς δεήσεσι παραμένων προέκοπτε ταῖς ἀρεταῖς. Καὶ λοιπὸν ἐν ἑαυτῷ ἀθλίως ἐθάρρησε καὶ τὴ καλὴ αὐτοῦ πολιτεία καὶ δὲ πειράζων ὡς τὸν Ἰὼβ αὐτὸν ἐξητήσατο. Καὶ δὴ φαντασίαν αὐτῶ ἐμποιεῖ πρὸς ἑσπέραν γύναιΟ κὸς εὐμόρφου πλανωμένης κατὰ τὴν ἔρημον, ἥτις εὐρούσα τὴν θύραν ἀνεωγμένην, εἰσεπήδησεν εἰς τὸ σπήλαιον, καὶ προσπεσοῦσα τοῖς γόγασιν αὐτοῦ ἤτει παρ' αὐτοῦ ἀνάπαυσιν, ὡς ἑσπέρας αὐτὴν καταλαβούσης.

Ὁ δὲ ἀφρογεστάτη ἀδιακρισία ἐλεήσας αὐτήν, ἀπρεπῶς ἐδέξατο αὐτὴν ἐν τῷ σπηλαίῳ, καὶ ἐπυνθάνετο αὐτῆς τὴν πλάνησιν. Ἡ δὲ εὐθέως ἀπήγγειλε καὶ λόγους αὐτῶ κολακείας καὶ ἀπάτης ὑπέσπειρε καὶ πολλὴν ὁμιλίαν. Καὶ τὸ ἔντευθες λοιπὸν μειδίαμα καὶ γέλως, καὶ ἀφὴ χειρὸς καὶ γενείου καὶ αὐχένος, καὶ ἥχμαλωτισε τελείως τὸν ἀσκητήν. Ὡς δὲ ἐκινεῖτο τοῖς λογισμούς, ἅτε δὴ τὴν ἐπιθυμίαν ἓν χερσὶν ἔχων, τὴν εὐκαιρίας καὶ τὴν ἄδειαν λογιζόμενος τοῦ ἐκτελεῖν τὴν ἡδονήν, συγκατατίθετο λοιπὸν τὴ διανοία, καὶ συνελθεῖν αὐτὴ ἐπειράτο, ἄφρων ἤδη καὶ θηλυμανὴς ἵππος γινόμενος.

Ἡ δὲ ἐξαίφνης μέγα ἀναβοήσασα ἄφαντος ἐκ τῶν χειρῶν αὐτοῦ γέγονεν ὡς πὲρ σκιὰ τὶς ἀποδραμοῦσα γέλως δὲ ἐν τῷ ἀέρι πολλῶν δαιμόνων ἀκούεται, ἐλεγχόντων" αὐτὸν ὡς τὴ ἀπάτη αὐτῶν ὑποκύψαντα, καὶ μεγάλη τὴ φωνὴ βοώντων πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται σὺ ὑψώθης ἕως τῶν οὐρανῶν, ἐταπεινώθης δὲ ὺν ἕως τῶν ἀβύσσων. Καὶ διανυκτερεύσας ἓν θρήνους καὶ οἰμωγαῖς, ἀπέγνω τῆς ἑαυτοῦ σωτηρίας, ὥσπερ οὐκ

ὤφελε, καὶ εἰς τὸν κόσμον ὑπέστρεψε. Τοῦτο γὰρ ἔστι τοῦ πονηροῦ το ἐπιτήδευμα, ὅταν τινὰ καταπαλαίση, εἰς ἀφροσύνην αὐτὸν καθίστησιν, ἵνα τοῦ λοιποῦ μηκέτι δύναται ἀναστῆναι. "Ὅθεν, ὦ τέκνα, μανθάνομεν, ὅτι οὐ συμβάλλεται ἡμὶν ἢ τῶν γυναικὼν συντυχία, ἀλλὰ καὶ τὰ μέγιστα καταβλάπτει, ἀνεξάλειπτον ἐν ἡμὶν τυποῦσα μνήμην, ἣν ἐκ τῆς ὄψεως καὶ τῆς ὁμιλίας ἐπισπώμεθα.

Ερμηνεία

ΕΝΑΣ Μοναχός, ονομαζόμενος Ιωάννης, που έμενεν εις την βουνοπλαγιάν της Λυκώ, μάς διηγήθη, όταν τον επισκεφθήκαμεν, τα εξής: Εδώ, εις την γειτονικής μας έρημον – είπεν – υπήρχε κάποιος Μοναχός, που εζούσε με αυστηράν άσκησιν, εκέρδιζε το ψωμί του με το έργόχειρόν του, και με τας συνεχείς προσευχές του επρόκοπτεν εις τας άρετάς. Έδωσεν όμως, κακώς βέβαια, εμπιστοσύνην εις τον εαυτόν του και την ενάρετον ζωήν του. Ο διάβολος τότε εζήτησε την άδειαν από τον Θεόν να τον πειράξη, όπως τον Ιώβ. Κάποιαν ημέραν λοιπόν, προς το δειλινόν, τον έκαμε να ίδη, με την φαντασίας του, μίαν ωραίαν γυναίκα, η οποία, τάχα, περιεπλανάτο εις την έρημον. Αυτή λοιπόν η γυναίκα - φάντασμα του διαβόλου – ευρήκεν ανοικτήν την θύραν της σπηλιάς του Μοναχού και εμπήκε μέσα: έπεσεν εις τα γόνατά του και τον έπαρακαλούσε να αναπαυθη κοντά του, επειδή, τάχα, την ευρηκεν ή νύκτα.

Ο Μοναχός, από απερίσκεπτον αδιακρισίαν, την ελυπήθη, την έδέχθη, χωρίς να πρέπει, μέσα εις το σπήλαιόν του και την ερωτούσε να πληροφορηθή πώς περιεπλανήθη. Εκείνη πρόθυμα ήρχισε να του διηγήται με αρκετήν φλυαρίας και να του λέγη λόγια κολακευτικά και απατηλά. Εν συνεχεία ανεπτύχθη οικειότης, μειδιάματα και γέλια και πιάσιμο χεριού και γενειάδας και αυχένος με όλα αυτά ηχμαλώτισε τελείως τον ασκητήν. Έτσι ο Μοναχός εκυριεύθη τελείως από την επιθυμίαν και παρεσύρετο από τους αισχρούς λογισμούς έσκέπτετο πλέον την κατάλληον στιγμήν, διά να εκπληρώση την σαρκικήν επιθυμίαν, διά την οποίαν είχεν ήδη συγκατατεθή εις την διάνοιάν του και επροσπαθούσε να συνευρεθή σαρκικώς μαζί της. Είχε πλέον καταντήσει ως ίππος εξηγριωμένος από την μανίαν του διά την απόλαυσιν του θήλεος.

Τότε εκείνη εκβάλλει έξαφνα μίαν μεγάλην κραυγήν και έγινεν άφαντος από τα χέρια του, όπως εξαφανίζεται η σκιά. Αμέσως ακούονται εις τον αέρα γέλια πολλών δαιμόνων, οι οποίοι τον ειρωνεύοντο διότι υπέκυψεν εις την απάτης των και του εφώναζαν δυνατά όποιος υπερηφανεύεται, θα ταπεινωθή· συ ανυψώθηκες μέχρι του

ουρανού από υπερηφάνειαν, και τώρα εταπεινώθης έως την άβυσον. Μετά από αυτό έμεινεν άγρυπνος όλην την νύκτα με θρήνους και στεναγμούς και το πρωί, απελπισμένος δια την σωτηρίαν του, χωρίς βέβαια να πρέπει, επέστρεψεν εις τον κόσμον.

Διότι αυτό είναι το τέχνασμα του διαβόλου: όταν, δηλαδή, νικήση κάποιον, τον παρασύρει εις απερισκέπτους και αμαρτωλάς πράξεις, διά νά μή ήμστερή πλέον να σηκωθή. Από αυτό λοιπόν, παιδιά μου, μανθάνομεν, ότι δι' ημάς τους Μοναχούς δεν είναι καλή η συναναστροφή με γυναίκας αντιθέτως, μάς ζημιώνει πάρα πολύ, διότι, από τα πρόσωπα και την συνομιλίαν αποτυπώνεται εις την ψυχήν μας ανεξάλειπτος ή ενθύμησίς των.

Β'. Γρηγορίου του Διαλόγου

ΕΝ ΟΣΩι, Πέτρε, τὰ τῶν μειζόνων ἀνδρῶν ἔργα διηγοῦμαι, αἴφνης εἰς μνήμην ἦλθον Ἀνδρέου τοῦ τῆς πόλεως Φούγδης Ἐπισκόπου, τὸ τί εἰς αὐτὸν ἡ θεία ἐλεημοσύνη πεποίηκε. Διόπερ μάλιστα τοὺς ἀναγινώσκουσι φυλάττειν παραινῶ, ἵνα οἵ το σῶμα αὐτῶν τὴ ἐγκρατεῖα καθιεροῦντες κατοικεῖν μετὰ γυναικὼν μὴ τολμῶσι, μήπως πτώματι τοσούτω τῷ λογισμῷ καθυποβληθῶσι παρουσιάζουσα γὰρ μορφὴ τὴν ἐπιθυμίαν ἐρεθίζει, καὶ κακῶς αὐτὴν ἑαυτὴ ὑποκλίνει. Περὶ οὐ γὰρ πράγματος διηγοῦμαι διστᾶσαι οὐκ ἔστι: διότι τοσούτοι μάρτυρες εἰσιν, ὅσοι τὴ αὐτὴ πόλει κατοικούσιν.

Οὗτος τοίνυν καὶ εὐλαβέστατος ἀνὴρ τῆς ἑαυτοῦ ζωὴν πλήρη ἀρετῶν διήγαγε, καὶ δὶ' ἐγκρατείας τὴν τῶν ἔνδον φυλακὴν ἱερῶς διετήρησε. Μονάστριαν δὲ τινὰ ἐκ πολλοῦ μεθ' ἑαυτοῦ συνοικοῦσαν εἶχε, ταύτην δὲ ἐκ τοῦ Ἐπισκοπείου ἢ τῆς ἑαυτοῦ φροντίδος ἀποβαλέσθαι οὐκ ἤθελησεν, ἐν πληροφορίᾳ ὑπάρχων περὶ τῆς ἑαυτοῦ κακείνης ἁγνείας, ἀλλὰ κατοικεῖν αὐτὴν μεθ' ἑαυτοῦ ἐν τῷ Ἐπισκοπείῳ παρεχώρησεν. Ἐκ τούτου οὖν συνέβη τὸν ἀρχέκακον ἐχθρὸν εἴσοδον πειρασμοῦ ἐν τῇ τοῦ Ἐπισκόπου ψυχὴν ἐπιζητῆσαι. "Ἤρξατο οὖν τὸ ταύτης κάλλος τοῖς νοητοῖς αὐτοῦ ὀφθαλμοῖς ὑποτίθεσθαι, καὶ ἐν τῇ κλίνῃ ἀναπεσόντα τα μὴ ἀνήκοντα αὐτὸν διαλογίζεσθαι παρεσκεύασεν.

"Εν μιᾷ οὖν Ἰουδαῖος τὶς ἐκ τῶν τῆς Καμπανίας μερῶν ἐν τῇ Ρώμῃ ἐρχόμεος, ἐν τῇ ὁδῷ ἑσπέρας αὐτὸν καταλαβούσης, μὴ ἔχων ὅπου καταλύσει, ἐν τῷ πλησίον του Ἀπόλλωνος ναῶ, ὃς ἦν αὐτόθι, πρὸς τὸ μεῖναι κατέλυσε. Φοβηθεῖς δὲ τὰ ἐν ἐκείνῳ τῷ τόπῳ γινόμενα μιάσματα, καίτοι πίστιν εἰς τὸν σταυρὸν μὴ ἔχων, ἑαυτὸν τὸ σημεῖο τοῦ σταυροῦ κατασφαλισάμενος, ἀνεκλίθη. Περὶ δὲ τὸ μεσονύκτιον, ἡσυχιας οὔσης, διὰ τὲ τὴν τοῦ τόπου ἐρημίαν καὶ τὴν ἑαυτοῦ μόνωσιν θροηθεῖς, γρηγορῶν ἔκειτο.

Αἴφνης οὖν ἀτενίσας εἶδε τῶν πονηρῶν πνευμάτων ὄχλον πολύν, ὡς ὅτι εἰς ὀψίκιον ἐξουσίας τινὸς προεπορεύοντο. Ὁ δὲ τῶν ἄλλων πρωτεύων, ἐν τῷ τοῦ αὐτοῦ τόπου προεδρίῳ ἐκάθισε, καὶ ἤρξατο τῶν πνευμάτων τῶν παρισταμένων αὐτῷ τὰς πράξεις καὶ τὰ ἐπιτηδεύματα ἀνακρίνειν, ζητῶν μαθεῖν πόσην ἕκαστος κακίαν αὐτῶν καὶ πονηρίαν εἰργάσατο. Ἐν ὅσῳ δὲ πάντες αὐτῷ διηγοῦντο, ἅπερ κατὰ τῶν ἀνθρώπων εἰργάσαντο, εἷς ἐν τῷ μέσῳ εἰσπηδήσας, τὸν πειρασμὸν δν ἐξήγειρεν ἐν τῇ ψυχῇ Ἀνδρέου τοῦ Ἐπισκόπου διὰ τοῦ κάλλους τῆς συνοικούσης αὐτῷ ἐν τῷ Ἐπισκοπεῖο μοναστρίας, καὶ τὴν ταραχὴν τῆς σαρκὸς διεσάφησε.

Τοῦτο οὖν καὶ πονηρὸς δαίμων ἀκούσας καὶ τῶν λοιπῶν πνευμάτων προεστῶς, πάνυ ἤδεως ἐδέξατο, καὶ μέγα κέρδος αὐτὴ προσενεχθῆναι ὥμολογησεν, ὅτι ἁγίου ἀνδρὸς ψυχὴν ἐν σφάλματι ἀπωλείας ἐπέκλινεν. Ὁ δὲ ταῦτα ἀπαγγείλας δαίμων προσθεῖς εἶπε μέχρι τῆς παρελθούσης ἡμέρας οὐ διέλειπον αὐτῷ ἐνοχλῶν καὶ τὸν λογισμὸς αὐτοῦ παρασύρει οὐκ ἠδυνήθην. Χθὲς δὲ πρὸς ἑσπέραν πεποίηκα, ὅπως τῶν ὀπισθίων της Ἱερᾶς παρθένου τῆς οἰκεία χειρὶ ἐμπαθὼς ἄψηται. Τότε ὁ πονηρὸς διάβολος καὶ τοῦ ἀνθρωπίνου γένους. ἀρχαῖος ἐχθρὸς τοῦτον κολακευτικῶς προσκαλεσάμενος, ἔφη" ὅπερ ἐνήρξω σπεῦσον πληρώσαι, ἵνα ἐν τῇ πτώσει αὐτοῦ σὺ μόνος μεταξύ των λοιπῶν το τῆς νίκης βραβεῖον κομίση.

Ταῦτα οὖν καὶ Ἰουδαῖος καὶ ἰδὼν καὶ ἀκούσας, εἰς μεγάλης δειλίαν καὶ στενοχωρίαν περιέπεσεν. Ὁ δὲ τῶν πονηρῶν πνευμάτων πρωτεύων διάβολος τούτοις ἐπέτρεψεν, ἵνα ἐπιζητήσωσι τὶς ἄρα ἐστὶν ὁ ἐν τῷ ναῷ αὐτῶν κατακλιθῆναι τολμήσας; "Ελθόντα οὖν τὰ τῆς πονηρίας πνεύματα καὶ ἐπιμελῶς καταμανθάνοντα, ὡς εἶδον αὐτὸν τὸ σημεῖο τοῦ σταυροῦ ἐσφραγισμένον, θαυμάσαντες εἶπον βαβαί! σκεῦος σαβουρον καὶ ἐσφραγισμένον ὑπάρχει τοῦτο δὲ αὐτῷ μηνυσάντων, πᾶσα ἐκείνη ἥ των πονηρῶν πνευμάτων ταραχὴν ἄφαντος γέγονεν.

Ὁ δὲ Ἰουδαῖος, ὁ ταῦτα ἰδὼν καὶ ἀκούσας, εὐθέως ἀνέστη καὶ πρὸς τὸν Ἐπίσκοπον μετὰ σπουδῆς παρεγένετο. Εὑρῶν οὖν αὐτὸν ἐν τῇ Ἐκκλησίᾳ κατ' ἰδίαν αὐτὸν ἔλαβε, καὶ παρ' αὐτοῦ μαθεῖν ἐπεζήτει ποῖο πειρασμῷ συνέχεται. Ὁ δὲ αἰδούμενος οὐχ ὥμολογει. Τότε ὁ Ἰουδαῖος εἶπεν οὐχὶ τὴ τοῦ Θεοῦ δούλη τὴ δεῖνι αἰσχρὸ πόθω τοὺς ὀφθαλμοὺς ἐπεστήριξας; Ὁ δὲ Ἐπίσκοπος καὶ ἐπὶ τούτοις ἠρνεῖτο. Εἶπεν οὖν ὁ Ἰουδαῖος διατὶ ἀρνεῖ; οὐχὶ μέχρι τούτου κατηνέχθης, ὅτι χθὲς πρὸς ἑσπέραν τοῖς ταύτης ὀπισθίοις ἐμπαθὼς τὴν χεῖρά σου προσήγγισας;

Τότε ὁ Ἐπίσκοπος τοῖς τούτου ρήμασιν ἐλεγχθεῖς, μετὰ πάσης ταπεινοφροσύνης ὠμολόγησεν ὅπερ πρότερον στερρῶς ἤρνειτο. Θέλων δὲ ὁ Ἰουδαῖος τὴν αἰσχύνην τοῦ σφάλματος αὐτοῦ παραμυθήσασθαι, διηγήσατο αὐτὸ πῶς τοῦτο διέγνω, καὶ ὁποία περὶ αὐτοῦ ἐν τῷ συνάθροισμᾳ τῶν πονηρῶν πνευμάτων ἀκήκοε. Ταῦτα δὲ ὁ Ἐπίσκοπος

ἀκούσας καὶ ἐπιγνούς, εὐθέως ἐν τῇ γῇ κατακλιθεῖς, ἑαυτὸν εἰς προσευχὴν δέδωκεν παραχρῆμα τὲ ἐκ τοῦ Ἐπισκοπείου οὐ μόνον τὴν τοῦ Θεοῦ δούλην ἐκείνην, ἀλλὰ καὶ πᾶσαν θήλειαν ἣν πὲρ εἰς τὴν αὐτῆς ὑπουργίας εἶχεν ἀπεβάλετο, τὸν δὲ ναὸς τοῦ Ἀπόλλωνος εὐκτήριόν του μακαρίου Ἀνδρέου τοῦ 'Ἀποστόλου πεποίηκεν.

Ἀπηλλάγη δὲ καὶ τοῦ τῆς σαρκὸς αὐτοῦ πειρασμοῦ, χάριτι Θεοῦ παντελῶς ἐξ αὐτοῦ ἀπελαθέντος, τὸν τὲ Ἰουδαῖον πρὸς τὴν αἰώνιον ζωὴν ἐπεσπάσατο τὰ γὰρ μυστήρια τῆς πίστεως τοῦτον διδάξας, καὶ τὸ τοῦ Βαπτίσματος ὕδατι καθαρίσας, εἰς τὸν τῆς Ἁγίας Ἐκκλησίας κόλπον ἤγαγε. Γέγονεν οὖν ὡς τὲ τὸν Ἑβραῖον τὸν εἰς τὴν ἑτέρου σωτηρίαν τρέχοντα, εἰς τὴν ἰδίαν καταντῆσαι, καὶ ὁ παντοδύναμος Θεὸς ἐκ τούτου ἕτερον εἰς ζωὴν ἀγαθὴν ἤγαγεν, ὅθεν ἄλλον ἓν αὐτὴ φυλαχθῆναι ηὐδόκησε.

Πέτρος

ΤΟΥΤΟ τὸ γεγονὸς πρᾶγμα, ὅπερ ἀκῆκοα, καὶ φόβον παρέχει καὶ ἐλπίδα σωτηρίας.

Γρηγόριος

ΟΥΤΩ καὶ ἁρμόζει, τὴ τοῦ Θεοῦ ἡμᾶς εὐσπλαγχνία πάντοτε πεποιθέναι, καὶ τὴν ἡμετέραν δειλιᾶν ἀσθένειαν ἰδοὺ γὰρ καὶ τὴν τοῦ Παραδείσου κέδρον σαλευθείσαν ἠκούσαμεν, ἀλλ' οὐκ ἐκριζωθείσαν, ὅπως τοὺς ἀσθενέσιν ἡμίν, διὰ μὲν τῆς σαλεύσεως αὐτῆς φόβος γένηται, θάρσος δὲ διὰ τὴν αὐτῆς σταθερότητα ὕστερον.

Ερμηνεία

ΚΑΘΩΣ διηγούμαι, Πέτρε, τα έργα των μεγάλων ανδρών, ήλθεν εις τον νούν μου ο Επίσκοπος της Φούνδης Ανδρέας, το τί δηλαδή έπραξεν εις αυτόν η ευσπλαγχνία του Θεού. Δι' αυτό και με όλην μου την δύναμιν συμβουλεύω εκείνους που αφιέρωσαν το σώμα των εις την εγκράτειαν, να μη τολμούν να συγκατοικούν με γυναίκας, μήπως από τον λογισμόν περιπέσουν εις μίαν τόσον μεγάλην πτώσιν. Διότι η γυναικεία μορφή ερεθίζει την επιθυμίαν και σιγά - σιγά την παρασύρει προς τον εαυτόν της. Διά την υπόθεσιν, που πρόκειται να διηγηθώ, δεν θα διστάσω, διότι υπάρχουν τόσοι μάρτυρες, όσοι κατοικούν εις αυτήν την πόλιν.

Αυτός λοιπόν ο ευλαβέστατος ανήρ εζούσε μίαν ενάρετον ζωήν και με την έγκράτειαν διετήρησεν Ιεραν επαγρύπνησαν μέσα εις την ψυχήν του επί των λογισμών του. Επί πολύν καιρόν συγκατοικούσε με κάποιαν Μοναχήν αυτήν λοιπόν δεν ηθέλησεν ούτε από το Επισκοπείον να την απομακρύνη ούτε να παύση να φροντίζη δι' αυτήν. Με την βεβαιότητα δε και της ιδικής του και της ιδικής της αγνότητος εξακολουθούσε να συγκατοική μαζί της και της επέτρεπε μάλιστα να

παραμένη μαζί του εις το Επισκοπείον. Από αυτήν λοιπόν την συγκατοίκησιν προσεπάθησεν ο αρχέκακος εχθρός να εισέλθη εις την ψυχήν του Επισκόπου, διά να τον πειράξη. Αρχισε λοιπόν να παρουσιάζη το κάλλος της Μοναχής εις τα μάτια της ψυχής του και όταν έπεφτε εις το κρεβάτι του, διά να κοιμηθή, τον έκαμνε να σκέπτεται εκείνα που δεν του εταίριαζαν.

Μίαν ημέραν κάποιος Ιουδαίος από τα μέρη της Καμπανίας ήρχετο εις την Ρώμην επειδή δε ενύκτωσεν εις τον δρόμον και δεν είχε που να διανυκτερεύση, παρέμεινεν εις τον ναόν του Απόλλωνος, που ευρίσκετο εκεί κοντά. Από φόβον δε διά τα δαιμόνια που υπήρχον εκεί, έκαμε το σημείον του σταυρού, αν και δεν έπίστευεν εις τον σταυρόν, και έπεσε να κοιμηθή. Κατά τα μεσάνυχτα και ενώ επικρατούσεν ησυχία, εξύπνησεν από τον φόβον της ερημιάς και της μοναξιάς του και παρέμεινεν άγρυπνος.

Έξαφνα λοιπόν ύψωσε το βλέμμα του και είδε πλήθος από πονηρά πνεύματα, ωσάν να αποτελούσαν τιμητικήν συνοδείαν κάποιου άρχοντος. Τότε ο αρχηγός εκάθισεν εις το προεδρείον του τόπου εκείνου και ήρχισε να εξετάζη τας πράξεις και τα τεχνάσματα των πονηρών πνευμάτων, που ευρίσκοντο εκεί και έζητούσε να μάθη ποίαν κακίαν διέπραξε το καθένα από αυτά. Ενώ λοιπόν όλοι οι δαίμονες του ανέφεραν όσα κακά διέπραξαν εναντίον των ανθρώπων, επροχώρησεν ένας απ' αυτούς εις το μέσον και ήρχισε να αφηγείται λεπτομερώς τον πειρασμόν, που εξεσήκωσεν εις την ψυχήν του Επισκόπου Ανδρέου, με την ωραιότητα της Μοναχής που συγκατοικούσε με αυτόν εις το Επισκοπείον, καθώς και την ταραχήν της σαρκός που ήρχισε να δοκιμάζη.

Μόλις ήκουσεν αυτό ο αρχηγός των δαιμόνων, ηυχαριστήθη πάρα πολύ και ώμολόγησεν ότι το κέρδος του θα ήτο μεγάλον, αν κατώρθωνε τελικώς να παρασύρη την ψυχήν του αγίου ανδρός εις θάνάσιμον σφάλμα. Εν τω μεταξύ ο δαίμων που ανέφερεν αυτά προσέθεσε μέχρι προχθές δεν έπαυα να τον ενοχλώ, αλλά δεν μπόρεσα να παρασύρω τον λογισμός του χθες όμως το βράδυ τα κατάφερα να εγγίση με εμπάθειαν το χέρι του εις τα οπίσθια της καλογραίας. Τότε ο πονηρος διάβολος και αρχαίος εχθρός του ανθρωπίνου γένους προέτρεψε, με κολακευτικά λόγια, αυτόν τον δαίμονα αυτό, που ήρχισες, τρέξε να το τελειώσης, δια να κερδίσης μόνος ανάμεσα εις τους άλλους, με την πτώσιν του Επισκόπου, το βραβείον της νίκης.

Μόλις ο Ιουδαίος είδε και ήκουσεν αυτά έφοβήθη και έστενοχωρήθη πάρα πολύ. Ο δε αρχηγός των πονηρών πνευμάτων, και άρχιδιάβολος, τους παρήγγειλε να εξετάσουν ποιος είναι εκείνος που ετόλμησε να κοιμηθή εις τον ναόν. Μόλις λοιπόν ήλθον κοντα εις τον Ιουδαίον τα πονηρά πνεύματα και τον εξήτασαν προσεκτικά,

εθαύμασαν, όταν διεπίστωσαν ότι έχει σφραγισθη με το σημείον του σταυρού και είπαν: πώ! πώ! ένα άχρηστον σκεύος και όμως έχει σφραγισθή. Όταν είπαν αυτά εις τον αρχισατανάν, όλον εκείνο το πλήθος των πονηρών πνευμάτων, που επροκαλούσε την ταραχήν, έγινεν άφαντον.

Τότε ο Ιουδαίος, ο οποίος είδε και ήκουσεν αυτά, αμέσως έσηκώθηκε και έτρεξε να συναντήση τον Επίσκοπον. Αφού λοιπόν τον ευρηκεν εις την Εκκλησίαν, τον επήρε ιδιαιτέρως και επροσπαθούσε να μάθη απ' αυτόν από ποίον πειρασμόν κατέχεται. Εκείνος όμως δεν ώμολογούσε τίποτε από εντροπήν. Ο Ιουδαίος επέμενε: δεν έρριξες – του είπε – από αισχρόν πόθον τα μάτια σου επάνω εις την δείνα δούλην του Θεού; Ο Επίσκοπος και αυτό το ηρνείτο. Κατόπιν αυτού λοιπόν του είπεν ο Ιουδαίος:

– Διατί αρνείσαι; Δεν έφθασες μέχρι του σημείου, να εγγίσης το χέρι σου, με εμπάθειαν, εις τα οπίσθιά της;

Τότε ο Επίσκοπος ησθάνθη έλεγχον με τα λόγια αυτά και ωμολόγησε με μεγάλην ταπεινοφροσύνην αυτό που προηγουμένως ήρνείτο επίμονα. Διά να τον παρηγορήση δε ο Ιουδαίος δια την εντροπήν που έδοκίμασεν από το σφάλμα, του διηγήθη πως το έμαθε και τι ήκουσεν εις την συνάθροισιν εκείνην των πονηρών πνευμάτων. Μόλις ήκουσεν αυτά ο Επίσκοπος και έκατάλαβε το μεγάλο σφάλμα, μετενόησεν· αμέσως λοιπόν έπεσεν εις το έδαφος και παρεδόθη εις θερμήν προσευχήν μετανοίας συγχρόνως εξεδίωξεν αμέσως από το Επισκοπείον όχι μόνον εκείνην την δούλην του Θεού, αλλά και κάθε άλλην γυναίκα που είχε διά να την υπηρετή: τέλος, μετέβαλεν εις Χριστιανικόν ναόν, επ' όνόματι του Αγίου Ανδρέου, τον ειδωλολατρικός ναός του Απόλλωνος.

Έτσι απηλλάγη τελείως από τον σαρκικόν πειρασμόν, ο οποίος με την χάριν του Θεού εξεδιώχθη τελείως και τον Ιουδαίον ωδήγησε προς την αιώνιον ζωήν τον εδίδαξε, δηλαδή, τα Μυστήρια της Πίστεώς μας και αφού τον εκαθάρισε με το Αγιον Βάπτισμα, τον έφερεν εις τους κόλπους της Αγίας Εκκλησίας μας.

Συνέβη λοιπόν με τον τρόπον αυτόν, ώστε ο Εβραίος, ο οποίος έτρεξεν εις την σωτηρίαν κάποιου άλλου να φθάση και εις την ιδικήν του. Και έτσι ο Παντοδύναμος Θεός ωδήγησεν εις την αγαθήν ζωήν εκείνον ο οποίος ήθέλησε τον άλλον (δηλαδή τον Επίσκοπον) εις αυτήν να διαφυλαχθη.

Πέτρος

ΑΥΤΟ το γεγονός που ήκουσα, γεννά και φόβον και ελπίδα σωτηρίας.

Γρηγόριος

ΕΤΣΙ και πρέπει να έχωμεν πάντοτε εμπιστοσύνην εις την ευσπλαγχνίαν του Θεού μας και να φοβούμεθα την ιδικήν μας αδυναμίαν. Εμάθαμεν βέβαια ότι εσαλεύθη ή κέδρος του Παραδείσου, αλλά και ότι δεν εξερριζώθη, διά να την έχωμεν ημείς οι αδύνατοι ως παράδειγμα από τον κλονισμός της κέδρου να φοβηθώμεν, έπειτα δε να πάρωμεν θάρρος από την σταθερότητά της.

Τού αυτού

ΕΝ ΤΟΙΣ τῆς Καμπανίας μέρεσιν, ἐν τῷ ὄρει τῷ εἰς Μαρσήν, ἀνὴρ τὶς σφόδρα εὐλαβέστατος, Μαρτίνος ὄνομα, τὸν μονήρη βίον διετέλεσεν, ἐν σπηλαίῳ στενοτάτῳ ἐπὶ πολλοὺς χρόνους ἑαυτὸν κατακλείσας. Ἐξεδίδετο δὲ αὐτῷ ἐκ τῆς πέτρας τοῦ σπηλαίου, νεύσει τοῦ παντοδυνάμου Θεοῦ, νοτὶς ὕδατος ὅση αὐτῷ εἰς χρείαν καθημερινὴν διήρκει. "Ο δὲ ἀρχέκακος ἐχθρὸς τὴ ὑπομονὴ τοῦ Ἁγίου φθονῶν, ἐκδιώξαι τοῦτον ἐκ τοῦ σπηλαίου ἐπειράτο καὶ δὴ εἰσελθῶν εἰς ὄφιν, τὸ φίλον αὐτῷ θηρίον, παρεσκεύασε τοῦτον εἰς τὸ σπήλαιον εἰσέρχεσθαι, καὶ εὔχομενου αὐτοῦ ἁπλούσθαι ἔμπροσθεν. Ὁ "Ἅγιος ἀπτόητος παντάπασιν ἦν, παρετίθει δὲ τὸ ἐκείνου στόματι τὴν αὐτοῦ χεῖρα ἢ καὶ τὸν πόδα λέγων· ἐὰν ἄδειαν ἔλαβες τοῦ βλάψαι μέ, ἐγὼ οὐ κωλύω.

Μέχρις οὖν τριετίας ἀδιαλείπτως τοῦτο ἐγίνετο. Εἶτα ὁ ἐχθρὸς ὑπὸ τῆς τοσαύτης αὐτοῦ ὑπομονῆς καὶ δυνάμεως νικηθεῖς, ἔβρυξε καὶ ἑαυτὸν ὁ ὄφις κατὰ τὸ πλάγιόν του ὄρους εἰς κρημνὸς δέδωκε. Πάντα δὲ τὰ ἐν τῷ τόπῳ ἐκείνω δάση τὴ ἐξ αὐτοῦ ἐκπορευομένη φλογὶ κατεφλέχθη, τοῦ Θεοῦ ἀναγκάζοντας αὐτὸν ἐπιδείξαι πόσης ὑπῆρχε δυνάμεως, ὃς νικηθεῖς, κατησχυμμένος ἀνεχώρησε. Κατανόησον οὖν αὐτῷ ἐν ποίᾳ τοῦ νοὸς φυλακὴ ἔστη καὶ τοῦ Θεοῦ ἄνθρωπος οὗτος, ὃς μετὰ ὄφεως τριετίαν ἄμεριμνως συνώκησεν.

Πέτρος

ΤΗι ἀκοὴ καὶ μόνη δειλιῶ.

Γρηγόριος

ΟΥΤΟΣ οὖν ὁ εὐλαβέστατος ἀνήρ, ἀπ' ἀρχῆς ἡνίκα ἐν τῷ σπηλαίῳ κατέκλεισεν ἑαυτόν, ὥρισεν ἵνα τοῦ λοιποῦ γυναῖκα μὴ ἴδῃ, οὐχ ὡς τὴν φύσιν βδελυσσόμενος, ἀλλὰ τὰ κινδύνω τοῦ πειρασμοῦ φοβούμενος περιπεσεῖν, τῷ ἐκ τοῦ θεωρουμένου κάλλους

συμβαίνοντι. Γυνὴ δὲ τὶς τοῦτο ἀκούσασα, τεθαρρηκότως εἰς τὸ ὄρος ἀνῆλθε, καὶ εἰς τὸ σπήλαιον αὐτοῦ ἀναιδῶς παρεγένετο. Ἰδὼν δὲ αὐτὴν καὶ "Ἅγιος ἐκ μήκους ἐρχόμενην, καὶ ἐκ τῶν ἱματίων ἐπιγνοὺς ὅτι γυνὴ ἔστιν, ἑαυτὸν εἰς εὐχὴν δέδωκε, καὶ ἐν τῇ γῇ τῆς ἑαυτοῦ ὄψιν ἐπεστήριξεν ἐπὶ τοσούτον δὲ ἥπλωμενος ἐν τῇ προσευχῇ προσεκαρτέρησεν, ἕως οὐ τὸ ἀναιδὲς ἐκεῖνο γύναιον ἀτονῆσαν ἐκ τῆς θυρίδος τοῦ κελλίου αὐτοῦ ἀπέστη, καὶ κατελθοῦσα ἐκ τοῦ ὄρους τὴ αὐτὴ ἡμέρα τὴν ζωὴν ἐπλήρωσε, καὶ ἐκ τούτου πάσι γνώριμον γέγονεν, ὅτι σφόδρα τὸ παντοδυνάμω Θεῶ ἀπήρεσε τὸ ταύτη τὴ τόλμη τὸν αὐτοῦ δοῦλον λυπῆσαι.

Ερμηνεία

ΕΙΣ την Καμπανίαν και επάνω εις το όρος Μαρσην ήσκήτευεν ένας, πάρα πολύ ευλαβής άνθρωπος, ο Μαρτίνος αυτός παρέμεινεν έγκλειστος, αρκετά χρόνια, εις ένα στενός σπήλαιον. Από τον βράχον του σπηλαίου αυτού έβγαιναν, προς χάριν του, με θεϊκόν πρόσταγμα, μερικαι σταγόνες νερού, όσον έφθανε διά τας καθημερινές του ανάγκας. "Ο αρχέκακος εχθρός, από φθόνον διά την υπομονήν του Αγίου, επροσπαθούσε να τον εκδιώξη από το σπήλαιον. Αφού λοιπόν εισήλθεν εις όφιν, το αγαπημένος του θηρίον, έκανόνισε να εισέρχεται ούτος εις το σπήλαιον και όταν προσηύχετο ο Αγιος, να απλώνεται εμπρός του. Ο Αγιος όμως παρέμενε τελείως ατάραχος: επλησίαζε δε εις το στόμα του φιδιού το χέρι του ή το πόδι του και του έλεγεν άν επήρες άδειαν από τον Θεόν να με βλάψης, εγώ δεν σε εμποδίζω.

Αυτό λοιπόν διήρκεσεν επί τρία συνεχή έτη. Έπειτα ένικήθη και εχθρός από την τόσον μεγάλην υπομονήν και δύναμιν του Αγίου: εμούγκρισε και το φίδι κατεκρημνίσθη από την βουνοπλαγιάν. Όλα δε τα δάση εις εκείνον τον τόπον κατεκάησαν από την φλόγα, που έβγαινεν από τον όφιν. Ο Θεός υπεχρέωσε τον σατανάς να δείξη πόσην δύναμιν είχε, είς το τέλος όμως ένικήθη και έφυγε κατεντροπιασμένος. Φέρε λοιπόν εις την σκέψιν σου πόσην προσοχής και επαγρύπνησιν νου κατέβαλεν ο άνθρωπος αυτός του Θεού αφού, επί τρία χρόνια έκατοικούσε μαζί μ' ένα φίδι, χωρίς να φοβηθή ποτέ.

Πέτρος

Αι! μόνον που το ακούω, τρομάζω.

Γρηγόριος

ΑΥΤΟΣ λοιπόν ο ευλαβέστατος ανήρ, από την αρχήν, που έκλείσθη εις το σπήλαιον, έθεσεν όρον εις τον εαυτόν του να μη ίδη γυναίκα, όχι διότι έβδελύσσετο την γυναίκα,

αλλά διότι έφοβείτο μήπως περιπέση είς κίνδυνον πειρασμού, από το γυναικείον κάλλος που θα έβλεπεν.

Οταν το ήκουσεν αυτό μία γυναίκα, ανέβηκε με θράσος εις το όρος και ήλθεν αδιάντροπα εις το σπήλαιον του Αγίου. Μόλις την είδεν ο Αγιος να έρχεται από μακράν και ανεγνώρισεν από τα μάτια, ότι ήτο γυναίκα, ήρχισε να προσεύχεται και ακούμπησε το πρόσωπόν του εις το έδαφος, διά να μη βλέπη εμπρός του. Παρέμεινε δε προσευχόμενος εις την εδαφιαίαν αυτήν στάσιν τόσον, έως ότου απηλπίσθη η αδιάντροπη εκείνη γυναίκα και απεμακρύνθη από το παράθυρον του κελλιού. Μόλις δε κατέβηκεν από το όρος, απέθανε την ίδιας ημέραν και έγινε γνωστον εις όλους, διότι δεν ήρεσε καθόλου εις τον Θεόν να λυπήση με τετοιαν αναίδειαν τον δούλον Του.

Δ'. Του Αγίου Συμεών του εν τη Μάνδρα

ΠΟΘΟΣ ποτὲ θεῖος γυναῖκα εἴληφει τὸν μέγαν Συμεὼν ἰδεῖν ὀφθαλμοῖς, καὶ τῆς παρ' αὐτοῦ χάριτος καὶ εὐλογίας ἀπολαύσαι· ἀλλ' ἦν αὐτὴ τῆς ἐπιθυμίας ἐμπόδιον καὶ τοῦ στύλου περίβολος, γυναιξὶν ἀπείργων τὴν εἴσοδον. Ἡ φιλάρετος τοίνυν ἐκείνη, τὸ πυρὶ τοῦ καλοῦ τούτου ἁλισκομένη ἔρωτος, λογισμοὺς τὲ πάντας ἀνεκίνει πρὸς ἑαυτήν.

Καὶ - τινῶν ποτὲ κατὰ θέαν τοῦ ἀνδρὸς πορευομένων στρατιωτῶν, τὴν ὁμοίαν τούτοις ἀναβολὴν περιθεμένη, ὅλη τὲ πρὸς τὸ ἐκείνων σχήμια μεταβαλοῦσα, καὶ πᾶσαν ὑπόνοιαν κλέψασα, ἐπὶ τὸν ἵππον ἀναβάσα, συνίππευε τὲ αὐτοὺς καὶ τὴν ὁδὸν ὡς τάχος διήνυεν.

Ἐπειδὴ δὲ κατέλαβαν τὸν περίβολον, ἀποβαίνουσι τῶν ἵππων οἱ στρατιῶται καὶ τούτους οἷα παρὰ τινι τῶν συστρατιωτῶν τὴ γυναικὶ καταλείπουσιν, οὔπω δῆλον ὂν ὡς εἴη γυνή. Ἡ δὲ τὴν παρακαταθήκην ἑτοίμως ἐδέξατο, τῶν ἴσων καὶ αὕτη τυχεῖν ἔθελουσα, καὶ τὸν οἰκεῖον πάλιν αὐτοῖς παρακαταθέσθαι ἵππον, ἐπειδᾶν θεασάμενοι τὸν "Ἅγιον ἀναστρέψωσιν. Ἐπεῖ οὖν ὡς τὸν "Ἅγιον ἦλθον οἱ στρατιῶται καὶ ἔτυχον ἤδη ὧν ἐπεθύμουν, στρατιώτης μὲν εἷς ἐξ ὑμῶν ὑπελήφθη, ὁ θεῖος πρὸς αὐτοὺς φησι Συμεών, ὑμεῖς δὲ ἐπειδὴ πρὸς αὐτὸν ἐπανέλθητε, εἴπατε τούτω, ὡς καὶ τῆς ψυχῆς σου προσευχὴ εἰς τὰ ὦτα Κυρίου ἀνέβη, καὶ ηὐλόγησε σὲ Κύριος ὁ Θεός, ὁ ἐξεταστὴς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ εὐλογημένος εἰ τὸ Κυρίω, τὸ πέρας ἔχοντι τῆς σπουδῆς μηκέτι σοὶ δεήσει της πρὸς τὰ ἐνταῦθα ὁδοῦ.

Ταῦτα τοῦ θαυμαάτου Συμεὼν εἴρηκοτος, ἐξιόντες οἱ στρατιῶται τοῦ περιβόλου κατεπλήττοντο μὲν τῆς προρρήσεως τὸν ἄνδρα, ἐθαύμαζον δὲ καὶ τὸν ὑπολειφθέντα

δῆθεν στρατιώτης τῆς ἀρετῆς. Ἐπεῖ τοίνυν ἐξῆλθον τοῦ περιβόλου, ἀπαγ: γέλλουσι μὲν ἅπερ εἰπεῖν ἐπετράπησαν, πολλὴ δὲ πρὸς τὴν μακαρίαν ἐκείνην κέχρηςται τὴ δεήσει, τὶς τὲ εἴη καὶ ὅ,τι ποτὲ ἐστι τῶν αὐτὴ κατωρθωμένων τὸ μέγεθος δηλώσαι" οὐδὲ γὰρ ἂν πάντως ἔλεγον τὸ μελιχρὸν ἐκεῖνο καὶ ἡδὺ στόμα τοῦ Συμεὼν διὰ πολλῆς σὲ οὕτω τῆς μνήμης ἦγεν, εἰ μὴ τὶς λανθάνων πλοῦτος ἀρετῶν ἐν σοῖ τεθησαύριστο.

Ἡ δὲ γνοῦσα ὡς ἄρα τὸν "Ἅγιόν το κατ' αὐτὴν οὐδὲν ἔλεληθει, ἀνακαλύπτει τοϊς ἀνδρᾶσι καὶ μὴ βουλομένη τὰ πάντα, καὶ φησιν' ἐμὲ μέν, ἀδελφοί, πολὺν χρόνον θεῖος εἶχεν ἔρως κατὰ θέαν τοῦ θείου τούτου ἀνδρὸς ἀφικέσθαι, καὶ τῆς ἐν αὐτῇ τοῦ Πνεύματος χάριτος αὐτοῖς ὀφθαλμοῖς ἀπολαύσαι. Ἐπειδὴ δὲ οὐκ ἔφειτο γυναιξὶν ἐπιβαίνειν τοῦ περιβόλου, δέον ὥηθην κρύψαι τὴν φύσιν (εἴμι γὰρ γυνὴ) καὶ τὴν θέαν σοφίσασθαι" ἀλλ' ἐπειδὴ καὶ γνώστης κρυφίων ὁ ἀνὴρ καὶ οὐδὲ οὕτως λαθεῖν ἔξεστιν, ἀπειμι λοιπὸν καὶ οὐκ ἀντιφθέγγομαι τὸ προστάγματι. Ἠξίωμαι γὰρ ἤδη τῆς εὐλογίας, οὗ δὶ' ὧν ἔδοξα λαθεῖν, ἀλλ' ἀφ' ὧν ἑάλων τῆς χάριτος ἀπολαύσασα.

Τοιαῦτα τῆς χρηστῆς ἐκείνης γυναικὸς διεξελθούσης, ἐπὶ πλέον θαυμάσαντες τὸν ἄνδρα οἱ στρατιώται, πρὸς τὰ οἰκεῖα ἕκαστος ἐπανίεσαν.

Ερμηνεία

ΚΑΠΟΙΑΝ γυναίκα κάποτε κατέλαβε θεϊκός πόθος να ίδη με τα μάτια της τον μέγαν Συμεών (του Οσίου πατρός ημών Συμεών του Στυλίτου) και να απολαύση την χάριν και την ευλογίαν του. Διά την επιθυμίαν της όμως αυτήν ήτο εμπόδιον ο περίβολος γύρω από τον στυλον, ο οποίος ήμπόδιζε την είσοδον εις τας γυναίκας. Η φιλάρετος όμως εκείνη γυναίκα, κυριευμένη από την επιθυμίαν της καλής αυτής αγάπης, έσκέπτετο συνεχώς αυτό το πράγμα.

Κάποτε λοιπόν επήγαιναν μερικοί στρατιώται, διά να δουν τον Αγιον: τότε και εκείνη εφόρεσε την ιδίαν με εκείνους στολήν και ήλλαξε τελείως την εμφάνισίν της, ώστε να φαίνεται ως στρατιώτης. Έτσι μεταμφιεσμένη απέφυγε κάθε υπόνοιαν και αφού ανέβηκεν εις το άλογον, επήγαινε μαζί με τους άλλους στρατιώτας καβάλλα τον ίδιον δρόμον, όσον ήμπορούσε γρηγορότερα.

Όταν δε έφθασαν εις τον περίβολον του στύλου, άφιππεύουν από τα άλογά των οι στρατιώται και τα αφήνουν εις την γυναίκα, ωσάν να ήτο κάποιος συστρατιώτης των, διότι δεν είχε φανερωθή ακόμη ότι ήτο γυνή. Εκείνη εδέχθη πρόθυμα την φροντίδα αυτήν, επειδή και αυτή ήθελε να επιτύχη τα ίδια, και να τους εμπιστευθή, με την σειράν της, το άλογόν της, όταν θα επέστρεφαν από την επίσκεψίν των εις τον "Αγιον.

'Αφού λοιπόν οι στρατιώται ήλθον εις τον "Αγιον και επέτυχον εκείνα που επιθυμούσαν, τους λέγει ο θείος Συμεών:

– Παρέμεινεν εις τον περίβολον κάποιος στρατιώτης από σας: όταν λοιπόν θα γυρίσετε κοντά του, να του είπατε ότι η προσευχή της ψυχής σου ανέβη εις τα αυτιά του Κυρίου και σε ευλόγησε Κύριος ο Θεός, που γνωρίζει καλά τας ενθυμήσεις και τας σκέψεις των καρδιών μας. Είσαι ευλογημένος ενώπιον του Κυρίου και επειδή έτελείωσεν ο σκοπός του ταξιδιού σου, μη φροντίσης να έλθης έως εδώ.

Μετά τους λόγους αυτούς του θαυμαστού Συμεών, οι στρατιώται, καθώς εξήρχοντο από τον περίβολον, εθαύμαζον τον "Αγιον διά την προφητικήν του δύναμιν, αλλά και τον δήθεν στρατιώτην, που έμεινεν οπίσω, διά την αρετήν του. 'Αφού λοιπόν έβγήκαν από τον περίβολον, λέγουν μεν εις τον νομιζόμενον στρατιώτην όσα διετάχθησαν, παρεκάλουν δε πάρα πολύ την μακαρίαν εκείνην γυναίκα, που εφαίνετο ως στρατιώτης, να τους φανερώση ποίος ήτο και πόσον μεγάλα ήσαν τα κατορθώματα του· διότι – έλεγον - ουδέποτε το μελιστάλακτος και γλυκόν εκείνο στόμα του Συμεών, δεν θα σε ανέφερε τόσον πολύ, αν δεν έχης εις τα απόκρυφα της ψυχής σου θησαυρισμένος κάποιον πλούτον αρετών.

Εκείνη τότε, όταν αντελήφθη, ότι τίποτα από όσα την αφωρούσαν δεν εξέφυγε την προσοχήν του Αγίου, φανερώνει εις τους άνδρας, και χωρίς να το θέλη, όλα και τους λέγει: από πολύν καιρόν με είχε καταλάβει η ισχυρά επιθυμία να έλθω να ίδω τον θείον τούτον άνδρα και να απολαύσω με τα ίδια μου τα μάτια την χάριν του Πνεύματος που κατοικεί εις αυτόν. Επειδή όμως δεν επετρέπετο εις τας γυναίκας να εισέλθουν εις τον περίβολον, ενόμισα ότι έπρεπε να κρύψω το γένος μου (διότι είμαι γυναίκα) και να μηχανευθώ τρόπος να τον ξεγελάσω. 'Αλλ' έπειδή ο "Αγιος γνωρίζει όλας τας κρυφές σκέψεις και δεν ήτο δυνατόν να ξεγελασθή φεύγω και δεν αντιλέγω εις την διαταγήν του. Έχω άλλωστε αξιωθή να πάρω την ευλογίαν του, όχι με τον τρόπον που ενόμισα ότι θα τον ξεγελάσω, αλλ' απήλαυσα την χάριν εκείνων που επεθύμησα, δηλαδή, να ίδω τον Όσιον.

Αυτά διηγήθη η καλή εκείνη γυναίκα και αφού οι στρατιώται έθαύμασαν ακόμη περισσότερον τον Αγιον, επέστρεψαν εις τα σπίτια των.

Ε'. Εν τω βίω του Οσίου Μαρτινιανού

Ο ΑΓΙΟΣ Μαρτινιανὸς πολλοὺς χρόνους οἰκήσας τὴν ἔρημον καὶ πᾶν ἄρετης εἶδος κατωρθωκῶς, ὕστερον ἐπηρεία τοῦ πονηροῦ παραμικρὸν ἦλθε τοῦ κινδυνεύσαι. Καὶ

γὰρ γυναῖκα τινά, ἣν ὁ σατανᾶς εἰς τὸ πειρᾶσαι τὸν δίκαιον ἐξήγειρε, δεξάμενος ἐν τῇ ἰδίᾳ κέλλῃ ὡς πλανωμένην ἐν τῇ νυκτί, ἕνα μὴ ἀπολῆται, τοσούτον ὑπὸ τῶν αὐτῆς ἐρωτικῶν λόγων τὸν νοῦν ἐσαλεύθη, ὡς συγκαταθέσθαι τὴ ἁμαρτία, κὰν εὐθὺς ἐλέει Θεοῦ, τοῦ πάθους ἀνενεγκῶν, ἑαυτὸν ἀποτόμως ἔκολασεν. Καὶ πυρὰν ὑφάψας ἐν τῷ μέσῳ αὐτῆς ἔστη ἐφ' ἕκανον ὡς δεινῶς καταφλεχθῆναι τοὺς πόδας, καὶ οὕτω τὴ τοῦ πυρὸς καύσει τὸ τῆς ἐπιθυμίας ἔσβεσε πῦρ καὶ διέδρασε τὸν κίνδυνον.

Μέχρις οὖν ἑπτὰ μηνῶν ἐκεῖνος τὴ κέλλῃ προσκαρτερήσας, ἐπεῖ ἀδυνάτως εἶχε διὰ τὰς ἐκ τῆς καύσεως πληγᾶς, μετὰ τοῦτο τοῦ ἐκ τῶν πληγῶν πόνου λωφήσαντος, τῆς κέλλας ἀπαναστᾶς καὶ πρὸς τὴ θαλάσση γενόμενος, πέτραν τινὰ στενὴν προσωτέρω τῆς θαλάσσης καὶ μακρὰν ἀφεστώσαν τῆς γῆς κατοικεῖ, ὑπὸ ναυκλήρου τινὸς εἰς ταύτην ὁδηγηθεῖς, ὃς εὐσεβὴς ὤν, καὶ τὴν ἀναγκαίαν χρείαν τῶν ἄρτων καὶ τὸ ὕδωρ αὐτὸ ἐχορήγει. Ἀλλὰ κακεῖ ὁ ἐχθρὸς πειρασμὸν αὐτὸ τοῦ προτέρου χείρονα ἐπανίστησιν.

Ἤδη γὰρ ἐξ ἐνιαυτῶν διελθόντων, ἐξ ὅτου ὁ Μαρτινιανὸς τὴν στενῆς πέτραν ἐκείνην ἀσκεπὴς ὅλως καὶ αἴθριος κατοικεῖν εἵλετο, καὶ τοῦ ἑβδόμου ἐνστάντος, πλοῖον τὸν τόπον διϊὸν ἀνδρῶν καὶ γυναικὼν πλῆρες, φυλάξας ὁ πονηρός, ἀνέμω τινὶ βιαίω προσαράσσει τὴ πέτρα, καὶ αὐτὰ μὲν συνέτριψε παραχρῆμα, τοὺς ἐπιβάτας δὲ τοῖς ὕδασιν εὐθὺς ἀποπνίγει. Μία δὲ τὶς κόρη, τὴν ὥραν ὑπερφυής, σανίδος ἐπιλαβομένη μιᾶς, καὶ τῆς πέτρας ἐν χρῷ γενομένη, ἀπηρτήθη τὲ αὐτῆς καὶ βοᾶν ἤρξατο, ἐλέησον μέ, δοῦλε τοῦ Θεοῦ, ὀΐκτειρον ἀπολλυμένην, ὄρεξον χεῖρα, προφθασον, ἤδη μὲ ὁ βυθὸς λαμβάνει.

Ἰδὼν οὖν ὁ μακάριος ὡς ἐπὶ ξυροῦ ἡ ἀπώλεια καὶ ὅτι μηδαμόθεν αὐτὴ ἄλλοθεν σωτηρία, ὑπομειδιάσας, καὶ τοῦτο, ἔφη, τέχνη σή, πονηρὲς ἀλλ' οὖ νικήσεις αὐτὸς τὴν δύναμιν τοῦ Χριστοῦ, ἐφ' ὧ πὲρ ἐγὼ πέποιθα. Καὶ εὐθὺς εἰς οὐρανὸν ἀποβλέψας, Κύριε, Κύριε, ἔφη, εἰς ἂν ἐγὼ πέποιθα, μὴ ἔασης μὲ ἀπολέσθαι τὸν τὴν κινδυνεύουσαν σώσαι βουλόμενον, ἀλλὰ τὸ συμφέρον αὐτῆς μου κατὰ ψυχὴν οἰκονομησον.

Οὕτως εἰπῶν, ὀρέγει τὴ γυναικὶ χεῖρα καὶ ἀνάγει τοῦ ὕδατος ἔπει δὲ καὶ εἰς ὄψιν αὐτῆς ἀπεῖδε, καὶ ὅπως περικαλλὴς ἔγνω, ἀληθῶς γέ, ἔφη, οὐ συμφωνήσει χόρτος καὶ πῦρ, οὐ δυνατὸν ἔμε καὶ σὲ κοινᾶς ἔχειν διατριβᾶς, ἐπεῖ σῆψις ἐν ἀμφοτέροις διὰ τοῦ πονηροῦ ἔσται. Σὺ τοίνυν ὑπομεινον ἐνταύθα καὶ μηδὲν δειλιάσης ἔστι γὰρ καὶ ἄρτος καὶ ὕδωρ ἄχρις ἂν ἔλθη ὁ ναύκληρος, ὃς τὰ τῆς χρείας μου κομίζειν εἰώθει ὅταν δὲ καὶ ἀφίκοιτο, διασάφησαν αὐτὸ τὸ συμβεβηκός, κακεῖνος ἀπάξει σὲ τῶν ἐνταύθα καὶ εἰς τὴν πόλιν τὴν σὴν τὸ λοιπὸν πορεύση.

Οὕτως εἰπῶν τὸ σημεῖο τοῦ σταυροῦ τοῖς ὕδασεν ἐπιβάλλει, ὁ Θεός, ἐπευξάμενος, οὐ τὴ ἐπιτιμήσει θάλασσα τὲ καὶ ἄνεμοι ὑπακούουσιν, ἐπιβλεψον ἐπ' ἐμὲ καὶ μὴ ἐάσης ἀπολέσθαι ἰδοὺ γὰρ ἐπὶ τῷ ὀνόματί σου τὸ φοβερὸ τοῖς ὕδασιν ἔμαυτον ἐπιτρέπω,

κρίνας οὕτως ἀπολέσθαι μᾶλλον ἢ πάθει σώματος ἁλῶναι. Εἶτα καὶ πρὸς τὴν κόρην ἐπιστραφεῖς καὶ σωτηρίαν αὐτὴ ψυχῆς διευξάμενος, καθῆκεν ἑαυτὸν τὴ θαλάσσης δύο δὲ παραχρῆμα δελφίνες ἑαυτοὺς ὑποθέντες καὶ ἀσφαλῶς τὸν ἄνδρα τοὺς γάτους διαβαστάσαντες, ἐξάγουσι τῶν ὑδάτων.

Ὡς δὲ καὶ τῆς γῆς ἀπέβη καὶ ὅσιος, εὐχαριστήσας τῷ Θεῷ τῆς παραδόξου ταύτης ἐκκομιδῆς, εἶθ' οὕτω λογισμοὺς ἐδίκαζε μαχομένοις καὶ τί ποιητέον ἐσκόπει, οὔτε γάρ, φησιν, ἐν τοῖς ὄρεσιν οὔτε μὴν ἐν τοῖς ὕδασιν ἀφίησιν ἥρεμεῖν ὁ ἐχθρός. Καλὸν οὖν πείθεσθαι κελεύοντι τῷ Χριστῷ, διωκομένους ἀπὸ τῆς δὲ τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν. Καὶ οὕτως εἰπῶν φυγὴ ἔχρησατο λέγων" φεῦγε Μαρτι γιὰ ν ἐ, μὴ σὲ πειρασμὸς καὶ ἀταλάβη, φεῦγε, ταπεινὲ μοναχὲ καὶ οὕτω διετέλει φεύγων, μέχρι τῆς ἐσχάτης αὐτοῦ ἀναπνοῆς.

Ερμηνεία

Ο ΑΓΙΟΣ Μαρτινιανός ύστερα από πολλά χρόνια, που κατώκησεν εις την έρημον και κατώρθωσεν όλας τας αρετάς, από ενέργειας του πειρασμού εκινδύνευσε πάρα πολύ να αμαρτήση. Μίαν νύκτα δηλαδή εδέχθη να φιλοξενήση εις το κελλί του μίαν γυναίκα, που περιεπλανάτο τάχα εις την έρημον διά να μη χαθής αυτήν λοιπόν έξεσήκωσεν ο Σατανάς διά να πειράξη τον δίκαιον. Τόσον πολύ δε εσαλεύθη ο νούς του από τα ερωτικά λόγια της, ώστε να συγκατατεθή να αμαρτήση: την τελευταίαν όμως στιγμήν συνήλθεν από το πάθος, με το έλεος του Θεού, και έτιμώρησεν αυστηρά τον εαυτόν του. "Αναψε φωτιάν και εστάθη αρκετών ώραν μέσα εις αυτήν, ώστε να κατακαούν φρικτά τα πόδια του, και έτσι με το κάψιμο της φωτιάς έσβυσε την φλόγα της επιθυμίας και εξέφυγε τον κίνδυνον.

Παρέμεινε λοιπόν επτά μήνας εις το κελλί του, επειδή ήτο αδύνατον να περιπατήση από τα εγκαύματα. Οταν εμετριάσθη ο πόνος από τας πληγάς, έβγήκεν έξω από το κελλί του και επήγεν εις την ακροθαλασσιάν, από όπου κάποιος ευσεβής ναυτικός τον οδήγησε σε κάποιον στενόν βράχον, μακράν από την ξηραν και κατώκησεν εκεί. Ο ναυτικός αυτός του επήγαινε το απαραίτητον νερόν και άρτον. Και εκεί όμως και εχθρός του ξεσηκώνει ένα πειρασμόν, χειρότερον από τον πρώτον.

Είχαν περάσει ήδη εξ χρόνια από τότε που ο Μαρτινιανός απεφάσισε να κατοικήση εις εκείνον τον στενόν βράχον και να παραμένη τελείως εις το ύπαιθρον. "Όταν έφθασεν εις τον έβδομον χρόνον, παρεφύλαξεν ο πονηρός κάποιο πλοίον, που έπερνούσε κοντά, γεμάτον άνδρας και γυναίκας: έξαφνα, με ένα βίαιον άνεμον που εξεσήκωσε, το παρέσυρεν έπάνω εις τον βράχον, ετσάκισεν αμέσως το πλοίον και

έπνιξε τους επιβάτας εις την θάλασσαν. Μόνον μία κόρη, πολύ νέα, ήρπασε μίαν σανίδα και επλησίασε προς τον βράχον επιάσθηκεν από κάπου και ήρχισε να φωνάζη:

–Ελέησέ με, δούλε του Θεού· λυπήσου με, διότι χάνομαι: δός μου το χέρι σου, πρόφθασε, διότι ήδη πνίγομαι.

Μόλις είδεν ο μακάριος ότι παρά τρίχα θα έχάνετο η νέα και ότι από πουθενά αλλού δεν υπήρχε δι' αυτήν σωτηρία, έχαμογέλασε και αυτό δικό σου τέχνασμα – είπε – είναι, πονηρές αλλά δεν θα νικήσης συ την δύναμιν του Χριστού, εις τον οποίον εγώ έχω εμπιστοσύνην. 'Αμέσως τότε ύψωσε το βλέμμα του εις τον ουρανόν, και προσευχήθη: Κύριε, Κύριε - είπε – εις τον οποίον έχω εμπιστευθή τον εαυτόν μου, μη με αφήσης να χαθώ, ενώ θέλω να σώσω την νέαν που κινδυνεύει, αλλ' οικονόμησε τα συμφέροντα εις αυτήν και εις την ψυχήν μου.

Μετά από την προσευχήν αυτήν απλώνει το χέρι του προς την νέαν και την ανασύρει από την θάλασσαν. 'Αφού δε την εκοίταξεν εις το πρόσωπον και είδεν ότι ήτο ωραία, είπε πραγματικά δεν θα ταιριάσουν η φωτιά και το χορτάρι δεν είναι δυνατόν έσυ και εγώ να μένωμεν είς το ίδιον μέρος, επειδή θα μας καταστρέψη και τους δύο ο πονηρός. Συ λοιπόν μείνε εδώ και μη φοβηθής καθόλου υπάρχει ψωμί και νερό, μέχρις ότου έλθη ο ναυτικός, που συνηθίζει να μου φέρνη αυτά που μου χρειάζονται. "Οταν θα έλθη, να του διηγηθής όσα συνέβησαν και έκείνος θα σε πάρη απ' εδώ και θα υπάγης έπειτα εις την πόλιν σου.

Ύστερα από τα λόγια αυτά έσταύρωσε την θάλασσαν και προσηυχήθη πάλιν: Θεέ μου, εις την διαταγήν του Οποίου υπακούουν θάλασσα και άνεμοι, επίβλεψε και εις εμέ και μη με αφήσης να χαθώ, διότι είς το '"Όνομά Σου, το φοβερόν, παραδίδω τον εαυτόν μου εις τα ύδατα και επροτίμησα να χαθώ καλύτερα με αυτόν τον τρόπον, παρά να κυριευθώ από σωματικόν πάθος. Έπειτα εξαναγύρισε προς την νέαν και αφού ηυχήθη την σωτηρίαν της ψυχής της, έπεσεν εις την θάλασσαν: αμέσως δε δύο δελφίνια έχαμήλωσαν κάτω από αυτόν, εκράτησαν γερά τον Αγιον εις την πλάτην των και τον έβγαλαν από την θάλασσαν!

Μόλις ο Όσιος απεβιβάσθη εις την ξηράν, ηυχαρίστησε τον Θεόν διά την θαυμαστής αυτήν σωτηρίαν του. Κατόπιν έσκέπτετο τί να κάμη, διότι οι λογισμοί του αντιπολεμούσαν μεταξύ των. Ούτε εις τα βουνά – έμονολογούσεν – ούτε εις την θάλασσαν με αφήνει να ησυχάσω ο εχθρός. Καλά λοιπόν είναι να υπακούσω εις τον Χριστόν, που μας παραγγέλλει, όταν μάς διώκουν από μίαν πόλιν, να φεύγωμεν εις

την άλλην (Ματθ. ί΄, 23). 'Αφού είπεν αυτά, έφυγε. Φεύγε Μαρτινιανέ, - έλεγε – δια να μη σε συλλάβη πειρασμός, φεύγε, τα πεινε μοναχέ. Έτσι δε επέρασε την υπόλοιπος ζωής του, μέχρι της τελευταίας του αναπνοής, με το να φεύγη από τόπου είς τόπον[(*)].

ΣΤ'. Εν τω βίω τού Αγίου Αρσενίου

ΠΕΡΙ τὸν Κάνωπος τοῦ Μεγάλου Ἀρσενίου διατρίβοντος (ἐν δὲ καὶ τοῦτο τῶν ἑπτὰ στομάτων τοῦ Νείλου), ἀφίκετο τὶς ἀπὸ Ρώμης συγκλητική, σφόδρα μὲν πλουσία, σφόδρα δὲ καὶ θεοφιλής. Σκοπὸς δὲ αὐτὴ τῆς ἀφίξεως Ἀρσένιον κατιδεῖν, καὶ ἅμα μὲν ὠφελείας αὐτὴν τυχεῖν, ἅμα δὲ κακεῖνον φιλοφροσύναις ταῖς κατὰ Θεὸν δεξιώσασθαι. Αὕτη τὸν Ἀρχιεπίσκοπον Θεόφιλον ὑποδεξάμενον αὐτὴν καὶ ξενίσαντα, ἐμμελῶς ἤξιου πεῖσαι τὸν Ἅγιον ὀφθαλμῶν αὐτὴν ἀξιώσαι τῶν ἑαυτοῦ.

Ὁ μὲν οὖν ἀπήει καὶ προσελθῶν ἤξιου λίαν θερμῶς, ὁ δὲ οὐκ ἤνειχετο, καίτοι τοῦ Ἀρχιεπισκόπου, πρὸς τοῖς ἄλλοις οἷς προέτεινε εἰς πειθώ, καὶ τὸν πόνον τῆς μακρᾶς ἐκείνης ὁδοῦ προστεθεικότος, καὶ κάμπτειν οὕτω πειρωμένου τὸν 'Αρσένιον, οὐκ ἤνεγκε τοῦτο ἡ συγκλητικὴ μαθοῦσα ἠρέθιζε γὰρ αὐτὴν ἡ τὲ πίστις ἡ πρὸς τὸν ὅσιος καὶ ὁ πόθος. Ἀμέλει καὶ κόπου καὶ αἰδοῦς καὶ πάντων ὑπεριδοῦσα, τῆς πρὸς αὐτὸς ὁδοῦ εἴχετο, θεάσασθαι βουλομένη.

Προσελθοῦσα γοῦν ἔξω της κέλλης διαγοντι τῷ Ἁγίῳ, προκαταβάλλει ἑαυτὴν τοῖς ποσὶν ἐκείνους καὶ δς ἀγίστησι μετ' ὀργῆς καὶ προσχῶν, εἰ τὸ πρόσωπόν μου, ἔφη, θέλεις ορᾶν, ὅρα τοῦτο. Τὴν δὲ δέος σὺν αἰδοὶ κατασχόν, μηδὲ ἀτενίσαι ὅλως μεθῆκεν αὐτήν.

Εἶτα πάλιν προσθεῖς, οὐκ ἤκουσας, ἔφη, τὰ ἔργα δήπουθεν τὰ ἐμᾶ, καὶ διὰ ταῦτα ἐπόθησας ἐλθεῖν πρὸς ἡμᾶς; πῶς δὲ καὶ ἔθαρσησας τοσούτον τὲ ὑπομεῖναι πλοῦν, κάνταυθα καταλαβεῖν; οὐκ οἶσθᾳ ὅτι γυνὴ εἰ καὶ οὔ σοῦ θεμιτὸν αἱ ἔξοδοι; Ἀλλὰ τοῦτο σοὶ ἐπὶ νοῦν ἦλθεν ὡς ἔοικε τὸ ἐπανελθεῖν αὖθις εἰς Ρώμης καὶ δῆλον καὶ ταῖς ἄλλαις γυναιξὶ θέσθαι, ὅτι τεθέαμαι τὸν Ἀρσένιόν το δὲ ἐντεῦθεν ἔμπλεων γυναικὼν θεῖναι τὴν θάλασσαν πρὸς ἡμᾶς φοιτᾶν οὐδέποτε παυομένων.

(*) Φεύγων ο Οσιος Μαρτινιανός από τόπον είς τόπον έφθασε τέλος και εις τας Αθήνας ένθα και ετελειώθη κατά την ιδίαν εκείνην ημέραν της ενταύθα αφίξεώς του και δη εν τω Ιερό Ναό των Εισοδείων της Θεοτόκου της επιλεγομένης Καπνικαρέας. (Βλέπε περί του Αγίου τούτου εν τώ ημετέρω «Μεγάλο Συναξαριστή της Ορθοδόξου Εκκλησίας» Τόμος Β' σελ. 316)

ΥΠΟΘΕΣΙΣ ΚΘ΄ (Να αποφεύγουμε τις γυναίκες και όσα μας ερεθίζουν)

Ἡ δέ, οὐκ ἐάσω, Πάτερ, ἔφη, τοῦ θεοῦ μου συμπράττοντος, οὐδὲ μίαν ἐνταῦθα των γυναικῶν ἀφικέσθαι, ἀλλ' αὐτὸς ὑπερεύχεσθαί μου καὶ μνημονεύειν μὴ διαλείποις. Καὶ ὅς, εὔχομαι τῷ Θεῷ, εἶπε, μᾶλλον τῆς ἔμης καρδίας τὴν σὴν ἀπαλειφθῆναι μνήμην.

Τοῦτον ἀκούσασαν ἐκείνην πλείστη περιέσχε βαρυθυμία, πυρετὸς τὲ αὐτῆς καθίκετο, καὶ πρὸς Ἀλεξάνδρειαν ὑποστρέφειν ἔγνω, ὅπερ ἐπεῖ εἰς ἀκοᾶς ᾖλθε τῷ Ἐπισκόπῳ, πρὸς ἐπίσκεψιν αὐτῆς ὡς τάχος ἐφοίτα.

Εἶτα καὶ τὴν αἰτίαν, ἥτις εἴη τῆς νόσου, ἐρόμενος καὶ μαθῶν, πράως αὐτὴν ὑπήει καὶ ὁμαλῶς, οὐκ ἔδει σε, λέγων, ἐφ' οἷς ἤκουσας, οὕτως ἀνιαθῆναι οὐδὲ γὰρ ἀπεχθείας οἱ λόγοι, ἀλλ' ἀσφαλείας ἀκραιφνεστάτης, ἐπεῖ μηδὲ σὺ ἀγνοεῖς οἵους σύνηθές το πονηρὼ πολέμους διὰ γυναικῶν ἐγείρειν τοῖς Θεῶ δουλεύειν προελομένοις. “Οπερ οὖν ἔφη σοὶ ὁ γέρων, διὰ τοῦτο ἔφη ἔπει ἐκεῖνος οὐ παύσεται, οὐ μεγοῦν τῆς σῆς ψυχῆς, ἀλλὰ καὶ πάντων των Χριστιανῶν ἀδιαλείπτως ὑπερευχόμενος. Τούτοις ἡ γυνὴ τοὺς λόγους ἀσθεῖσα τὴν λύπην, οἴκαδε ἐπανήει.

Ερμηνεία

ΟΤΑΝ Ο Μέγας Αρσένιος έμενε κοντά εις τον Κάνωπον (ένα από τα επτά στόμια του Νείλου), ήλθεν από την Ρώμην κάποια Συγκλητική, πάρα πολύ πλουσία και θεοσεβής, διά να γνωρίση τον Όσιον και να τον τιμήση με κατά Θεόν φιλοφροσύνας. Την συγκλητικήν αυτήν υπεδέχθη και έφιλοξένησεν ο Αρχιεπίσκοπος Θεόφιλος, τον οποίον παρεκάλει επίμονα να πείση τον Αγιον να της επιτρέψη να τον ίδη.

Ο Αρχιεπίσκοπος επήγε, πραγματικά, και τον παρεκάλει επιμόνως. Εκείνος όμως δεν ήθελε να ακούση τίποτα, αν και ο Αρχιεπίσκοπος, διά να τον πείση, επρόσθεσεν, εκτός των άλλων, και τον κόπον από το μήκος της μεγάλης οδού με αυτά δε προσπαθούσε να πείση τον Αρσένιον. Όταν δε έμαθεν αυτό ή Συγκλητική εστενοχωρήθη, διότι την επαρακινούσαν και η ευλάβεια που έτρεφε προς τον Οσιον και ο πόθος, χάριν των οποίων παρέβλεψε, πραγματικά, και κόπον και αξιοπρέπειαν και όλα και επήρε τον δρόμον που θα την έφερε προς αυτόν, επειδή ήθελε να τον ίδη.

Ηλθε λοιπόν και συνήντησε τον Αγιον έξω από το κελλί του, και έπεσεν εις τα πόδια του. Ο Αγιος την εσήκωσε θυμωμένος και αφού την εκοίταξε καλά, της είπε:

- Αν θέλης να ίδης το πρόσωπόν μου, βλέπε το.

Εκείνη τότε κατελήφθη από φόβον και εντροπήν και ούτε απλώς να τον κοιτάξη δεν ημπόρεσεν.

Εν συνεχεία προσέθεσεν ο "Αγιος:

- Δεν επληροφορήθης τα έργα μου από πουθενά και δι' αυτό έπεθύμησες να έλθης κοντά; Πώς επηρες το θάρρος να επιχειρήσης τόσον μακρινόν ταξίδι και να έλθης εδώ; Δεν γνωρίζεις ότι είσαι γυναίκα και δεν σου επιτρέπεται να κάμνης τέτοια ταξίδια; Αλλ' όπως φαίνεται έβαλες εις τον νούν σου να επανέλθης πάλιν εις την Ρώμης και να γνωστοποιήσης και εις τας άλλας γυναίκας, ότι είδα τον 'Αρσένιον, και με αυτό να γεμίσης την θάλασσαν από γυναίκας, αι οποίαι δεν θα παύσουν συνεχώς να μας επισκέπτονται.

Η γυναίκα εκείνη (η συγκλητική) του απήντησε:

-Με την βοήθειαν του Θεού, Πάτερ, δεν θα αφήσω να έλθη εδώ ούτε μία γυναίκα αλλά συ (σε παρακαλώ) μη παύσης να προσεύχεσαι εις τον Θεόν δι' έμε και να με μνημονεύης.

Και εκείνος της είπε πάλιν:

-Αντιθέτως θα παρακαλώ τον Θεόν να σβύση από την καρδίαν μου ή ενθύμησίς σου.

Μόλις το ήκουσεν αυτό εκείνη, κατελήφθη από μεγάλην λύπην και την κατέλαβε πυρετός έσπευσε δε να επιστρέψη εις την Αλεξάνδρειαν. "Όταν έμαθεν αυτό το πράγμα ο Επίσκοπος, έτρεξεν αμέσως να την επισκεφθή. Αφού δε έμαθε ποία ήτο η αιτία της ασθενείας της, ήρχισε να την παρηγορή με καλόν και ήρεμον τρόπον. Δεν έπρεπε – της είπε – να λυπηθής τόσον πολύ δι' όσα ήκουσες, διότι τα λόγια αυτά δεν προέρχονται από μίσος, αλλά από καθαράν διάθεσιν (πνευματικής) ασφαλείας. Αλλωστε ούτε και συ αγνοείς ποίους πολέμους συνηθίζει να ξεσηκώνη ο πονηρός, με τας γυναίκας, εναντίον εκείνων, οι οποίοι απεφάσισαν να δουλεύσουν τον Θεόν ως Μοναχοί. Όσα σου είπε λοιπόν και Γέρων, δι' αυτό τα είπε: διότι εκείνος δεν θα παύση να προσεύχεται αδιαλείπτως όχι μονάχα διά την ψυχήν σου, αλλά και δι' όλους τους Χριστιανούς.

Με αυτούς τους λόγους παρηγορήθη η γυναίκα διά την λύπην της και επέστρεψεν εις την πατρίδα της.

Ζ'. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ἤρωτησε γέροντα λέγων· ἐὰν ἐξέλθη ἀδελφὸς εἰς διακονίαν καὶ συναντήση αὐτὴ γυνὴ κατὰ τὴν ὁδόν, πῶς δύναται φυγεῖν τὸν πόλεμον τῆς πορνείας; Καὶ ἀπεκρίθη ὁ γέρων τὸν πόλεμον ἴσως οὐ δύναται φυγεῖν, τὴν δὲ πρᾶξιν δύναται ἔκφυγειν, ἐὰν σιωπήση τὴν ὥραν τῆς ἀπαντήσεως. "Ὡς πὲρ γὰρ τὸ πυρέκβολον συγκρουόμενον μετὰ τοῦ θειαφίου ἐκβάλλει τὸ πῦρ, οὕτως ἡ λαλιὰ τῆς γυναικὸς συγκρουομένη μετὰ ἀνδρὸς τὴν ἁμαρτίαν ἐργάζεται.

2. Εἶπεν ὁ Ἀββᾶς Ἰσαὰκ μὴ καταδέχθητε οἱ μοναχοὶ συνοικεῖν μετὰ παιδίων: τέσσαρες γὰρ Ἐκκλησίαι εἰς σκήτιν ἔρημοι γεγόνασι διὰ τὰ παιδία.

3. Εἶπε γέρων, ὅτι παιδίον βάλλον τὸν λόγον αὐτοῦ μεταξύ των μειζοτέρων αὐτοῦ, ὅμοιον ἔστιν ἀνθρώπω ρίπτοντι πῦρ ἐν τῷ κόλπο τοῦ ἀδελφοῦ αὐτοῦ.

Ερμηνεία

ΕΝΑΣ αδελφός ήρώτησεν ένα Γέροντα:

- Αν ένας Μοναχός μεταβαίνη δι' υπηρεσίας και τον συναντήση γυναίκα εις τον δρόμον του, πώς μπορεί να αποφύγη τον πόλεμον της πορνείας;

Ο Γέρων του απεκρίθη:

– Τον πόλεμον ίσως δεν μπορεί να τον αποφύγη: την πράξιν όμως ήμπορεί να αποφύγη, αν δεν ομιλήση την ώραν της συναντήσεως. Διότι όπως η τσακμακόπετρα, όταν συγκρουσθή με το θειάφι, βγάζει την φωτιάν, έτσι και η ομιλία της γυναίκας, όταν συναντηθή με άνδρα, ετοιμάζει την αμαρτίαν.

2. Ο Αββάς Ισαάκ είπε: μη δέχεστε καθόλου οι Μοναχοί να μένετε στο ίδιον κελλί με παιδιά διότι τέσσαρες Εκκλησίαι ερημώθησαν εις την σκήτην δια τα παιδιά.

3. Ένας Γέρων είπε: παιδί που συνομιλεί μεταξύ των μεγαλυτέρων του, όμοιάζει με άνθρωπος που ρίπτει φωτιάν εις τον κόλπον του αδελφού του.

Η'. Του Αγίου Εφραίμ

ΑΔΕΛΦΕ, ἐὰν διαλέγῃ πρὸς ἡλικίας νεάζουσαν καὶ τὴ εὐχροία ἐπανθοῦσαν, τήρει τὸν ὀφθαλμόν, μήποτε ἡ ἐπιθυμία ἐπιθολώση σου τὸν νοῦν καὶ ἄρξῃ ἀποτείνεις λόγους ἐμπαθεῖς, καὶ εὑρεθῆς ἄκροις μὲν χείλεσι περὶ σωφροσύνης ὁμιλῶν, ἀσελγαίνων δὲ τὴ

ψυχή. Ἀλλ' ὅταν ἐμπέσῃ σοὶ τοιαύτη ὁμιλία, τὰ πλείονα κάτω νεύων διαλέγου, καὶ διὰ συντόμου τὸν λόγον ἀποτεμῶν, ἐπιλαβοὺ τῆς σιωπῆς. Φησὶ γὰρ ἡ γραφὴ ἀποπλάνησε δὲ αὐτὸν πολλὴ ὁμιλία.

Ερμηνεία

ΑΔΕΛΦΕ, αν συνομιλής με νεαρόν άνθρωπος που λάμπει από την ωραιότητα της νεότητος, πρόσεχε τον οφθαλμόν σου μη τυχόν η επιθυμία σου θολώση τον νούν και αρχίσης να απευθύνης λόγια εμπαθής έτσι θα καταντήσης να ομιλής με τα χείλη σου περί σωφροσύνης, ενώ στην ψυχήν σου θα ασελγαίνης. Όταν σου τύχη μία τέτοια ομιλία, να συνομιλής με τα μάτια χαμηλωμένα κάτω και αφού τελειώσης σύντομα την συνομιλίαν, να επαναλάβης και πάλιν την σιωπήν. Διότι η Αγία Γραφή λέγει: απεπλάνησε τον εαυτόν του με πολλήν ομιλίαν (Παροιμ. ζ', 21).

Θ'. Αντιόχου του Παντέκτου

ΚΑΛΟΝ ἐστι, ἀδελφοί, καὶ ἁρμόδιον ἡμὶν τοῖς ἅπαξ φυγοῦσε τὸν κόσμον καὶ ἐπαγγείλαμενοις Θεῶ ἅγνους ἑαυτοὺς καὶ ἀσπίλους τηρῆσαι, τοῦ ἀπέχεσθαι τῆς τῶν γυναικὼν ὁμιλίας, εἰ δυνατὸν καὶ τῆς θέας. Ἡ γὰρ τῆς γυναικὸς ὄψις βέλος ἐστὶ γέμον φαρμάκου, καὶ ἢν ἂν τρώση ψυχήν, εὐθὺς ἐν αὐτῇ τὸν ἰὸν ἀποτίθεται, καὶ ὅσον χρονίζει, τοσούτον πλείονα τὴν σῆψιν ἐργάζεται καὶ ὡς πὲρ σπινθὴρ χρογίσας ἐν ἀχύροις ἐγείρει φλόγα, οὕτω μνήμη γυναικὸς παραμένουσα ἐξάπτει ἐπιθυμίαν" καὶ ὡς πὲρ τὴν τοῦ λύχνου λαμπάδα τρέφει ἔλαιον, οὕτω καὶ τὸν τῆς ἡδονῆς πυρσὸν ἐξάπτει ἥ της γυναικὸς συντυχία. Φύγωμεν οὖν ἀπ' αὐτῶν, ἀγαπητοί, ὅτι δηλητήριον εἰσιν αἱ αὐτῶν συντυχίαι καὶ εὐχερῶς ἀναιρούσι τὰς ψυχᾶς ἡμῶν.

Ἀκούσωμεν δὲ τί περὶ αὐτῶν καὶ ἡ θεία διαγορεύει γραφή. Λέγει οὖν καὶ Παροιμιαστὴς «διὰ γυναικὸς ἀρχὴ ἁμαρτίας καὶ δι' αὐτῆς ἀποθνήσκομεν πάντες» καὶ ἐπάγει: «μὴ δῶς ὕδατι διέξοδον, μηδὲ γυναικὶ παρρησίαν ἐπί σε». Καὶ πάλιν «υἱέ μου, μὴ σὲ νικήση κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῆς σοῖς βλεφάροις, ὅτι γυνὴ ἀνδρῶν ψυχᾶς τιμίας ἀγρεύει πλανὰ γὰρ τὸν ἄνθρωπος πολλὴ ὁμιλία, βρόχοις τὲ τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτὸν δ δὲ ἐπηκολούθησεν αὐτὴ κεπφωθεῖς, καὶ ὡς πὲρ βοὺς ἐπὶ σφαγὴν ἄγεται, ἢ ὡς κύων ἐπὶ δεσμούς, οὐκ εἰδῶς ὅτι περὶ ψυχῆς τρέχει. Μὴ οὖν ἔκκλινατω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, πολλοὺς γὰρ τρώσασα κατέβαλε, καὶ ἀναρίθμητοι εἰσιν οὗς πεφόνευκεν ὁδοὶ γὰρ ᾅδου ὁ οἶκος αὐτῆς καταγουσαι εἰς τὰ ταμεῖα τοῦ θανάτου. Μακρὰν δὲ ποίησον ἀπ' αὐτῆς σὴν ὁδὸν καὶ μὴ ἐγγίσης πρὸς θύραις οἴκου αὐτῆς, ἵνα μὴ πληθῶσιν ἀλλότριοι σῆς ἰσχῦος καὶ μεταμεληθῆς ἐπ' ἐσχάτων».

ΥΠΟΘΕΣΙΣ ΚΘ΄ (Να αποφεύγουμε τις γυναίκες και όσα μας ερεθίζουν)

Τούτω οὖν καὶ ἡμεῖς πειθώμεθα, καὶ μακρύνωμεν ἑαυτοὺς τῆς τῶν γυναικῶν θέας καὶ ὁμιλίας. Ἠκούσαμεν γὰρ περὶ τοῦ Σαμψῶν τοῦ Ναζιραίου, μεθ' οὗ πνεῦμα Κυρίου ἐπορεύετο, πῶς διὰ γυναικὸς εἰς τὸν τῆς ἀπωλείας κατηνέχθη βυθὸν καὶ Δαβὶδ δὲ ὁ Προφήτης ἐκ τῆς ἄφυλακτου θέας ἁλούς, τὴ μοιχεία τὸν φόνον ἐπισυνῆψε καὶ μυρίοις διὰ ταῦτα κακοῖς περιέπεσε. Τί δὲ ὁ Σολομῶν καὶ ἔχων σοφίαν ὑπὲρ ψάμμον, φρόνησιν τὲ καὶ χύμα καρδίας καὶ πλοῦτον, καὶ δόξαν πολλὴν ὑπὲρ πάντας ἀνθρώπους, οὐχὶ καὶ ὁ τηλικοῦτος διὰ γυναικὸς κατηνέχθη καὶ ἀποστάτης Κυρίου ἐγένετο; Καὶ οἱ πρεσβύτεροι δὲ καὶ κριται τοῦ λαοῦ ἀπερισκέπτως ὀρῶντες, καὶ ἀλλοτρίω κάλλει προσέχοντες, ἐπειδὴ σφοδρᾶν ἑαυτοῖς τὴν τῆς ἐπιθυμίας ἐξέκαυσαν κάμινον, καὶ ἐπαναστάντες τὴ μακαρία Σωσάννη ταύτης περιγενέσθαι οὐκ ἴσχυσαν, εἶς κατηγορίαν ψευδῆ μετετράπησαν, καὶ τὴ ἀθώω ἀδίκως περιήψαν τὸ ἑαυτῶν ἔγκλημα ἀλλὰ φωραθέντες βιαίω θανάτω ἀπώλοντο.

Κρεῖττον οὖν προσεγγίσαι πυρὶ καιομένω ἢ γυναικὶ πυρὸς μὲν γὰρ εἰ ἅψη, ὀδυνηθεῖς ἥδεως ἀναχωρήσεις. Εἰ δὲ γυναικὶ πλησιάσας προσέξεις τοὺς αὐτῆς ρήμασι καὶ πληθύνας μετ' αὐτῆς ὁμιλίαν, οὐκέτι ἀναχωρῆσαι δυνήση, καὶ μάλιστα εἰ νέος εἰ καὶ τὸν λογισμὸς ἀσθενής, ἀλλὰ κινδυνεύσεις ἐμπλακεῖς τοὺς δικτύοις αὐτῆς ὡς τὰ ἐμπεσόντα ζῳύφια τῷ τῆς ἀράχνης ἰστῶ.

Χρὴ οὖν τῷ τὴν ἁγνείαν φυλάττειν ἐθελοντι, φεύγεις ἀπ' αὐτῆς, ὡς φεύγει τὶς ἀπὸ ὄφεως διότι θανατηφόρος ἰὸς ἔστι τὴ ψυχὴ οὐ μόνον ἡ ταύτης ὁμιλία, ἀλλὰ καὶ ἡ περὶ αὐτὴν ἐνθύμησις. Οἶνος γὰρ φησι καὶ γυναῖκες ἀποστήσουσι καρδίας σοφῶν καὶ ὁ Ἐκκλησιαστῆς, «πικρότερον ὑπὲρ θάνατον καὶ χολὴν συντυχεῖν γυναικί». Τοῦτο δὲ τὸ πάθος καὶ ὁ φιλοψῦχος Κύριος ψυχοφθόρον εἰδῶς καὶ ὀλέθριον, ἀπεφήνατο λέγων· «πᾶς ὁ ἔμβλεψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἔμοιχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

Ερμηνεία

ΚΑΛΟΝ είναι, αδελφοί μου, και ταιριάζει εις ημάς που έφυγαμεν από τον κόσμον και υπεσχέθημεν εις τον Θεόν να διατηρηθώμεν αγνοί και άσπιλοι, να αποφεύγωμεν συναναστροφές με γυναίκας, εάν είναι δυνατόν ούτε να τας βλέπωμεν. Το πρόσωπος της γυναικός είναι βέλος φαρμακερόν και οποιανδήποτε ψυχήν πληγώση, χύνει αμέσως εις αυτήν το δηλητήριον: όσον δε περισσότερος χρόνος παραμένει, τόσον μεγαλυτέραν κάμνει την σηψιν. Οπως δε σπίθα που θα παραμείνη πολύ εις τα άχυρα, σηκώνει φλόγα, έτσι και ενθύμησις γυναικός, η οποία μένει, εξάπτει την επιθυμίαν και όπως την λάμψιν του λύχνου την τροφοδοτεί το έλαιον, έτσι και την φωτιά της ηδονής την εξάπτει η συναναστροφή της γυναικός. Ας φύγωμεν λοιπόν, αγαπητοί μου,

από αυτάς, διότι η συντροφιά των είναι δηλητήριον και εύκολα φονεύουν τας ψυχάς μας.

Ας ακούσωμεν τί μάς πληροφορεί δι' αυτάς και η Αγία Γραφή. Λέγει λοιπόν ο Παροιμιαστής. «από γυναίκα ήρχισεν η αμαρτία και εξ αιτίας της αποθνήσκομεν όλοι» (Σοφ. Σειρ. κε', 24): και καταλήγει: «να μη δώσης διέξοδον εις το νερόν ούτε εις την γυναίκα θάρρος απέναντί σου» (Αυτόθι 25). Και πάλιν (λέγει ο Παροιμιαστής: «υιέ, να μη σε νικήση ή επιθυμία ωραιότητος γυναικός, ούτε να παρασυρθής από τα βλέφαρά σου, διότι η γυναίκα τραβά εις το κακόν τιμίας ψυχάς ανδρών» (Παροιμ. στ', 25-26). Πλανεύει τον άνθρωπος με την πολλήν συναναστροφής και με τα βρόχια των χειλέων της τον παρέσυρεν εις την αμαρτίαν εκείνος εξαπατηθείς την ηκολούθησε και οδηγείται από αυτήν, ωσαν το βόδι, εις σφαγήν, ή όπως ο σκύλος διά να τον δέσουν, χωρίς να γνωρίζη ότι τρέχει διά να χάση την ψυχήν του. Ας μη παρασυρθή λοιπον εις τους δρόμους της η καρδιά σου, διότι ενίκησε πολλούς αφού τους έτραυμάτισε και αναρίθμητοι είναι εκείνοι, τους οποίους εφόνευσε. Διότι δρόμοι Αδου είναι το σπίτι της, που οδηγούν εις τας φυλακές του θανάτου: ας είναι μακράν απ' αυτήν ο δρόμος σου και μη πλησιάσης την θύραν του σπιτιού της, διά νά μή καρπωθούν οι ξένοι από την δύναμιν σου και εις το τέλος μετανοήσης» (Παροιμ. ε΄, 8-11).

Ας πειθαρχήσωμεν λοιπόν και ημείς εις τον ιερόν συγγραφέα και ας απομακρυνθώμεν από την συναναστροφήν γυναικών, και ούτε να τας βλέπωμεν. Έχομεν ακούσει ακόμα και διά τόν Σαμψών τον Ναζιραίον, με τον οποίον συνεπορεύετο Πνεύμα Κυρίου, ότι από την γυναίκα κατεκρημνίσθη εις τον βυθόν της απωλείας. Και ο Δαβίδ ο Προφήτης εκυριεύθη από το απρόσεκτον βλέμμα, και διέπραξε μαζί με την μοιχείαν και τον φόνον εξ αιτίας δε αυτών περιέπεσεν εις αναρίθμητα δεινά.

Τι μας διδάσκει και ο Σολομών, ο οποίος είχε σοφίαν, περισσοτέραν και από την άμμον, φρόνησιν και μεγαλοψυχίαν, πλούτη και δόξαν πολλήν, περισσότερον από όλους τους ανθρώπους; Μήπως και αυτός, εξ αιτίας της γυναικός, δεν έπεσεν εις την αμαρτίαν και έγινεν αποστάτης Κυρίου; Τι έπαθαν δε και οι πρεσβύτεροι και οι κριται του λαού με το να ιδούν ασυλλόγιστα και να προσέξουν ξένην ωραιότητα; Επειδή ήναψαν έτσι μέσα των σφοδραν την φλόγα της επιθυμίας, επετέθησαν εναντίον της μακαρίας Σωσάννας, αλλά δεν ήμπόρεσαν να την νικήσουν. Δι' αυτό μετετράπησαν εις ψευδείς κατηγόρους και απέδωσαν εις την αθώαν το ιδικόν των έγκλημα. Απεκαλύφθησαν όμως και απέθανον με βίαιον θάνατον!,

Είναι προτιμότερον να πλησιάσωμεν την αναμμένην φωτιάν παρά την γυναίκα διότι αν εγγίσης την φωτιάν, εύκολα θα απομακρυνθής, επειδή θα πονέσης. Αν πλησιάσης όμως γυναίκα και θαυμάσης τα λόγια της και πυκνώσης την συναναστροφήν σου μαζί της, δεν θα ήμπορέσης πλέον να φύγης και μάλιστα αν είσαι νέος και ο λογισμός σου είναι ασθενικός αλλά θα κινδυνεύσης να εμπλακής εις τα δίκτυά της, όπως τα ζωύφια που έπεσαν εις τον ιστόν της αράχνης.

Αυτός που θέλει να φυλάττη αγνείαν πρέπει να φεύγη από την γυναίκα, όπως φεύγει κανείς από τον όφιν· διότι διά την ψυχήν είναι θανατηφόρον δηλητήριον όχι μονάχα η συντροφιά μαζί της, αλλά και η ενθύμησής της. Οίνος – λέγει – και γυναίκες θα παρασύρουν καρδίας σοφών (Σοφ. Σειρ. ιθ', 2). Και ο Εκκλησιαστής λέγει, ότι είναι πικρότερον και από τον θάνατον και από την χολήν το να συναναστραφής γυναίκα (Έκκλησ. ζ', 27). Επειδή δε και ο φιλόψυχος Κύριος εγνώριζεν ότι είναι ψυχοφθόρον και καταστρεπτικόν αυτό το πάθος, είπε: «κάθε ένας που θα κοιτάξη με αμαρτωλήν εμπάθειαν γυναίκα, δια να την επιθυμήση, ήδη διέπραξε μαζί της την μοιχείαν εις την καρδίαν αυτού» (Ματθ. ε', 28).

Ι'. Του Αββά Ησαΐου

ΕΑΝ ἀπέρχῃ εἰς κώμην ἢ εἰς πόλιν, οἱ ὀφθαλμοί σου ἔστωσαν βλέποντες κάτω, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου πορευομένω δὲ ἐὰν εἴπῃ σου γυνή, εἰρήνη σοί, ἀποκρίθητι αὐτὴ ἐν τῇ καρδίᾳ σου κάτω προσέχων τοῖς ὀφθαλμοῖς. "Ἕως δὲ ἱματιων γυναικών, ἐὰν δύνῃ, μὴ προσχῃς. Μὴ καταδέξῃ ἐσθίειν μετὰ γυναικὸς ἢ ἔχεις φιλίαν μετὰ νεωτέρων, μηδὲ κοιμηθῆναι νεώτερον ὄντα μετὰ τινὸς εἰς ἐν ψιάθιον, εἰμὴ μετὰ τοῦ ἀδελφοῦ σου ἢ τοῦ Ἀββᾶ σου, καὶ τοῦτο μετὰ φόβου, καὶ μὴ μετὰ καταφρονήσεως.

Ερμηνεία

ΑΝ πηγαίνης εις χωρίον ή εις πόλιν, τα μάτια σου να βλέπουν κάτω, δια να μη ξεσηκώσης μέσα σου πολέμους, όταν θα επιστρέψης είς το κελλί σου. "Αν σου είπή μία γυναίκα «ειρήνη σοι», καθώς θα προχωρής εις τον δρόμον σου, απάντησε της μέσα εις την καρδιά σου (χωρίς να ακουσθής), ενώ τα μάτια σου να κοιτάζουν κάτω (το έδαφος). 'Ακόμη και φορέματα γυναικών μη προσέξης, εάν ήμπορης. Μή δεχθής να τρώγης μαζί με γυναίκα ή να έχης φιλίαν με νεαρούς ούτε να κοιμηθής, αν είσαι

νέος, με άλλον επάνω εις την ιδίαν ψάθαν, εκτός από τον αδελφόν σου ή τον Αββάν σου και αυτό να το κάνης με φόβον και όχι από περιφρόνησιν προς τον κίνδυνον.

ΙΑ'. Εκ του Αγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἀποστελλόμενος εἴς τινὰ ἀπόκρισιν τοῦ Κοινοβίου μακρὰν ἀπέχοντος, ἠρώτησε τὸν γέροντα, εἰ καλούμενος ὑπὸ ἀγαπητῶν καταδέξηται συνεσθίειν γυναιξί. Καὶ ἀπεκρίθη ὁ γέρων μὴ δεῖν συνεσθίειν αὐταῖς ὅλως. Καὶ εἶπεν ὁ ἀδελφὸς καὶ πόθεν οἶδα, ὅτε καλοῦμαι ὑπὸ τινός, εἰ μέλλει ἐλθεῖν γυνὴ συμφαγεῖν ἡμὶν ἵνα μὴ ἀπέλθω;

Ἀπεκρίθη ὁ γέρων: ἐρώτησαν τὸν καλοῦνται σε, εἰ ἔστιν ἐκεῖ γυνή, καὶ ἐὰν εἴπῃ, ὅτι ναί, παραιτήσου λέγων" συγχώρησον μοί, ὅτι ἐντολὴν ἔχω μὴ συνεσθίειν γυναικί. "Ἔφη ὁ ἀδελφὸς ἐὰν δὲ ἐπιλαθόμενος ρωτησαι ἀπέλθω, καὶ συμβῇ ἔχειν γυναῖκα καὶ μετ' ἐμοῦ ἔλθη εἰς τὴν τράπεζαν, τί ποιήσω; Ἀπεκρίθη ὁ γέρων" οφείλεις λαβεῖν ἰδία τὸν καλέσαντά σε καὶ εἴπειν αὐτῷ. Συγχώρησον μοί, ὅτι ἐπελαθόμην σοὶ προειπεῖν , ὅτι ἐντολὴν ἔχω μὴ συμφαγεῖν γυναικί, ἀλλὰ ἀπολυσὸν μὲ καὶ ὑπάγω κὰν ἀποστάσῃ τὴν γυναῖκα, μεῖνος εἰ δὲ μή, ἀναχώρησον, καὶ μὴ παρατρώσῃς τὴν ἐντολήν, ἵνα μὴ γεννηθῇ θάνατος ἐκ τῆς παρακοῆς καὶ μὴ φοβηθῆς, οὐ γὰρ γίνεται εἰς σκάνδαλον, ἀλλ' εἰς οἰκοδομῆς.

Ερμηνεία

ΕΝΑΣ αδελφός, που τον έστελναν σε κάποια υπηρεσίαν, μακρυά από το Κοινόβιον, ηρώτησε τον Γέροντα άν, εις περίπτωσιν που τον προσκαλούσαν αγαπητά πρόσωπα, ήμπορούσε να δεχθή να συμφάγη με γυναίκας. Ο Γέρων του απήντησε πως δεν πρέπει καθόλου να συμφάγη με αυτάς.

– Και από πού θα ηξεύρω, όταν με καλή κάποιος, ότι πρόκειται να έλθη να φάγη μαζί μας γυναίκα διά νά μή υπάγω;

– Να έρωτήσης αυτόν, που σε προσκαλεί – απήντησεν ο Γέρων – αν υπάρχη εκεί γυναίκα και αν σου απαντήση ναί, να μη δεχθής την πρόσκλησιν. Συγχώρησέ με, να του είπης, έχω την εντολήν να μη συντρώγω με γυναίκας.

Ο αδελφός ήρώτησε πάλιν:

- Αν λησμονήσω να έρωτήσω και υπάγω και υπάρχη εκεί γυναίκα και προσέλθη να φάγη μαζί μου εις το τραπέζι, τι να κάνω;

Εις αυτό ο Γέρων απεκρίθη:

– Τότε οφείλεις να καλέσης ιδιαιτέρως αυτόν, που σε προσεκάλεσε και να του είπης: συγχώρησέ με, διότι ελησμόνησα να σου είπω από πρίν, ότι έχω εντολήν να μη φάγω μαζί με γυναίκα δώσε μου λοιπόν την άδειαν να φύγω.

Αν εκείνος διώξη την γυναίκα, μείνει διαφορετικά φύγε συ και μη παραβιάσης την εντολήν, διά νά μή προέλθη θάνατος από την παρακοήν. Μή φοβηθής, διότι αυτό δεν γίνεται προς σκανδαλισμόν, αλλά πρός οικοδομήν.

ΙΒ'. 'Εν τω Γεροντικώ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Μακάριος· μὴ κοιμηθῆς εἰς κελλίον ἀδελφοῦ ἔχοντος κακὴν φήμην.

2. Ἔλεγον οἱ Πατέρες, ὅτι ἡ παγὶς τοῦ διαβόλου ἐν τοῖς μοναχοῖς, ὑπὲρ τὰς γυναίκας, τὰ παιδιὰ εἰσίν.

3. Ἔλεγον πάλιν καὶ ποὺ οἶνος καὶ παιδία, οὐκ ἔστι χρεία τοῦ σατανᾶ.

4. Εἶπε γέρων τεκνία, τὸ ἅλας ἐκ τοῦ ὕδατός ἐστι, καὶ ἐὰν προσεγγίση - δατι, λύεται καὶ ἀφανίζεται ὁμοίως καὶ ὁ μοναχὸς ἐκ τῆς γυναικός ἐστι, καὶ ἐὰν προσεγγίση γυναικί, λύεται καὶ ἀπολλυται.

5. Εἶπεν ὁ μαθητὴς τοῦ Ἀββᾶ Σισώη πρὸς αὐτὸν Πάτερ, ἐγήρασας, λοιπὸν ἐγγύς της οἰκουμένης ἀπέλθωμεν. "Ἔφη αὐτὴ ὁ γέρων καὶ ποὺ οὐ καὶ ἕνι γυνή, ἐκεῖ ἀπέλθωμεν. Λέγει ὁ μαθητὴς αὐτοῦ καὶ τὶς ἐστι τόπος, ἐν ᾧ οὐκ ἔστι γυνὴ εἰμὴ μόνον ἡ ἔρημος; Καὶ εἶπεν ὁ γέρων οὐκοῦν ἀρὸν μὲ εἰς τὴν ἔρημον. Ἡσύχασε δὲ οὗτος ὁ γέρων ἐν τῷ ὄρει τοῦ Ἀββᾶ Ἀντωνίου ἔτη ἑβδομήκοντα δύο, οὐκ ὀλίγα καὶ πρότερον ἐν σκήτει διενεγκῶν μετὰ τοῦ Ἀββᾶ "Ὥρ, καὶ ἴδε πὼς καὶ ἔτι ἑαυτὸν ἠσφαλίζετο.

6. Ἀδελφὸς ἤρωτησε γέροντα λέγων" ἐὰν γένηται ἀνάγκη ἐλθεῖν τινὰ εἰς συντυχίαν γυναικός, πῶς δεῖ αὐτὴν ἀπαντῆσαι; Καὶ ἀπεκρίθη ὁ γέρων ἡ ἀνάγκη αὕτη ἐκ τοῦ διαβόλου ἐστι, πολλὲς καὶ ποικίλας προφάσεις ὡς ἀναγκαίας δῆθεν τοῦ δολίου προτείνοντος, ἵνα τὸν ἀγωνιζόμενον κατ' αὐτοῦ μιὰ τοῦτον χειρώσηται καὶ κατενέγκη μεθ' ἑαυτοῦ πρὸς τὸ τῆς ἀπωλείας βάραθρον πλὴν ἐάν, ὡς εἴπας, γένηται πότε ἀνάγκη συντυχίας γυναικί, μὴ ἐάσης αὐτὴν μετά σου λαλῆσαι περισσόν. Καὶ σὺ δὲ ὅταν λαλῇς κεφαλαίωσον ἐν ὀλίγοις ρήμασι, πολλὲς ὑποθέσεις εἶπε καὶ ταχὺ ἀπολυσον αὐτὴν εἰ δὲ χρονίσεις μετ' αὐτῆς, οὐκ ἐκφεύξη τῆς δυσωδίας αὐτῆς, ἀλλ' ὁ λογισμός σου ταύτης πλησθεῖς χαυνωθήσεται καὶ καταπεσεῖται λοιπόν.

7. 'Ἀδελφὸς τὶς ἀπῆλθεν ἐπισκέψασθαι τὴν ἰδίαν ἀδελφὴν ἓν μοναστηρίῳ ἀσθενοῦσαν" ἦν δὲ πιστοτάτη καὶ μὴ καταδεχομένη ἰδεῖν ἄνδρα. "Ἄλλως τὲ μηδὲ βουλομένη τὸν ἴδιον ἀδελφὸν προφάσει αὐτῆς εἷς μέσον γυναικὼν εἰσελθεῖν, ἐδήλωσεν αὐτὸ λέγουσα πορεύου, ἀδελφέ, εὐχόμενος ὑπὲρ ἐμοῦ, καὶ χαριτι Χριστοῦ βλέπω σὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

8. 'Ἀδελφὸς ἦν ὁδεύων μετὰ τῆς ἰδίας μητρός, γραΐδος τυγχανούσης καὶ ὡς ἦλθον ἐπὶ τὸν ποταμόν, οὐκ ἤδυνατο ἡ γραὺς περᾶσαι. Λαβῶν οὖν ὁ υἱὸς αὐτῆς τὸ ἑαυτοῦ μαφόριον περιείλησε τὰς ἰδίας χεῖρας, καὶ οὕτω βαστάσας αὐτὴν ἀπήνεγκεν εἰς τὸ πέραν. Εἶτα λέγει αὐτῶ ἐκείνη τέκνον, διατὶ ἐτύλιξας τὰς χεῖρας σου; "Ο δὲ ἔφη διότι τὸ σῶμα τῆς γυναικὸς πῦρ ἐστι, καὶ ἐκ τούτου ἔρχεται μνήμη ἄλλων γυναικών, καὶ διὰ τοῦτο οὕτως ἐποίησα, ἵνα μὴ τοῦ σώματός σου γυμνοῦ ἅψωμαι.

9. Εἶπεν ὁ Ἀββᾶς Δανιὴλ πρὸς τινὰ ἀδελφὸν ὑπὸ πορνείας ὄχλουμενον" μηδέποτε χαλάσης τὴν χεῖρα σου μετὰ γυναικὸς εἰς πινάκιον καὶ φάγης μετ' αὐτῆς, καὶ ἐν τούτῳ φεύξη τὸν δαίμονα τῆς πορνείας.

10. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ὁ χορταζόμενος καὶ λαλῶν μετὰ παιδιοῦ ἤδη ἐπόρνευσε τῷ λογισμῷ αὐτοῦ.

11. Εἶπεν ὁ Ἀββᾶς Καρίων· ἄνθρωπος μένων μετὰ παιδίου, εἰ μὲν οὐκ ἔστι δυνατός, ἔρχεται κάτω: εἰ δὲ δυνατὸς ὢν, οὐκ ἔρχεται κάτω, τέως οὐ προκόπτει.

12. Ἀναχωρητὴς τὶς ἦν ἐν τοῖς μέρεσιν τῆς Αἰγύπτου, καθήμενος εἰς μονοκελλίον ἐν τῇ ἐρήμῳ, καὶ ἦν ὀνομαστός. Κατ' ἐνέργειαν δὲ τοῦ διαβόλου γυνὴ τὶς ἄσεμνος, ἀκούσασα περὶ αὐτοῦ, ἔλεγε τοῖς νεωτέροις τί θέλετε μοὶ δοῦναι, καὶ καταβάλλω τὸν ἀναχωρητὴν ὑμῶν; Οἱ δὲ συνέθεντο δοῦναι αὐτὴ τί. Καὶ ἐξελθοῦσα ἑσπέρας, ἦλθεν ἐπὶ τὴν κέλλας αὐτοῦ, ὡς πλανωμένη καὶ στάσα παρὰ τὴν θύραν ἔκρουσεν. Ἐξελθῶν δὲ ὁ γέρων καὶ ἰδὼν αὐτὴν ἐταράχθη καὶ εἶπε πῶς ὧδε παραγέγονας; Ἡ δὲ ἀπεκρίθη κλαίουσα πλανωμένη ἦλθον ᾧδες ἀλλὰ ποίησον ἔλεος μετ' ἐμοῦ, καὶ μὴ ἐάσης μὲ ὑπὸ τῶν θηρίων καταβρωθῆναι" καὶ σπλαγχνισθεῖς εἰσήγεγκεν αὐτὴν ἔσω.

Εἶτα ἐν τῇ νυκτὶ ἤρξατο ὁ διάβολος λογισμοὺς ἀκολασίας ὑποσπείρειν αὐτω. Ὁ δέ, γνοὺς τὸν πόλεμον τοῦ ἐχθροῦ, ἔφη πρὸς ἑαυτὸν αἳ μεθοδείαι τοῦ ἐχθροῦ σκότος εἰσίν, ὁ δὲ υἱὸς τοῦ Θεοῦ φῶς ἐστι καὶ ἀναστᾶς ἀνῆψε τὸν λύχνον. Ὡς οὖν ἡ φλὸξ τῆς ἐπιθυμίας ἔτι ἐν αὐτῷ ηὔξανε καὶ δεινῶς τὸν ἄνδρα ἀνέφλεγε, πάλιν εἶπεν ἐν ἑαυτῷ οἵ τα τοιαῦτα πράττοντες εἰς κόλασιν ὑπάγουσιν ἐντεῦθεν οὖν δοκίμασον, εἰ δύνασαι ὑπενεγκεῖν τὸ πῦρ τὸ αἰώνιον. Καὶ θεῖς τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸ πῦρ ἐν τῷ λύχνῳ, οὐκ ἦρεν αὐτὸν ἕως τελείως ἑκάη" τὴ γὰρ ὑπερβολὴ τῆς πυρώσεως τῆς σαρκός, καιόμενος ὑπὸ τοῦ πυρός, οὐ τοσούτον ἤσθανετο. Καέντος οὖν τοῦ πρώτον τεθέντος,

ἐξῆς τὸν δεύτερον ἔθηκεν, εἶτα τὸν τρίτον, καὶ οὕτω ποιῶν ἕως πρωΐας πάντας τους τῶν χειρῶν αὐτοῦ δακτύλους κατέκαυσεν.

Ἐκείνη δὲ ἡ ἀθλία, δρώσα & ἐποίει ὁ γέρων καὶ πῶς ἑαυτοῦ τοὺς δακτύλους κατέκαυσεν, ἐκ τοῦ φόβου ἀπεπάγῃ καὶ τελείως ἀπέψυξεν. Οἱ οὖν νεώτεροι, οἱ τὰς συνθήκας ποιήσαντες, ὡς γέγονε πρωΐ, ἦλθον πρὸς τὸν ἀναχωρητὴν καὶ ἠρώτησαν αὐτὸν λέγοντες ἦλθεν ὧδε ὀψὲ γυνή; Καὶ ἀπεκρίθη αὐτοῖς ναί, ἔσω κοιμᾶται. Οἱ δὲ εἰσελθόντες εὗρον αὐτὴν νεκράν, εἶτα λέγουσιν αὐτῷ 'Ἀββᾶ, τέθνηκε; Τότε ὁ γέρων, ἀνακαλύψας τὰς χεῖρας αὐτοῦ, ἔδειξεν αὐτοῖς λέγων" ἰδοὺ τί ἐποίησέ μου ἡ θυγάτηρ τοῦ διαβόλου ἀπώλεσέ μου τοὺς δακτύλους. Καὶ διηγησάμενος αὐτοῖς τὰ κατ' αὐτὸν εἶπε γέγραπται, μὴ ἀποδώσης κακὸν ἀντὶ κακοῦ" εὔξωμεθα οὖν νὰ ἀνάστη. Καὶ ποιήσας εὐχὴν ἤγειρεν αὐτὴν καὶ ἀπέλυσεν ἡ δὲ ἀπελθοῦσα, ἔσωφρονησέ του λοιποῦ.

13. Ἔλεγον περὶ τινὸς γέροντος, ὅτι περιπατῶν εὗρεν ἴχνος γυναικὸς ἐν τῇ ὁδῷ, καὶ ἐκάλυψεν αὐτὸ λέγων· μήπως ἴδῃ αὐτὸ ἀδελφὸς καὶ πόλεμον λάβῃ.

14. Ἔλεγον περὶ μεγάλου γέροντος, ὅτι παρέβαλεν εἰς Κοινόβιον, καὶ εἶδε παιδίον ἐκεῖ, καὶ οὐκ ἤθελε κοιμηθῆναι ἐν τῷ τόπῳ. Καὶ λέγουσιν αὐτῷ οἱ μετ' αὐτοῦ ἀδελφοὶ καὶ σὺ φοβεῖ, Ἀββᾶ; Ὁ δὲ εἶπε φύσει οὐ φοβοῦμαι, τέκνα, ἀλλὰ τὶς χρεία ἀργοῦ πολέμου;

13. Ἔλεγον ὅτι ἀπῆλθε πότε ὁ διάβολος καὶ ἔκρουσεν εἰς Κοινόβιον, καὶ ὑπήκουσε παιδίον τοῦ δοῦναι ἀπόκρισιν. Καὶ θεασάμενος ὁ δαίμων τὸ μειράκιον εἶπεν Εἰ σὺ εἰ ἐνταύθα, ἐμοῦ χρεία οὐκ ἔστιν.

16. Ἔλεγον οἱ Πατέρες, ὅτι οὐ φέρει ὁ Θεὸς τὰ παιδιὰ εἰς τὴν ἔρημον, ἀλλ' ὁ σατανᾶς, ἢ νὰ καταστρέφῃ τοὺς εὐσεβῶς θέλοντας ζῆν.

17. Κατάπλευσε πότε πλοῖον ἐπὶ διολκον, καὶ ὥρμησεν εἰς τὸ ὄρος τῶν μοναχῶν. Καὶ ἐξελθοῦσα γυνὴ ἐκ τοῦ πλοίου ἐκάθισεν ἐπὶ βουνοῦ ἀδελφὸς δὲ τὶς ἐθῶν γεμίσαι ὕδωρ ἐκ τοῦ ποταμοῦ, εἶδεν αὐτὴν καὶ ἀνέκαμψε πρὸς τὸν Πρεσβύτερον λέγων" ἰδοὺ παρὰ τὸν ποταμὸν γυνὴ καθέζεται, καὶ οὐδέποτε, 'Ἀββᾶ, γέγονεν ὧδε. Καὶ ἀκούσας ὁ γέρων ἔλαβε τὴν ράβδον, καὶ ἐξελθῶν ἔτρεχε κράζων καὶ λέγων: βοηθεῖτε, ἀδελφοί, ὅτι λησται. Καὶ πάντες ἰδόντες αὐτὸν ἔτρεχον καὶ αὐτοὶ μετὰ ράβδων ἐπὶ τὸν ποταμόν. Οἱ δὲ ναύται, ἰδόντες τὴν ὁρμὴν αὐτῶν, ἐνόησαν καὶ ἁρπάσαντες τὴν γυναῖκα εἰς τὸ πλοῖον, ἔκοψαν τὰ σχοινία καὶ ἀφήκαν τὸ πλοῖον ἀπελθεῖν τὰ ρεύματι.

18. Εἶπε γέρων: ἡ παγὶς τοῦ διαβόλου πρὸς τὸν ἄνθρωπον, καὶ μάλιστα νέον ὄντα, τὸ σῶμα ἐστι, καθὼς καὶ ὁ 'Ἀββᾶς Ἡσαΐας παραγγέλλει λέγων" μὴ κράτησης χεῖρα τινὸς μηδὲ ἐγγίσης σώματι ἀλλοτρίω, ἐκτὸς ἀσθενείας μεγάλης καὶ τοῦτο μετὰ φόβου. Μηδὲ

σοὶ χεὶρ προσεγγίση ἀλλοτρία, μηδὲ προσκυνήση σε, μηδὲ εἴπῃς ποτὲ τινι ἄραι φθείρα ἀπὸ τοῦ πώγωνος ἢ τῆς κεφαλῆς σου ἢ ἐκ τοῦ ἱματιού σου οὗ φορεῖς, μηδὲ συγκοιμηθῆς πλησίον τινὸς τὸ σύνολον ἐν ὅλῃ τὴ ζωή σου. Μηδὲ δώσης ἀσπασμὸν παιδίω μὴ ἔχοντι γένειον, μηδὲ ἐν αὐτῇ τὴ Ἐκκλησία, μηδὲ ἐρχομένων ἀπὸ ξένης, μηδὲ συγγελάσης παιδίω, ἵνα μὴ σοῦ ἀπολῃται ἡ ψυχή, μηδὲ πλησίον αὐτοῦ καθίσης ἢ περιπατήσης. Καὶ ἐν ταῖς χρείαις δὲ τῆς γαστρός σου μὴ καθίσης ὅλως μετὰ ἑτέρου ὁ γὰρ ἀληθινὸς εὐλαβὴς αἰσχύνεται καὶ ἑαυτὸν πολλοὶ δὲ καταφρονήσαντες τῶν πραγμάτων, ὡς μηδαμινῶν, ἐπεσον ἐξ αὐτῶν εἰς βόθρον καὶ ἀπώλοντο ἕκαστον γὰρ κακὸν ἀπὸ μικροῦ ἄρχεται, καὶ οὕτω γίνεται μέγα.

Ερμηνεία

Ο Αββάς Μακάριος είπε να μη κοιμηθής εις κελλί αδελφού που έχει κακήν φήμην.

2. Οι Πατέρες έλεγαν ότι η παγίδα του διαβόλου διά τους Μοναχούς, περισσότερον και από τας γυναίκας, είναι τα παιδιά.

3. Έλεγον πάλιν οι Πατέρες όπου υπάρχει κρασί και παιδιά δεν χρειάζεται ο Σατανάς.

4. Ένας Γέρων είπε: παιδιά μου, το αλάτι βγαίνει απ' το νερό και αν πλησιάση το νερό λειώνει και εξαφανίζεται έτσι και ο μοναχός από την γυναίκα προέρχεται, αν πλησιάση όμως γυναίκα, διαλύεται και χάνεται.

5. Είπεν εις τον Αββάν Σισώην ο μαθητής του:

- Πάτερ μου, έγήρασας: ας υπάγωμεν λοιπόν να κατοικήσωμεν, απ' εδώ και εμπρός, κοντά εις πόλιν.

Ο Γέρων του απήντησεν: – Όπου δεν υπάρχει γυναίκα, εκεί να υπάγωμεν. Ο μαθητής του τον έρωτά τότε:

- Και ποίος τόπος είναι, που να μην υπάρχη γυναίκα, εκτός μονάχα από την έρημον;

- Πήγαινέ με λοιπόν εις την έρημον, του απήντησεν ο Γέρων.

Ο Γέρων δε αυτός ήσκήτευεν εβδομήντα δύο χρόνια είς το όρος του Αββά Αντωνίου και πρίν, όχι και ολίγα, έζησεν εις την σκήτην μαζι με τον Αββάν Ώρ και ιδε πως και τότε ακόμη έπρόσεχε τον εαυτόν του. .

6. Ένας αδελφός ήρώτησε κάποιον Γέροντα:

ΥΠΟΘΕΣΙΣ ΚΘ΄ (Να αποφεύγουμε τις γυναίκες και όσα μας ερεθίζουν)

- Αν παραστη ανάγκη να συναντήση κάποιος μίαν γυναίκα, πώς πρέπει να την συναντήση;

Και ο Γέρων του απήντησεν:

-Η ανάγκη αυτή προέρχεται από τον διάβολον αυτός ο δόλιος δημιουργεί πολλές και διαφόρους προφάσεις ως αναγκαίας, διά να αρπάση με κάποιαν από αυτάς τον αγωνιζόμενον και να τον παρασύρη μαζί του εις το βάραθρον της απωλείας. Ωστόσον, άν, όπως είπες, παρουσιασθή κάποτε ανάγκη να συναντήσης γυναίκα, μή την αφήσης να ομιλήση μαζί σου πολλά λόγια. Και συ, όταν λαλής μαζί της, να είπης αυτά που θέλεις, με ολίγα λόγια, όσαι πολλαι υποθέσεις και αν είναι, και άφησε την να φύγη γρήγορα. Διαφορετικά, αν θα παραμείνης πολλήν ώραν μαζί της, δεν θα αποφύγης τη δυσωδίαν της και λογισμός σου θα γεμίση από αυτήν την δυσωδίαν, θα αδυνατίση και θα υποπέση ύστερα είς την αμαρτίαν.

7. Κάποιος Μοναχός μετέβη να επισκεφθή την αδελφήν του, η οποία ήτο άρρωστη εις Μοναστήριον. Η Μοναχή αυτή ήτο πιστοτάτη και δεν εδέχετο να δη άνδρα άλλωστε δεν ήθελεν ούτε και ο αδελφός της να εισέλθη, εξ αιτίας της, ανάμεσα εις γυναίκας. Δι' αυτό του εδήλωσε: Πήγαινε αδελφέ μου, να εύχεσαι δι' εμέ και με την Χάριν του Χριστού θα σε ιδώ εις την Βασιλείαν των Ουρανών.

8. Κάποιος Μοναχός έπερπατούσε μαζί με την μητέρα του, η οποία ήτο γραία και όταν ήλθον εις τον ποταμόν, δεν ήμπορούσεν η γραία να περάση. Επήρε λοιπόν ο υιός της το μαφόριόν του, ετύλιξε με αυτό τα χέρια του και αφού έτσι την εβάσταξε, την επέρασεν αντίκρυ. "Όταν επέρασαν, του λέγει εκείνη:

– Διατι ετύλιξες, παιδί μου, τα χέρια σου;

–Διότι το σώμα της γυναικός είναι φωτιά, απήντησεν ο Μοναχός, και απ' αυτό έρχεται ενθύμησις άλλων γυναικών. Δι' αυτό έκαμα έτσι, διά να μη εγγίσω το σώμα σου γυμνόν.

9. Είπεν ο Αββάς Δανιήλ εις Μοναχόν, ο οποίος ήνωχλείτο από πορνείαν ποτέ μη απλώσης το χέρι σου μαζί με γυναίκα είς πιάτο και φάγης μαζί με αυτήν: έτσι θα αποφύγης το δαίμονα της πορνείας.

10. Είπεν ο Αββάς Ιωάννης ο Κολοβός: εκείνος που χορταίνει φαγητόν και συνομιλεί με παιδί, επόρνευσεν ήδη με τον λογισμόν του.

11. Ο Αββάς Καρίων είπεν· άνθρωπος, που μένει με παιδί, αν δεν είναι δυνατός, πίπτει εις αμαρτίαν· άν, πάλιν, είναι δυνατός, δεν πίπτει εις αμαρτίαν, αλλά και δεν προκόπτει.

12. Εις τα μέρη της Αιγύπτου εζούσε κάποιος 'Αναχωρητής: αύτός έκατοικούσεν εις ένα μόνον μικρόν κελλί μέσα εις την έρημον και ήτο ονομαστός. Κατά διαβολικής ενέργειαν μία κοινή γυναίκα, όταν έπληροφορήθη δι' αυτόν, είπεν εις τους νέους τί μου δίδετε και εγώ θα παρασύρω εις την αμαρτίαν τον αναχωρητής σας. Εκείνοι συνεφώνησαν να της δώσουν κάτι

Πραγματικά έβγήκε το βράδυ από την πόλιν και ήλθεν έξω από το κελλί του 'Αναχωρητού, ωσάν να είχε χάσει τάχα τον δρόμον. Έστάθη έξω από την θύραν και εκτύπησε. Μόλις έβγήκε ο Γέρων και την είδε, εταράχθη.

- Πώς έφθασες εδώ; την ηρώτησεν εκείνος.

- Έχασα τον δρόμον μου, απήντησεν εκείνη με δάκρυα, αλλά λυπήσου με και μη με αφήσης να καταφαγωθώ από τα θηρία.

Ο Αναχωρητής την ευσπλαγχνίσθη και την έβαλεν εις το κελλί του.

Την νύκτα ήρχισεν ο διάβολος να του φέρνη εις τον νούν του λογισμούς ακολασίας. Έννοήσας τότε εκείνος τον πόλεμον του εχθρού, είπεν εις τον εαυτόν του· αι πονηρίαι του εχθρού είναι σκότος, ο δε υιός του Θεού είναι φώς. Και αμέσως έσηκώθηκε και έναψε τον λύχνον. Επειδή όμως μέσα του έφούντωνε η φλόγα της επιθυμίας και κατέκαιε φρικτά τον ασκητήν, είπε, πάλιν, εις τον εαυτόν του: όσοι κάμνουν αυτά πηγαίνουν εις την κόλασιν· δοκίμασε λοιπόν απ' εδώ αν ήμπορης να υποφέρης το αιώνιον πύρ, και αμέσως έβαλε τον δάκτυλόν του εις την φλόγα δεν τον απεμάκρυνε δε έως ότου εκάη τελείως, διότι από την υπερβολικήν πύρωσιν της σαρκός δεν ήσθάνετο και τόσον τον πόνον από το κάψιμον της φλόγας. 'Αφού εκάηκεν έτσι ο πρώτος δάκτυλος, έβαλε κατόπιν τον δεύτερον, μετά τον τρίτον και έτσι μέχρι το πρωί κατέκαυσεν, όλα τα δάκτυλα των χεριών του.

Εκείνη η αθλία, καθώς έβλεπεν αυτά που έκαμνεν ο Γέρων και ότι έκαυσε τα δάκτυλά του, επάγωσεν από τον φόβον της και εξεψύχησεν.

Οι νέοι που έβαλαν μαζί της το στοίχημα, μόλις εξημέρωσεν, ήλθαν εις τον αναχωρητήν και τον ήρώτησαν: μήπως ήλθεν εδώ χθες το βράδυ κάποια γυναίκα;

– Ναι τους απήντησεν εκείνος. Είναι μέσα και κοιμάται. Οι νέοι εισήλθον εις το κελλί και την εύρον νεκράν. -Αββά, απέθανεν; ερωτούν τον ασκητήν. Εις απάντησιν ο Γέρων τους έδειξε τα χέρια του και τους λέγει:

– Να τι μου έκαμεν η θυγατέρα του διαβόλου μου κατέστρεψε τα δάκτυλα..

Αφού δε τους διηγήθη τι του είχε συμβή, τους είπεν:

– Έχει όμως γραφή: να μη αποδώσης κακόν, διά το κακόν που σου έκαμαν ας προσευχηθώμεν λοιπόν να αναστηθή. Μετά θερμήν δε προσευχήν που έκανε, την ανέστησε και την άφησε να φύγη. Εκείνη έφυγε και από τότε έσωφρονίσθη.

13. Διά κάποιον Γέροντα έλεγον, ότι ενώ έπερπατούσεν, ευρηκεν καθ' οδόν πάτημα γυναίκας και το έσκέπασε. Μήπως το ίδη κανένας αδελφός, έμονολόγησε, και πολεμηθή.

14. Έλεγαν διά κάποιον μεγάλον Γέροντα, ότι επήγεν εις Κοινόβιον και είδεν εκεί ένα παιδί, και δεν ήθελε να κοιμηθή εις εκείνο το μέρος. Οι αδελφοί που τον συνόδευαν (και το είδος αυτό) του είπαν:

– Και συ φοβάσαι, 'Αββά;

– Πραγματικά δεν φοβάμαι αλλά ποία η ανάγκη ματαίου πολέμου;

15. Κάποτε – διηγούνται – μετέβη ο διάβολος εις ένα Κοινόβιον και εκτύπησε την θύραν τον ήκουσεν ένα παιδί και έδωσε την απάντησιν. Μόλις είδεν ο δαίμονας το παιδί, είπεν: εφ' όσον είσαι συ εδώ, εγώ δεν χρειάζομαι.

16. Οι Πατέρες έλεγόν· δεν φέρνει ο Θεός τα παιδιά είς τήν έρημον, αλλά ο σατανάς, διά να καταστρέφη αυτούς που θέλουν να ζουν με ευσέβειαν.

17. Έφθασε κάποτε ένα πλοίον εις δίολκον(*) και άραξεν εις το όρος των Μοναχών. Από το πλοίον έβγήκε μία γυναίκα και εκάθισεν έπάνω εις το βουνόν. Κάποιος αδελφός ήλθε να πάρη νερό από τον ποταμόν, την είδε και επέστρεψεν εις τον

(*) Δίολκος ελέγετο κυρίως ειδικός ξύλινος διάδρομος εις Κόρινθον, που συνέδεε διά ξηράς τάς δύο θαλάσσας (Κορινθιακόν και Σαρωνικός κόλπος). Δι' αυτού εσύροντο τα πλοία από της μιάς θαλάσσης εις την άλλην, διότι τότε δεν είχε κοπή και ισθμός. Έκτοτε δίολκος λέγεται κάθε παρόμοιος διάδρομος, που διευκόλυνε την διά ξηράς μεταφοράς πλοίου από μιάς θαλάσσης εις την άλλην. Ενταύθα πιθανόν να πρόκειται περί τοιούτου ξυλίνου διαδρόμου, που συνέδεε δύο τμήματα του ποταμού Νείλου εις το Δέλτα πλησίον της εκβολής του εις την θάλασσαν.

πρεσβύτερον, προς τον οποίον είπεν εις την όχθης του ποταμού κάθεται μία γυναίκα, Αββά, πράγμα που ποτέ δεν έγινε εδώ. Μόλις το ήκουσεν αυτό ο Γέρων, επήρε το ραβδί του και αφού έβγήκεν από το κελλί του έτρεχε βοηθείτε, αδελφοί, έκραζε και έλεγε, διότι έχουν έλθει λησταί. Και όλοι, μόλις τον είδαν, έτρεχαν και αυτοί με ράβδους προς τον ποταμόν.

Οι ναύται, όταν είδαν την βιαίαν αυτήν επίθεσιν, έκατάλαβαν και ήρπασαν την γυναίκα εις το πλοίον, έκοψαν αμέσως τα σχοινιά και το άφησαν να παρασυρθή από το ρεύμα.

18. "Ένας Γέρων είπεν: η παγίδα του διαβόλου δια τον άνθρωπον και μάλιστα όταν είναι νέος, είναι το σώμα: όπως μας παραγγέλλει και ο 'Αββάς Ησαΐας. Μή κρατήσης χέρι ανθρώπου – λέγει – ούτε να πλησιάσης ξένον σώμα, εκτός όταν είναι πολύ άρρωστος ο άλλος και αυτό με φόβον ούτε το χέρι σου να το πλησιάση άλλο, ούτε να σε χαιρετήση: ούτε να είπης ποτέ σε κανένα να βγάλη την ψείραν από τα γένεια, ή το κεφάλι σου, ή από το ιμάτιον, που φορείς. Εις όλην σου την ζωήν ποτέ να μη κοιμηθής κοντά με άλλον, ούτε να ασπασθής αγένειον παιδί, ούτε εις αυτήν ακόμη την Εκκλησίαν, όταν έρχεται από άλλο μέρος, ούτε να γελάσης μαζί με μικρόν παιδί, δια να μη χαθή η ψυχή σου, ούτε να καθίσης κοντά του ή να περιπατήσης.

Και διά τας ανάγκας της κοιλίας σου, να μη καθίσης καθόλου μαζί με άλλον· διότι ο πραγματικά ευλαβής έντρέπεται και τον εαυτόν του. Πολλοί περιεφρόνησαν τα πράγματα αυτά, ως ασήμαντα, δήθεν όμως κάθε κακό από μικρόν αρχίζει και έτσι μεγαλώνει.

ΙΓ'. Του Αγίου Εφραίμ

ΜΕΓΑΣ κίνδυνος παιδίω ἐν Κοινοβίῳ, ἐὰν πὲρ ἀκυβερνησία ἐστὶν ἐν τῷ μέσῳ ὁ δὲ ἐκτρέφων εὐαρέστως τῷ Θεῷ μακαριστός. Φεύγεις, ἀγαπητέ, τοὺς τοξεύοντας τὸ σῶμα; Φεῦγε μᾶλλον τοὺς τοξεύοντας τὴν ψυχήν. Φεύγεις ὄφιν δάκνοντα τὸ σῶμα; Φεῦγε μᾶλλον γυναῖκα δάκνουσαν τὴν ψυχήν. Ὁ καταμανθάνων κάλλος γυναικὼν ἐμφυτεύει ἐν τῇ ἰδίᾳ ψυχὴ ἐπιθυμίας αὐτῆς καὶ ὁ ἐνδελεχῶν πρὸ θύρας οἴκων αὐτῆς ὅμοιός ἐστι τὸ ἐπὶ κρυστάλλου περιπατούντι, ὅτι οὐ μακράν το ἐλίσθημα ἀπ' αὐτοῦ. Φεύγεις, ἀγαπητέ, τὸ πῦρ, ἵνα μὴ καῇ σου τὸ σῶμα; Φεῦγε καὶ τὴν ἁμαρτίαν, ἵνα μὴ ἐν πυρὶ ἀσθέστω σὲ παραπέμψη καὶ καίηταί σου τὸ σῶμα σὺν τὴ ψυχὴ αἰωνίως. Ὡς πὲρ δύο μαχηται, οὕτω

μοναχὸς συντυγχάνων μετὰ γυναικός, καὶ ὁ νήφων σκυλεύσει καὶ σκυλευθήσεται. Σωφροσύνη καὶ ὁμιλία γυναικὸς ὡς λέαινα μετὰ προβάτου ἐν οἴκῳ ἐνί.

Ερμηνεία

ΕΙΝΑΙ μεγάλος ο κίνδυνος αν ευρίσκεται παιδι εις το Κοινόβιον, εφ' όσον βέβαια υπάρχει και ακυβερνησία είς το μέσον εκείνος όμως που ανατρέφει (ένα παιδί) όπως θέλει ο Θεός είναι ευλογημένος. Αποφεύγεις, αγαπητέ μου, αυτούς που τοξεύουν το σώμα; Καλλίτερα να αποφεύγης αυτούς που ρίπτουν τα βέλη των εις την ψυχήν. Φεύγεις από το φίδι, που δαγκώνει το σώμα; Καλλίτερα να φεύγης από γυναίκα, που δαγκώνει την ψυχήν. Αυτός που περιεργάζεται το κάλλος γυναικών, φυτεύει μέσα εις την ψυχήν του την επιθυμίαν δι' αυτήν και εκείνος, που ευρίσκεται συχνά εμπρός εις την θύραν του οίκου αυτών ομοιάζει με εκείγον, που περιπατεί επάνω εις κρύσταλλον, επειδή δεν είναι μακράν η στιγμή που θα γλιστρήση. Φεύγεις, αγαπητέ μου, από την φωτιάν διά να μή καεί το σώμα σου; Να φεύγης μακραν και από την αμαρτίαν, διά να μη σε αποστείλη είς το άσβεστον πυρ και καίεται αιωνίως το σώμα σου μαζί με την ψυχήν σου. Όπως δύο μονομάχοι, έτσι είναι και ο μοναχός, που συναναστρέφεται με γυναίκα και προσεκτικός αν είναι και θα νικήση, αλλά και θα νικηθή. Η σωφροσύνη και η συναναστροφή με γυναίκα είναι όπως η λέαινα με το πρόβατον εις την ιδίαν μάνδραν.

ΥΠΟΘΕΣΙΣ Λ'
(Να μην ακούμε μουσικά όργανα)

Ὅτι οὐ δεῖ τὸν πιστὸν ἀνέχεσθαι ὅλως ἀκούειν αὐλοῦ ἢ κιθάρας, ἢ τινὸς ἄλλου μέλους θυμελικοῦ, ἀλλ' ὡς ὀλέθρια ταῦτα φεύγειν.

Ότι δεν πρέπει καθόλου και πιστός να δέχεται να ακούη φλογέραν ή κιθάραν, ή κανένα άλλο θεατρικόν όργανον, αλλά να τα αποφεύγη ως καταστρεπτικά.

Α'. Γρηγορίου του Διαλόγου

ΦΟΥΡΤΟΥΝΑΤΟΣ τὶς ἀνὴρ εὐγενέστατος, τὸν τοῦ Θεοῦ δοῦλον Βονιφάτιον τὸν Ἐπίσκοπόν της Φερνήτιδος πόλεως, ὃς μεγίσταις δυνάμεσιν ἔλαμψεν, ἱκέτευσεν ἐλθεῖν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ εὐλογῆσαι αὐτόν. Ο δέ, εἰδῶς ὅτι μετὰ πίστεως καὶ ἀνὴρ αἰτεῖται, προθύμως ὑπήκουσεν. Ἐλθῶν οὖν ὁ Ἐπίσκοπος εἰς τὴν τοῦ Φουρτουνάτου οἰκίαν, καὶ τῆς τραπέζης παρατεθείσης, πρὶν ἢ αὐτὸν τὴν ὥρισμενης εὐχὴν ἐν τῇ τραπέζῃ τῷ Θεῷ προσενέγκαι, ἀνὴρ τὶς πένης ἔμπροσθέν της θύρας μετὰ σείστρων παρέστη καὶ τὰ κύμβαλα ἔκρουσε, ζητῶν διὰ τούτων τροφήν.

Ὁ οὖν Ἐπίσκοπος ἐπὶ τῷ τῶν κυμβάλων ἤχω περιπαθὴς γεγονῶς καὶ κατώδυνος, ἔφη Οὔαι, οὐαί, ἀπέθανεν ὁ ἐλεεινὸς οὗτος ἐγὼ ἐν τῇ τραπέζῃ τῆς εὐφροσύνης ἐλθῶν, οὔπω εἷς τὴν τοῦ Θεοῦ αἴνεσιν τὸ στόμα μου ἤνοιξα, οὗτος δὲ μετὰ σείστρων ἐλθῶν κύμβαλα ἔκρουσε. Καὶ προσθεῖς εἶπε δότε αὐτῷ διὰ τὴν ἀγάπην τροφὴν καὶ ποτόν, γιγνώσκετε δὲ ὅτι ἀπέθανεν.

Ὁ οὖν ἄθλιος ἐκεῖνος ἀνήρ, ἄρτον καὶ οἶνον ἐκ τοῦ αὐτοῦ οἴκου λαβῶν καὶ μέλλων ἤδη τὴν θύραν ἔξελθειν, λίθω μεγίστη ἄνωθεν ἐκ τῶν κεράμων αὐτομάτως πεσόντι τὴν κεφαλὴν βάλλεται, καὶ εἰς τέλος ταύτην συνθρύπτεται. Ἠμιθανὴς οὖν ἀρθεῖς, τὴ ἑξῆς ἡμέρα τέλει τοῦ βίου ἔχρησατο, κατὰ τὴν τοῦ ἀνθρώπου τοῦ Θεοῦ ψῆφον, ἐξ οὐ πράγματος, Πέτρε, κατανοῆσαι ἐστι, πῶς οἱ "Ἅγιοι φανεροὶ τυγχάνουσι" ναοὶ γὰρ εἰσι τοῦ Θεοῦ, καὶ ἐὰν πότε εἰς ὀργὴν κινηθῶσιν, δὶ' αὐτῶν τὴν δύναμιν ἐργάζεται καὶ τὴν ἐκδίκησιν ἐπάγει, οἵαν αὐτοὶ βούλονται.

Ερμηνεία

ΥΠΟΘΕΣΙΣ Λ΄ (Να μην ακούμε μουσικά όργανα)

Ο ΦΟΥΡΤΟΥΝΑΤΟΣ, άνθρωπος ευγενέστατος, παρεκάλεσε κάποτε τον δούλον του Θεού Βονιφάτιον, Επίσκοπον της Φερνήτιδος, που διέλαμψε με τα μεγάλα του θαύματα, να έλθη εις την οικίαν του και να τον ευλογήση. Ο Επίσκοπος, επειδή έβεβαιώθη ότι με πίστιν το ζητεί αυτό, εδέχθη πρόθυμα.

'Αφού λοιπόν ήλθεν ο Επίσκοπος εις το σπίτι του Φουρτουνάτου και έστρωσαν το τραπέζι για φαγητόν, πριν να κάνουν την προσευχήν της τραπέζης, παρουσιάσθη έξαφνα εμπρός εις την θύραν κάποιος ζηνιάνος με ντέφια και εκτύπησε τα κύμβαλα, ζητιανεύωντας τροφήν. Ο Επίσκοπος τότε ελυπήθηκε πάρα πολύ και έστενοχωρήθη από τον ήχον των κυμβάλων. 'Αλλοίμονον! αλλοίμονον! – είπε – απέθανεν ο δυτυχισμένος αυτός, εγώ ήλθα είς το χαρούμενον τραπέζι και ακόμη δεν άνοιξα το στόμα μου να ευχαριστήσω τον Θεόν, ενώ αυτός ήλθε με τα ντέφια του και εκτύπησε τα κύμβαλα. Και προσέθεσεν δώσατε του τροφήν και ποτόν, μάθετε όμως ότι απέθανεν.

Ο άθλιος λοιπόν εκείνος άνθρωπος, αφού επήρε άρτον και οίνον από το σπίτι εκείνο και ενώ εξήρχετο από την θύραν, εκτύπησε το κεφάλι του από κάποιαν μεγάλην πέτραν, που έπεσε μόνη της από τα κεραμίδια και τελικά το συνέτριψεν. Τον εσήκωσαν μισοπεθαμένον και την άλλην ημέραν απέθανεν, όπως το προείπεν ο άνθρωπος του Θεού. Από αυτό το πράγμα, Πέτρε, ήμπορείς να εννοήσης, πώς γίνονται φανεροί οι Αγιοι του Θεού, διότι είναι ναοί του Θεού· αν κάποτε λοιπόν όργισθούν, ο Θεός, που κατοικεί εις αυτούς, ενεργεί δι' αυτών και τιμωρεί όποιον θελήσουν αυτοί.

ΥΠΟΘΕΣΙΣ ΛΑ'
(Περί ενυπνιασμού - σπερματόρροιας)

Οτι εκ διαφόρων αιτιών ο ενυπνιασμός γίνεται.

Οτι ο ενυπνιασμός (ή σπερματόρροια εις τον ύπνον) προκαλείται από διαφόρους αιτίας.

Α'. 'Εν τω Γεροντικώ

ΗΡΩΤΗΘΗ γέρων περὶ τοῦ ἐνυπνιάζεσθαι" καὶ ἀπεκρίθη, ὅτι δεῖ τοῦτο ὅλως μὴ προσποιείσθαι, ἀλλὰ νομίζειν ἑαυτὸν ἀπονύσσεσθαι. Ἐὰν γὰρ περιπατῶν δημοσία ἴδῃς καπηλομαγειρεῖον, καὶ πλησιάσας ἐν τῷ παρέρχεσθαι σὲ μεταλάβῃς τῆς τῶν κρεὼν ἀναθυμιάσεως, ἔφαγες ἢ οὖ; πάντως ἔρεις ὅτι οὖ οὕτως οὔτε ἐνυπνιάζεσθαι μολυσμὸν σοὶ παρέξει. Ἐὰν γὰρ σὲ ἴδῃ καὶ ἐναντίος δειλόν, πλέον σοὶ ἐπεμβαίνει, παρατήρει δὲ ὅπως μὴ ἐν αἰσθήσει ἐλθῶν συγκαταβὴς τὴ διανοία ἤγουν μὴ ἔξυπνος γενόμενος τῆς φαντασίας ἀναμνησθῆς καὶ συγκατάθη αὐτοῦ.

Ερμηνεία

ΕΝΑΣ Γέρων ήρωτήθη διά τον ενυπνιασμών και απεκρίθη, ότι δεν πρέπει καθόλου αυτό το πράγμα να το αποδίδωμεν ως υπεύθυνον αμαρτωλήν ενέργειαν εις τον εαυτόν μας, αλλά να νομίζωμεν ότι απλώς εκεντήθημεν από τον σατανάν. Αν δηλαδή καθώς περιπατείς εις τον δημόσιον δρόμον ίδης μαγειρείον και, όταν περνάς ακριβώς απ' έξω, αισθανθής την μυρωδιάν από τα κρέατα, έφαγες ή όχι; Βεβαίως θα απαντήσης ότι, όχι έτσι ακριβώς και ο ενυπνιασμός δεν σου προξενεί μολυσμόν. Αν όμως ο αντίπαλος σε ίδη φοβισμένον, περισσότερον σε ενοχλεί. Πρόσεχε μόνον όταν συνέλθης από το όνειρον να μη δεχθής εις την σκέψιν σου όσα έμπαθή έβλεπες δηλαδή μη τυχόν όταν έξυπνήσης ενθυμηθής την νυκτερινής φαντασίαν και συγκατατεθής εις αυτήν.

Β'. Του Αββά Ησαΐου

ΕΑΝ πειράζῃ ἐν φαντασίᾳ συνουσίας ἐν τῇ νυκτί, φύλαξον ἐν τὴ καρδία σου μὴ λογίσασθαι αὐτὰ ἐν τῇ ἡμέρᾳ ποία σώματα τῆς φαντασίας ἦν, ἵνα μὴ μιανθῆς ἐν τῇ ἡδονῇ αὐτῶν, καὶ ἐπενέγκης ἑαυτῷ ὀργὴν πονηρᾶν, ἀλλὰ παραρριπτε ἑαυτὸν τῷ Θεῷ ἐν ὅλῃ καρδία σου, καὶ βοηθεῖ σοὶ οἰκτίρμων γὰρ ἔστιν ἐπὶ τῇ ἀσθενείᾳ τοῦ ἀνθρώπου.

Ερμηνεία

ΑΝ ένοχλήσαι την νύκτα με όνειρον ότι τάχα συνουσιάζεσαι, πρόσεξε να μη σκεφθής, την ημέραν ποία ήσαν τα πρόσωπα της νυκτερινής φαντασίας, διά να μη μιανθης από την ηδονήν των και επισύρης έτσι εναντίον σου αυστηραν οργήν· αλλά να εμπιστευθής τον εαυτόν σου, με όλην σου την καρδίαν, εις τον Θεόν και θα σε βοηθήση, διότι ευσπλαγχνίζεται τον άνθρωπον όταν ασθενή.

Γ'. Του Αγίου Μαξίμου

ΤΙΝΕΣ μὲν φάσιν ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους, κινούσι τὸ πάθος τῆς πορνείας εἶτα τὸ πάθος κινούμενον ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ τῆς μνήμης ἐπὶ τὸν νοῦν. Τινὲς δὲ ὅτι τὸ μὲν νὰ ἐν σχήματι γυναικὸς παραφαίνονται, τῶν δὲ μορίων τοῦ σώματος καθαπτόμενοι τὴν ὄρεξιν κινούσι, καὶ οὕτω γίνονται αἱ φαντασίαι. Ἕτεροι δὲ πάλιν, ὅτι τὸ πάθος τὸ ἐπικρατοῦν ἐν τῷ πλησιάζοντι δαίμονι κινεῖ τὸ πάθος, καὶ οὕτως ἀνάπτεται πρὸς τοὺς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὲς διὰ τῆς μνήμης. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν ὁμοίως. Οἱ μὲν οὕτως, οἱ δὲ οὕτω συμβαίνειν φάσκουσι πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπω ἰσχύουσι τὸ πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τὴ ψυχὴ ἀγάπης καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.

Ερμηνεία

ΜΕΡΙΚΟΙ λέγουν ότι οι δαίμονες εγγίζουν, εις τον ύπνον, τα γεννητικά μόρια και έτσι κινούν το πάθος της πορνείας: έπειτα, όταν το πάθος κινηθή, φέρνει εις τον νούν, με την ανάμνησιν, την μορφήν της γυναικός. Αλλοι πάλιν λέγουν ότι οι δαίμονες εμφανίζονται εις τον νούν μας ως γυναίκες και ότι εγγίζουν τα γεννητικά μόρια, διά να κινήσουν την όρεξιν και έτσι γεννώνται αι φαντασίαι των ονείρων. Υπάρχουν έπίσης και άλλοι που λέγουν ότι το πάθος το οποίον επικρατεί εις τον δαίμονα, ο οποίος πλησιάζει, κινεί εις την ψυχήν το όμοιον πάθος και έτσι πυρώνεται η ψυχή από τους κακούς λογισμούς και ανακαλεί εις την μνήμην τας γυναικείας μορφάς. Το ίδιο συμβαίνει και με τας άλλας φανταστικές εικόνας των ονείρων. Αλλοι λοιπόν έτσι,

άλλοι διαφορετικά λέγουν ότι συμβαίνει και ενυπνιασμός. Πλην όμως με κανένα από τους τρόπους, που είπαμεν, δεν ήμπορούν οι δαίμονες να κινήσουν οποιοδήποτε πάθος, αν υπάρχη εις την ψυχήν αγάπη και έγκράτεια, ούτε όταν είμεθα ξυπνητοί, ούτε όταν κοιμώμεθα.

Δ'. Εν τω Γεροντικώ

ΕΙΠΕ γέρων: συνήθισον κατὰ μικρὸν τὴν καρδίαν σου περὶ ἑνὸς ἑκάστου τῶν ἀδελφῶν λέγειν ἐν ἀληθεῖᾳ οὗτος προάγει μου κατὰ Θεόν. Καὶ πάλιν οὗτος σπουδαιότερός μου ἐστί. Καὶ οὕτω λοιπὸν ἔρχει εἰς τὸ ἔχεις σεαυτὸν ὑπὸ κάτω πάντων, καὶ οἰκεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν σοῖ. Ἐὰν δὲ ἐξουδενώσης ἄνθρωπον, ἀναχωρεῖ ἡ χάρις τοῦ Θεοῦ ἀπό σου, καὶ παραδίδωσι σὲ εἰς μολυσμοὺς σαρκός, καὶ σκληρύνεταί σου ἡ καρδία, καὶ κατάνυξις οὐδεμία εὑρίσκεται ἐν σοῖ.

2. Ἠρωτήθη ὁ Ἀββᾶς Ποιμὴν περὶ τῶν μολυσμῶν καὶ ἀπεκρίθη, ὅτι ἐὰν στήσωμεν τὸ πρακτικόν, ἤτοι τὴν ἐνέργειας τῆς ἁμαρτίας, καὶ νήψωμεν ἐπιμελῶς, ἤγουν πρὸς τοὺς λογισμούς, οὐχ εὕρησομεν ἐν ἑαυτοῖς μολυσμόν.

3. Εἶπε γέρων: μέγας καὶ πρὸς τοὺς ἀνθρώπους φθόνος τοῦ διαβόλου" μὴ δυνάμενος γὰρ τοὺς ἐκλεκτούς του Θεοῦ ὕπαρ εἰς αἰσχροὺς λογισμοὺς ἐφελκύσασθαι, κὰν ἐν τῇ νυκτὶ φαντάζῃ αὐτούς, ἀλλ' οὐδὲν ἐκ τούτου κερδαίνει ὁ δόλιος. Εἰ γὰρ ἔκτρωμα κληρονομήσει πατέρα αὐτοῦ, καὶ αἱ φαντασίαι αὗται λογισθήσονται εἰς ἁμαρτίαν τοὺς ἐκλελεγμένοις ὑπὸ τοῦ Θεοῦ.

Ερμηνεία

ΕΙΠΕΝ ένας Γέρων: συνήθισε να λέγης, σιγά – σιγά, από την καρδιά σου, διά κάθε ένα από τους αδελφούς πραγματικά αυτός είναι ανώτερος από εμέ, εις την εκτέλεσιν των εντολών του Θεού. Και πάλιν αυτός είναι σπουδαιότερος από εμέ. Έτσι θα φθάσης να θεωρής τον έεαυτόν σου κατώτερον από όλους, ώστε να κατοικήση το Πνεύμα του Θεού εντός σου. Αν προσβάλης άνθρωπον, φεύγει η χάρις του Θεού από έσένα, και σε παραδίδει εις μολυσμούς σαρκός και σκληρύνεται η καρδιά σου και καμμίαν δυνατότητα κατανύξεως δεν θα έχης.

2. Ήρώτησαν τον Αββάς Ποιμένα, διά τους μολυσμούς και έκείνος απήντησεν· αν σταματήσωμεν το πρακτικόν, δηλαδή την ενέργειαν της αμαρτίας, και προσέξωμεν αυστηρά τους λογισμούς μας, τότε δεν θα εύρωμεν εις τους εαυτούς μας μολυσμόν.

3. Ένας Γέρων είπεν είναι μεγάλος ο φθόνος του διαβόλου προς τους ανθρώπους. Επειδή δεν ήμπορεί να παρασύρη είς αισχρούς λογισμούς τους εκλεκτούς του Θεού, όταν είναι ξυπνητοί, προσπαθεί να τους ενοχλη την νύκτα με τας φανταστικές σκηνές των ονείρων τίποτα όμως από αυτά δεν κερδίζει ο παμπόνηρος. Διότι αν παιδίον νεκρόν άωρον (βρέφος προώρως γεννώμενον, εξάμβλωμα) ήμπορεί να κληρονομήση τον πατέρα του, τότε και αι φανταστικαί σκηναι των ονείρων θα λογισθούν αμαρτίαι διά τους εκλελεγμένους υπό του Θεού.

Ε'. Του Αγίου Εφραίμ

ΜΗ κοιμηθῆς ἔχων κατὰ τινός, ἵνα μὴ φαντασίαι αἰσχραι ἔκταραξουσί σε ἐν τῇ νυκτί.

Ερμηνεία

ΝΑ μη κοιμηθής θυμωμένος εναντίον κάποιου, διά να μη σε ταράξουν την νύκτα αι αισχραι φαντασίαι ονείρων.

ΥΠΟΘΕΣΙΣ ΛΒ'
(Περί πένθους – είδη και δάκρυα)

Ὅτι μεγίστη ἡ τοῦ πένθους ἐργασία, καὶ ποσαχῶς τὸ πένθος, καὶ τὶς ἡ διαφορὰ τῶν δακρύων.

Είναι πάρα πολύ μεγάλη η εργασία του πένθους και πόσων ειδών είναι το πένθος και ποια η διαφορά των δακρύων.

Α΄. Γρηγορίου του Διαλόγου

Πέτρος

ΑΙΤΩ, τιμιώτατε Δέσποτα, ἵνα μου εἴπῃς πόσα εἰσὶ γένη τῆς κατανύξεως.

Γρηγόριος

ΕΝ ΠΟΛΛΟΙΣ εἴδεσι κάλλους, Πέτρε, ἡ κατάνυξις θεωρεῖται ὅθεν καὶ Ἱερεμίας λέγει: «διαμερισμοὺς ὑδάτων ἐξήγαγεν ὁ ὀφθαλμός μου». Δύο τοίνυν εἰσὶ κεφαλαιωδέστερα γένη τῆς κατανύξεως ὅταν γὰρ τὸν Θεὸν διψήσῃ ἡ ψυχή, πρώτον μὲν τῷ φόβῳ κατανύσσεται, ἔπειτα δὲ τὸ πόθω. Ἐν πρώτοις μὲν γὰρ δάκρυσιν ἑαυτὴν κατατήκει, ὑπόμνησιν τῶν κακῶν αὐτῆς λαμβάνουσα, φοβουμένη περὶ αὐτῶν, ἵνα μὴ αἰωνία κολάσει ὑποπέσῃ. Ἠνίκα λοιπὸν ἐν πολλῇ στενοχωρία λύπης ὑπάρξῃ, τότε ἡ μὲν δειλία τέλος λαμβάνει, ἀμεριμνία δὲ τὶς περὶ τῆς συγχωρήσεως καὶ παρρησία ἐν αὐτῇ γεννᾶται, καὶ λοιπὸν ἐν τῷ πόθῳ τῆς οὐρανίου χαρᾶς ἡ ψυχὴ ἐκκαίεται καὶ ἥτις πρότερον ἔκλαιε φοβουμένη, ἵνα μὴ εἰς κρίσιν ἀπενεχθῇ, ἐν ὑστέρῳ πάλιν ἄρχεται κλαίειν πικρῶς, ὅτι ἀπέχει τῆς βασιλείας. Καθαρθεῖς γὰρ ὁ νοῦς κατοπτεύει ὁποῖοι τῶν Ἀγγέλων εἴσιν οἱ χοροί, καὶ ποία αὐτῶν ἡ συμμετοχή, ποία τὲ τῶν μακαρίων πνευμάτων ἢ λαμπρότης καὶ ἡ μεγαλωσύνη, καὶ τὶς ἡ αὐτοῦ του Θεοῦ κατόπτευσις.

Ἐπὶ πλείω τοίνυν καὶ πλείω θρηνεῖ, ὅτι τῶν διαμενόντων ἀγαθῶν στερεῖται. Οὕτως οὖν γίνεται ἕνα ἢ τελεία κατάνυξις ἐκ τοῦ φόβου τὴν ψυχὴν εἰς τὴν ἀγάπην παραπέμψῃ, ὅπερ καλῶς καὶ ἐν τῇ τερᾷ καὶ ἀληθινὴ ἱστορία γέγραπται περὶ 'Ἀσχᾶς τῆς θυγατρὸς Χάλεβ, ὅτι καθεζομένη ἐπὶ τῆς ὄνου ἐστέναξεν. Ὁ δὲ πατὴρ πρὸς αὐτὴν ἔφη" τί ἔχεις; Ἀποκριθεῖσα δὲ αὐτῷ εἶπε δὸς μοὶ εὐλογίαν τὴν γῆν τῆς ἄρκτου, ὅτι ξηρὰν δέδωκάς μου, προσθές μου καὶ τὴν ὑδρευομένην. Καὶ ἔδωκεν αὐτὴ ὁ πατὴρ αὐτῆς τὴν

ὑδρευόμενην τὴν ἄνωθεν, καὶ τὴν ὑδρευομένην τὴν κατωθεν. Ἀσχὰ τοίνυν ἐπὶ τῆς ὄνου καθεζομένη ἑρμηνεύεται ψυχή, ἣ τοῖς ἀλόγους της σαρκὸς κινήμασι προσκαθεζομένη το δὲ στενάξασα ἠτήσατο παρὰ τοῦ πατρὸς τὴν γῆν τὴν ὑδρευόμενην, τοῦτο δηλοί, ὅτι παρὰ τὸ κτίστη ἡμῶν μετὰ μεγάλου στεναγμοῦ δεῖ ἡμᾶς ζητεῖν τὸ τῶν δακρύων δῶρον.

Πολλοῖς γὰρ εἰσι οἵτινες διδασκαλικοῦ μὲν χαρίσματος ἠξιωθησαν καὶ μετὰ παρρησίας τὸ τῆς ἀληθείας δικαίωμα λαλῆσαι, τοὺς ἐν θλίψεσι παραμυθήσασθαι, τοῖς δεομένους ἐπαρκέσαι καὶ ζηλωται γενέσθαι περὶ τὴν πίστιν, ἀκμὴν δὲ τὸ δῶρος τῶν δακρύων οὐκ ἔλαβον. Οὗτοι δηλαδὴ τὴν γῆν τῆς ἄρκτου τὴν ξηρὰν ἔχουσι, τῆς δὲ ὕδρευομενης ἔτι ἐπιδέονται" ἓν ἔργοις μὲν γὰρ ἀγαθοῖς πολιτεύονται, προσήκει δὲ ἵνα ἢ διὰ τὸν τῆς κρίσεως φόφον ἢ διὰ τὸν πόθον τῆς βασιλείας τῶν οὐρανῶν, τὰ κακά, ἃ πρότερον ἔπραξαν, θρηνήσωσι, καὶ οὕτω λοιπὸν ἔνθα οἱ μεγάλοι καὶ ζέοντες τῷ πόθῳ καὶ οὗτοι εἰσέλθωσιν.

Καθὼς δὲ εἶπον δύο της κατανύξεως εἶναι γένη, ἔδωκεν αὐτὴ ὁ πατὴρ αὐτῆς τὴν γῆν τὴν ὑδρευόμενην τὴν ἄνωθεν καὶ τὴν ὑδρευόμενην τὴν κατωθεν. Ὑδρευομένην τοίνυν τὴν ἄνωθεν λαμβάνει ἡ ψυχή, ἣ ἐν δάκρυσι πενθοῦσα τὴ τῆς ἐπουρανίου βασιλείας ἐπιθυμία, τὴν δὲ ὑδρευόμενην τὴν κατωθεν λαμβάνει ἡ θρηνοῦσα τὸ φόβο τῆς αἰωνίου κολάσεως, καίτοι γὲ πρώτον ἡ ὑδρευομένη ἡ κάτω δίδοται, καὶ μετέπειτα ἡ ἄνω, ἀλλὰ καὶ διὰ τὸ ὑπερβάλλειν τῷ ἀξιώματι τὴν τοῦ τόπου κατάνυξιν, ἀναγκαῖον ὑπῆρχεν ἵνα πρότερόν της ἄνωθεν ὕδρευομενης ἐπιμνησθῆ ἡ ἱστορία καὶ ἐν ὑστέρῳ τῆς κατωθεν.

Ερμηνεία

Πέτρος

ΣΕ παρακαλώ, τιμιώτατε Δέσποτα, να μου ειπής πόσα είναι τα είδη της κατανύξεως.

Γρηγόριος

Η ΚΑΤΑΝΥΞΙΣ, Πέτρε, εμφανίζεται υπό πολλές μορφές πνευματικής ωραιότητος. Δι' αυτό και ο Ιερεμίας λέγει: «κατηγορίας υδάτων ανέβλυσεν ο οφθαλμός μου» (Θρήνοι Ιερ. α', 16). Δύο όμως είναι τα σπουδαιότερα είδη της κατανύξεως. '"Όταν δηλαδή η ψυχή αναζητήση, ως διψασμένη, τον Θεόν, εις την αρχήν μεν αισθάνεται κατάνυξιν από τον φόβον, έπειτα όμως από τον πόθον. Πρώτα με τα δάκρυα λειώνει η ίδια, όταν ενθυμηθή τας αμαρτίας της και φοβηθή δι' αυτάς, μήπως καταδικασθή εις αιώνιον κόλασιν. 'Αφού λοιπόν στενοχωρηθή πάρα πολύ, τότε η μεν δειλία παύει, γεννάται δε μέσα της κάποια βεβαιότης διά την συγχώρησιν και κάποιο θάρρος και εις το εξής η ψυχή θερμαίνεται από τον πόθον της ουρανίου χαράς. Και αυτή, η οποία

προηγουμένως έκλαιες από τον φόβον μήπως καταδικασθή, αρχίζει ύστερα να κλαίη πάλιν πικρά, διότι ακόμη ευρίσκεται μακράν από την Βασιλείαν των Ουρανών. 'Αφού δηλαδή ο νούς καθαρισθή, βλέπει καθαρά και από κοντά ποίοι είναι οι χοροί των Αγγέλων και πώς συμμετέχουν αυτοί και ποία η λαμπρότης των μακαρίων πνευμάτων και η δόξα των και ποία η θεωρία αυτού του ιδίου του Θεού.

Ολον λοιπόν και περισσότερον θρηνεί η ψυχή διότι βραδύνει να απολαύση τα αγαθά που παραμένουν αιώνια. Με τον τρόπον αυτόν η τελεία κατάνυξις οδηγεί την ψυχήν από τον φόβον εις την αγάπην, όπως πολύ σωστά έχει γραφή εις την τεράν και αληθινήν ιστορίαν διά τήν Ασχά, την θυγατέρα του Χάλεβ[(*)]. Αναφέρεται λοιπόν εις την Π. Διαθήκην, ότι η Ασχά, όταν εκάθητο επί της όνου, ανεστέναξεν. Τι έχεις; την έρωτα και πατέρας της και εκείνη απαντά: δώσε μου ευλογίαν την περιοχής που είναι εις τα βόρεια, διότι μου έδωσες ξερικά μέρη, πρόσθεσε μου και μέρη, που ποτίζονται. Και της έδωσεν ο πατέρας της την περιοχήν που εποτίζετο από επάνω και την περιοχής, που εποτίζετο από κάτω.

Η Ασχα λοιπόν, η οποία εκάθητο επάνω εις την όνον, συμβολίζει την ψυχήν, που εξακολουθεί να επαναπαύεται επάνω εις τα παράλογα σκιρτήματα της σαρκός: το ότι δε ανεστέναξε και εζήτησεν από τον πατέρα της την γήν που εποτίζετο, σημαίνει ότι πρέπει να ζητούμεν από τον Πλάστης μας, με μεγάλον αναστεναγμόν, το δώρον των δακρύων.

Διότι είναι πολλοί, που ήξιώθησαν να λάβουν το δώρον της διδασκαλίας και με θάρρος να διακηρύξουν την αλήθειαν, να παρηγορήσουν τους θλιβομένους, να ανακουφίσουν αυτούς που έχουν ανάγκην, να γίνουν ζηλωται της πίστεως: δεν έλαβον όμως ακόμη το δώρον των δακρύων. Αυτοί, δηλαδή, κατέχουν την περιοχής του εδάφους, που είναι ξερικής έχουν όμως ανάγκης και από περιοχής που ποτίζεται. Αυτοί επιτελούν, πραγματικά, εις την ζωήν των καλά έργα πρέπει όμως να θρηνήσουν

[(*)] Ο Χάλεβ μετά του Ιησού του Ναυή ήσαν οι μόνοι Ιουδαίοι, οι οποίοι ήδυνήθησαν να εισέλθουν εις την γήν της επαγγελίας, διότι πάντες οι άλλοι, όσοι ήσαν άνω των 20 ετών, ετιμωρήθησαν υπό του Θεού, διότι εγόγγυσαν εναντίον του. Μετά την υποταγήν της Χαναάν, ο Ιησούς του Ναυή, ο οποίος διεδέχθη τον Μωϋσήν, εμοίρασε ταύτην είς τάς δώδεκα φυλάς του Ισραήλ, έλαβε δε και ο Χάλεβ, υιός Ιεφοννή, ο οποίος κατήγετο από την φυλήν του Ιούδα, το μερίδιόν του, την «πόλιν 'Αρβόκ μητρόπολιν Ενάκ». Κατόπιν επεχείρησε να καταλάβη την πόλιν Δαβίρ και είπεν ο Χάλεβ ότι θα δώση σύζυγος την θυγατέρα του 'Ασχάν εις έκείνον που θα καταλάβη την πόλιν Δαβίρ. Και κατέλαβεν αυτήν ο Γοθονιήλ υιός Κενές. Και ότε ωδήγει αυτήν ο πατήρ της προς τον Γοθονιήλ, αύτη εβόησεν εκ της όνου επί της οποίας εκάθητο και ο Χάλεβ την ηρώτησε τι θέλει. Τότε αυτή απεκρίθη «δός μοι ευλογίαν, ότι την γήν Ναγές δέδωκάς με δός μοι την Γοθαλμαίν». Και έδωσεν εις αυτήν και Χάλεβ την Γοθαλμαιν την άνω και την Γοθαλμαιν την κάτω. (Ιησούς του Ναυή, Κεφ. ιε', 13-20).

διά τα κακά έργα που επετέλεσαν προηγουμένως, ή από τον φόβον της μελλούσης Κρίσεως, ή από τον πόθον της Βασιλείας των Ουρανών.

Έτσι λοιπόν θα εισέλθουν και αυτοί εκεί που ευρίσκονται οι μεγάλοι οι οποίοι φλέγονται από τον πόθον.

Όπως είπα, δύο είναι τα είδη της κατανύξεως: λέγει η ιστορία ότι ο πατέρας της 'Ασχα έδωσεν εις αυτήν την περιοχής του εδάφους που εποτίζετο από επάνω και εκείνης που εποτίζετο από κάτω. Την περιοχής λοιπόν που ποτίζεται από επάνω λαμβάνει η ψυχή, η οποία πενθεί με δάκρυα από την επιθυμίαν της επουρανίου Βασιλείας εκείνην δε που ποτίζεται από κάτω λαμβάνει η ψυχή, η οποία θρηνεί από τον φόβον της αιωνίου κολάσεως. Αν και κατά τα στάδια της πνευματικής προκοπής δίδεται πρώτον η ποτιζομένη από κάτω, θρηνωδεί δηλαδή, διά τον φόβον της αιωνίου κολάσεως, και κατόπιν ή ποτιζομένη από επάνω, το χαροποιόν πένθος από νοσταλγίαν της Βασιλείας των Ουρανών, εν τούτοις η ιστορία, κατ' ανάγκην, αναφέρει πρώτος την ποτιζομένην άνωθεν και έπειτα την ποτιζομένης από κάτω, επειδή η πρώτη είναι ανωτέρα κατά την αξίαν από την δευτέραν.

Β'. Του Αγίου Εφραίμ

ΑΡΧΗ ΠΕΝΘΟΥΣ τὸ ἐπιγνώναι τινὰ ἑαυτὸν ἔστω δὲ τὸ πένθος ἠμῶν μὴ κατὰ ἄνθρωπον, μηδὲ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώπους, ἀλλὰ κατὰ Θεὸν τὸν γινώσκονται τὰ κρυπτά της καρδίας, ὅπως παρ' αὐτοῦ μακαρισθῶμεν. Ὠμεν τοίνυν φαιδρῷ τῷ προσώπῳ ἠνίκα ἀνθρώποις συντυγχάνωμεν, κλαίοντες δὲ καὶ πενθοῦντες τὴ φρονήματι τὸ γὰρ πένθος ἐργάζεται καὶ φυλάσσει, τὸ πένθος τὴν ψυχὴν ἀποσμήχει διὰ τῶν δακρύων, καὶ καθαρὰν ταύτην ἀποκαθίστησι σωφροσύνην γεννᾷ, ἡδονᾶς ἀποκόπτει, ἀρετᾶς κατορθοῦ, καὶ τί ἔτι λέγω; τὸ πένθος ὑπὸ θεοῦ μακαρίζεται, ὑπὸ 'Ἀγγέλων παρακαλεῖται.

Χάρισαι μοί, Κύριε, δάκρυα κατανύξεως, ὁ μόνος ἀγαθὸς καὶ ἐλεήμων, ὅπως ἐν αὐτοῖς κλαύσω ἔμαυτον καὶ ἱκετεύσω τὴν εὐσπλαγχνίαν σου. Καθάρισόν μου τὸν ρύπον τῆς ἁμαρτίας. Οἴμοι! πῶς ὑποίσω τὴν γέενναν τοῦ πυρὸς καὶ τὸ σκότος τὸ ἐξώτερον; Οἴμοι! πῶς ὑποίσω τὸν τάρταρον καὶ τὰς ἐκεῖ αἰωνίους βασάνους, καὶ τὸν ἰοβόλον καὶ ἀτελεύτητον σκώληκα; Οἴμοι! πῶς ὑποίσω τὴν φοβερὰν ἀπειλῆς τῶν Ἀγγέλων τῶν ἐπὶ ταῖς κολάσεσιν ἔφεστωτων, ὅτι φρικτοὶ καὶ ἀνελεήμονες εἰσι; Τὶς δώη τὴ κεφαλή μου ὕδωρ καὶ τοὺς ὀφθαλμοίς μου πηγᾶς δακρύων, καὶ καθίσας κλαύσομαι νυκτὸς καὶ ἡμέρας, ἵνα Θεὸν δυσωπήσω, δν παρόργισα;

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

“Ημαρτες, ψυχή μου, ἥμαρτες; μετανόει ἰδοὺ γὰρ αἱ ἡμέραι ἡμῶν παραγουσιν ὡς σκιαί, ἔτι μικρῶν καὶ ἀπελεύσει ἐντεῦθεν. Φοβεροὺς τόπους μέλλεις διέρχεσθαι' οὐ δυνατόν, ψυχή μου, μὴ δι' ἐκείνων ὀδεύσαι σε. Οὐδεὶς τῶν ἐνταύθα ἐπὶ βοηθεῖα συνοδεύσει σοῖ, οὖ πατήρ, οὐ μήτηρ, ἀδελφὸς οὐχί, οὐ φίλος, οὐκ ἄλλος τὶς τῶν ὁμοίων, ἀλλὰ μόνη μετὰ τῶν ἔργων σου μέλλεις τοὺς ἄρχοντας τοῦ σκότους διέρχεσθαι. Ἐκεῖνοι οὐ βασιλέα φοβοῦνται, οὐ δυνάστης τιμῶσιν, οὐ μικρόν, οὐ μέγαν αἰδοῦνται, εἰμὴ μόνον τὸν ἐν θεοσεβείᾳ ζήσαντα, καὶ διὰ τῶν ἀγαθῶν αὐτοῦ πράξεων τὴν τοῦ Θεοῦ σκέπην ἐνδεδυμένον, ἐκ προσώπου τούτου ὑποχωρούσι φοβούμενοι καὶ δίοδον αὐτῶ μετὰ ἀδείας παρέχουσι. Προπορεύσεται γὰρ αὐτῶν ἡ δικαιοσύνη πρὸ προσώπου αὐτῶν, καὶ ἥ του Θεοῦ δόξα περιστέλλει αὐτούς.

Κύριε, τὴν ὥραν ἐκείνην λαβῶν κατὰ νοῦν πίπτω τὴ σὴ ἀγαθότητι, μὴ παραδοθείην τοῖς ἀδικούσι μέ, μὴ καυχήσαιντο οἱ ἐχθροί σου κατὰ τοῦ δούλου σου, ἀγαθὲ Κύριε, τρίζοντες τοὺς ὀδόντας αὐτῶν καὶ φοβοῦντες τὴν ἁμαρτωλόν μου ψυχήν. Μὴ εἴποισαν εἰς χεῖρας ἡμῶν ἐλήλυθας; αὕτη ἡμέραν ἣν προσεδοκῶμεν. Μή, Κύριε, μὴ ἐπιλάθη τῶν σῶν οἰκτιρμῶν, Κύριε, μὴ θελήσης ἀποδοῦναι μοὶ κατὰ τὰς ἀνομίας μου, μηδὲ ἀποστρέψης τὸ πρόσωπόν σου ἀπὸ τοῦ δούλου σου.

Σύ, Κύριε, παίδευσον μέ, πλὴν ἐν οἰκτιρμούς, ὅτι ἀσθενὴς εἶμι, καὶ μὴ ἐπιχαρείη μου καὶ ἐχθρός, ἀλλὰ σθέσον..αὐτοῦ τὴν ἀπειλῆς καὶ τὴν δυναστείαν καταργησον, καὶ δὸς μοὶ διελθεῖν τὴν πρὸς σὲ ὁδὸν ἀνύβριστον καὶ ἀνεπηρέαστον. Παρακλήθητι, ἀγαθὲ Κύριε, οὐ διὰ τὰς δικαιοσύνας μου, ἀλλὰ διὰ τοὺς σους οἰκτιρμοὺς καὶ τὴν ἀμέτρητον εὐσπλαγχνίαν σου, καὶ σῶσον ψυχὴν ἐκ θανάτου, τὴν τὸ σὸν ἐπικαλουμένην ἅγιον ὄνομα.

Μνήσθητι, πολυέλεε Κύριε, ὅτι καὶ ἁμαρτήσας καὶ παραπλησίον θανάτου πληγεῖς οὐ προσέφυγα πρὸς ἄλλον ἰατρόν, οὐδὲ ἐξέτεινα χεῖράς μου πρὸς Θεὸν ἀλλότριον, ἀλλὰ πρὸς τὴν σὴν ἀγαθότητα. Σὺ γὰρ εἰ, Κύριε, καὶ τῶν ὅλων δεσπότης, ὁ ἔχων ἐξουσίαν πάσης πνοῆς καθάρισον μέ, Κύριε, πρὸ τοῦ τέλους ἀπὸ πάσης ἁμαρτίας καὶ μὴ ἀπώση τὴν δέησίν μου, ἀγαθὲ Κύριε, στόμα ἀκάθαρτον βοᾷ πρός σε καὶ καρδία ρυπαρά, καὶ ψυχὴ ἐν ἁμαρτίαις ἐσπιλωμένη.

Ἐπάκουσον, Κύριε, τῆς ἔμης ἀναξιότητος, διὰ τὴν πολλήν σου καὶ ἄφατον ἀγαθότητα, καὶ δὸς μοὶ μετάνοιαν καθαρὰν καὶ ἀληθινήν, αὕτη γὰρ διεφθαρμένη ἐστίν, ὅτι ὥραν μετανοῶ, καὶ δύο παροργίζω. Στήριξαν τὴν καρδίαν μου ἐν τῷ φόβῳ σου, ἀγαθὲ Κύριε, στήριξαν τοὺς πόδας ἐπὶ πέτραν μετανοίας εἰλικρινοῦς. Νικησάτω ἡ ἀγαθότης σου, Κύριε, τὴν ἐν ἐμοὶ κακίαν, νικησάτω τὸ φῶς τῆς χάριτός σου τὸ ἐν ἐμοὶ σκότος.

Κύριε, καὶ τῶν τυφλῶν τους ὀφθαλμοὺς διανοίξας, ἄνοιξαν τοὺς ἐσκοτισμένους ὀφθαλμοὺς τῆς καρδίας μου. "Ο λόγω τοὺς λεπροὺς καθαρίσας, καὶ τὴ ἐμῆς ψυχῆς τοὺς σπίλους καθάρισον. Γενέσθω ἡ χάρις σου ἐν ἐμοί, Κύριε, ὡς πῦρ φλογίζον τὰς ἁμαρτίας μου σὺ γὰρ εἰ μόνος των ψυχῶν ἰατρός, τὸ φῶς τὸ ὑπὲρ πᾶν φῶς, ἡ χαρά, ἡ ἀνάπαυσις, ἡ τρυφή, ἡ ζωὴ ἡ ἀληθινή, ἡ σωτηρία ἣ εἰς αἰῶνας αἰώνων διαμένουσα, καὶ σοὶ πρέπει δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Παρακαλῶ δὲ ὑμᾶς, ἀγαπητοὶ ἐκλεκτοί του Θεοῦ, δεηθῆναι τῆς ἀγαθότητος αὐτοῦ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς οἱ Ἀπόστολοι περὶ τῆς Χαναναίας, οἱ ἄξιου περὶ τοῦ ἀναξίου, οἱ τίμιοι περὶ τοῦ εὐτελοῦς καὶ ἀχρείου ὅπως συνεισέλθη ἡ δέησίς μου ἐν ταῖς εὐπροσδεκτοις ὑμῶν ἱκεσίαις ἐνώπιόν του Θεοῦ, καὶ δοθῆ μοὶ συγχώρησις ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου, καὶ ἐγγραφὴ τὸ ὄνομά μου ἐν βίβλῳ ζωῆς, καὶ ἄξιος γένωμαι προσκυνῆσαι ἀνεπαισχύντως ἐνώπιόν του θρόνου τῆς βασιλείας αὐτοῦ, ὅτι αὐτοῦ ἔστιν ἡ βασιλεία καὶ ἡ δύναμης καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ερμηνεία

ΑΡΧΗ του πένθους είναι το να γνωρίση κανείς τον εαυτόν του. Ας μη είναι δε το πένθος μας ανθρώπινον, ούτε διά να κάμωμεν επίδειξιν εις τους ανθρώπους· αλλ' όπως θέλει ο Θεός, ο οποίος γνωρίζει τα απόκρυφα της καρδίας μας, διά να μακαρισθώμεν από Αυτόν. Ας έχωμεν λοιπόν χαρούμενον πρόσωπον, όταν συναντώμεθα με ανθρώπους, ας κλαίωμεν δε και ας πενθώμεν κατά το φρόνημα της ψυχής, διότι το πένθος είναι προϋπόθεσις πνευματικής εργασίας και μας περιφρουρεί, το πένθος καθαρίζει την ψυχήν με τα δάκρυα και την αποκαθιστά καθαράν. Το πένθος γεννά την σωφροσύνην, κόπτει από την ρίζαν τας ηδονάς, κατορθώνεις τας αρετάς και τί λέγω; Το πένθος μακαρίζεται από τον Θεόν και επαινείται από τους Αγγέλους.

Χάρισέ μου, Σε παρακαλώ, Κύριε, δάκρυα κατανύξεως, ο μόνος αγαθός και ευσπλαγχνικός, διά να κλαύσω με αυτά τον εαυτόν μου και να ικετεύσω την ευσπλαγχνίαν Σου. Καθάρισέ μου τον ρύπον της αμαρτίας.

'Αλλοίμονον! Πώς θα υποφέρω την γέενναν του πυρός και το σκότος το εξώτερον; 'Αλλοίμονον! Πώς θα υποφέρω τον τάρταρον και τα αιώνια βασανιστήρια, που υπάρχουν εκεί, και τον σκώληκα που χύνει το δηλητήριον και ποτέ δεν πεθαίνει; Αλλοίμονον! Πώς θα υποφέρω την φοβεραν απειλής των Αγγέλων που επιβλέπουν τας τιμωρίας, διότι είναι φοβεροί και σκληρόκαρδοι; Ποιος θα χύση νερον εις την

κεφαλήν μου και πηγάς δακρύων εις τους οφθαλμούς μου, διά να καθίσω και να κλαύσω νύκτα και ημέραν, διά να εξευμενίσω τον Θεόν, που τον παρόργισα;

Αμάρτησες, ψυχή μου, αμάρτησες; Μετανόησε· διότι αι ημέραι μας περνούν ώσαν τας σκιάς. Ολίγον ακόμη και θα φύγης από τον κόσμον αυτόν. Πρόκειται να περάσης φοβερούς τόπους δεν είναι δυνατόν, ψυχή μου, να μη περάσης από τους τόπους αυτούς. Κανένας από τον κόσμον αυτόν δεν θα σε συνοδεύση διά να σε βοηθήση ούτε πατέρας, ούτε μητέρα, ούτε αδελφός, ούτε φίλος, ούτε κανείς άλλος άνθρωπος. Αλλά μοναχή σου, ψυχή μου, με τα έργα σου θα περάσης εμπρός από τους άρχοντας του σκότους. Εκείνοι ούτε βασιλέα φοβούνται, ούτε δυνάστην τιμούν, ούτε μικρόν, ούτε μεγάλον σέβονται, εκτός από εκείνον, που έζησε θεοσεβώς και έχει ένδυθη, με τας καλάς του πράξεις, την σκέπην του Θεού· υποχωρούν εμπρός από αυτόν, διότι τον φοβούνται και του κάνουν τόπον να περάση. Διότι εμπρός από αυτόν θα πορεύεται η αρετή του και η δόξα του Θεού θα τους περιφρουρή.

Κύριέ μου, όταν σκεφθώ εκείνην την ώραν προσπίπτω εμπρός εις και την καλωσύνην Σου και Σε παρακαλώ να μη παραδοθώ εις αυτούς, που με αδικούν (τους δαίμονας): ας μη καυχηθούν οι εχθροί Σου εναντίον του δούλου Σου, αγαθέ Κύριε, με το να τρίζουν τα δόντια των και να φοβερίζουν την αμαρτωλήν μου ψυχήν. Ας μη είπουν: έπεσες εις τα χέρια μας; Αυτή είναι η ημέρα, που επεριμέναμεν. Μή, Κύριε, μη λησμονήσης την ευσπλαγχνίαν Σου, Κύριε, μη θελήσης να με τιμωρήσης ανάλογα με τας ανομίας μου, ούτε να γυρίσης περιφρονητικά αλλού το πρόσωπόν Σου, διά να μη βλέπης τον δούλον Σου.

Σύ, Κύριε, παίδευσέ με, αλλά με εύσπλαγχνίαν, διότι είμαι ασθενής και ας μη καυχηθή εις βάρος μου ο εχθρός, αλλά αχρήστευσε την απειλών του και κατάργησε την τυραννίαν του και αξίωσέ με να περάσω τον δρόμος που οδηγεί προς Σέ, χωρίς να υβρισθώ ή να ενοχληθώ. Γίνου συγκαταβατικός απέναντί μου, αγαθέ Κύριε, όχι διά τας αρετάς μου, αλλά από την συμπόνιαν Σου και την αμέτρητον ευσπλαγχνίαν Σου και σώσε από τον θάνατον ψυχήν, που επικαλείται το άγιον όνομά Σου.

Ένθυμήσου, πολυέλεε Κύριε, ότι και αφού ήμάρτησα και έπληγώθηκα θανασίμως, δεν κατέφυγα εις άλλον ιατρόν, ούτε ήπλωσα ικετευτικά τα χέρια μου προς Θεόν ξένον, αλλά μονάχα προς την καλωσύνην Σου. Διότι Συ είσαι, Κύριε, ο κυρίαρχος των όλων, που έχεις εξουσίαν επάνω εις κάθε ύπαρξιν. Καθάρισέ με, Κύριε, πριν από το τέλος μου, από κάθε αμαρτίαν και μη αποκρούσης την δέησίν μου αγαθέ Κύριε,

ακάθαρτον στόμα βοά πρός Σε και καρδία ρυπαρά και ψυχή στιγματισμένη από τας αμαρτίας.

Ακουσε συγκαταβατικά, Κύριε, την αναξιότητά μου, διότι έχεις πολλήν και ανέκφραστον καλωσύνην και δώσε μου καθαράν και πραγματικήν μετάνοιαν, διότι αυτή την οποίαν εγώ έχω είναι ψεύτικη, επειδή μίαν ώραν μετανοώ και δύο σε παροργίζω. Στήριξε, αγαθέ Κύριε, τους πόδας μου επάνω εις βράχον ειλικρινούς μετανοίας. Ας νικήση ή αγαθότης σου, Κύριε, την κακίαν, που υπάρχει μέσα μου, ας νικήση το φώς της Χάριτός Σου το σκότος που κυριαρχεί εντός μου.

Κύριε, Συ που ήνοιξες τα μάτια των τυφλών, άνοιξε και τους σκοτισμένους οφθαλμούς της καρδίας μου. Σύ, που με τον λόγον Σου έκαθάρισες τους λεπρούς, καθάρισε και τας αμαρτίας της ψυχής μου. Ας γίνη εντός μου η χάρις Σου, Κύριε, ωσάν φωτιά για να καύση τας αμαρτίας μου· διότι Συ είσαι μοναδικός ιατρός των ψυχών, το φώς το φωτεινότερον από όλα τα φώτα, η χαρά, η ανάπαυσις, η απόλαυσις, η ζωή η αληθινή, η σωτηρία, η οποία παραμένει εις τους αιώνας των αιώνων και εις Σε αρμόζει δόξα, τιμή, προσκύνησις, νυν και αεί και εις τους αιώνας. Αμήν.

Ιδιαιτέρως παρακαλώ σας, αγαπημένοι εκλεκτοί του Θεού, να παρακαλέσετε την καλωσύνην Του δι' εμε τον αμαρτωλόν, όπως παρεκάλεσαν οι Απόστολοι διά τήν Χαναναίαν: σείς οι άξιοι παρακαλέσατε δι' εμε τον ανάξιον, σείς οι τίμιοι δι' εμέ τόν ανάξιον και άχρηστον, διά να εισέλθη και η ίδική μου δέησις μαζί με τας ευπροσδέκτους ικεσίας σας ενώπιον του Θεού και να με ελευθερώση από την τυραννίαν του διαβόλου. Να εγγραφή το όνομά μου εις το βιβλίον της ζωής και να αξιωθώ να προσκυνήσω, χωρίς εντροπήν, εμπρός εις τον θρόνον της Βασιλείας Του, διότι ιδική Του είναι η Βασιλεία και η δύναμις και η δόξα εις τους αιώνας. Αμήν.

Γ'. Του Αββά Ησαΐου

ΟΥΑΙ ΜΟΙ, οὐαὶ μοί, ὅτι οὔπω ἤλευθερωθην ἀπὸ τινὸς τῆς γεέννης! Οἱ καταποντίζοντες μὲ ἐν τῷ πυρὶ ἔτι καρποφορούσιν ἐν τῇ σαρκί μου, καὶ πάντα τα ἔργα αὐτῆς κινεῖται ἐν τῇ καρδίᾳ μου οὔπω γὰρ ἔγνων ἀπ' ἐντεῦθεν ποὺ ἀπελεύσομαι, οὔπω ἥτοιμασθη μοὶ ἡ εὐθεῖα ὁδός, οὔπω ἤλευθερωθην ἀπὸ τῶν ἐνεργειῶν τῶν μελλουσῶν μὲ κωλύειν ἐν τῷ ἀέρι διὰ τὰ ἐν ἐμοὶ πονηρὰ αὐτῶν ἔργα οὔπω εἶδον παρρησίαν μεταξὺ ἐμοῦ καὶ τοῦ κριτοῦ, οὐδὲ ἐμαρτυρήθην μὴ εἶναι ἄξιος θανάτου, οὔπω ἀπέστην κακουργῶν.

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

Οὐκ εὐφραίνεται κακοῦργος ἐν φυλακῇ ἀποκεκλεισμένος, οὐ δύναται ποιῆσαι τὸ θέλημα αὐτοῦ δεθεῖς σιδήρῳ' οὐ διδάσκει ἄλλον καὶ ἀποκεκλεισμένος ἓν ξύλῳ, οὐ μνημονεύει τῆς ἀναπαύσεως καὶ ἐν πόνους ὑπάρχων, οὐδὲ ἐσθίει ἐν ἡδονῇ καὶ δεδεμένος τὸν τράχηλον αὐτοῦ οὖ διαλογίζεται ὅτι ποιῆσαι πονηρά, ἀλλ' ἐν ὀδυνηρᾷ καρδία διακλαίει, διότι ὅλως ἥμαρτε. Πάντα τα πονηρὰ καὶ τὰς κολάσεις, ἃς ποιούσιν αὐτῶ, λέγει περὶ αὐτῶν ναί, ἄξιος εἴμι. Διαλογιζόμενος ἀεὶ τίνα ἔσται τὰ ἔσχατα αὐτοῦ, ἐξερευνῶν τῆς τιμωρίας κατὰ τὰς ἁμαρτίας αὐτοῦ, ἀμεριμνεῖ ἡ καρδία αὐτοῦ κρίναι τινά. Ὁ πόνος τῶν βασάνων κατατρώγει τὴν καρδίαν αὐτοῦ. ,

Οὐαι, πικρὸν ἔστιν αὐτὴ ἡ μελέτη, οὐκ ἐνδυναμοι ἄλλους μὴ ἀκηδιάν. Μέριμνα βρώσεως οὐκ ἔστιν ὅλως αὐτὸ τὸ ἔλεος τῶν ποιούντων μετ' αὐτοῦ ἔλεος ἔστιν.

Ὀνειδιζόμενος οὐκ ἀποκρίνεται τοῖς ὀνειδίζουσιν ἐν θυμῷ' γέλως ὀδόντων ἀπέστη αὐτοῦ κινεῖ τὴν κεφαλὴν αὐτοῦ ἐν στεναγμῷ, μνημονεύων τοῦ βήματος ἐν ὢ μέλλει παραστῆναι. Ἐὰν ἀκούση ρήματα, οὐ λέγει καλῶς ἢ κακῶς, οὐδὲ προσέχει ὅλως αὐτοῖς. Τὰ βλέφαρα αὐτοῦ ρέουσιν ὕδωρ διὰ τοὺς πόνους ἐν οἷς συνέχεται. Ἐὰν ἔστιν ἐξ εὐγενῶν γονέων πλέον λυπεῖται διὰ τὴν αἰσχύνην τῶν μελλόντων αὐτὸν θεωρεῖν ἐν τῷ βήματᾳ.

Τοῦ βήματος εὐτρεπιζομένου δὶ' αὐτὸν οὐ προσέχει τῷ δήμῳ καλοὶ εἰσιν ἢ κακοί, ἀλλ' ἵσταται τρέμων τὴ καρδία καὶ τῷ σώματι κλονούμενος πάντοθεν. Ἐὰν εἰσιν ἄλλοι συνδεδεμένοι αὐτῶ, οὐ προσέχει αὐτούς, οὐδὲ σκέπτεται μετ' αὐτῶν τί δεῖ ποιῆσαι. Ἕκαστος γὰρ βαστάζει τὸ οἰκεῖον φορτίον ἕλκομενος ἀναιρείσθαι, τὸ πρόσωπον αὐτοῦ ἐσκοτισμένον. Οὐδεὶς τῶν ἀνθρώπων ὑπὲρ αὐτοῦ λόγον ποιεῖται διὰ τὸν φόβον τῶν βασάνων, ὁμολογεῖ ἅπερ ἔπραξε καὶ κριθῆναι ἀξίως ὧν ἥμαρτεν.

Ἕως πότε οὖν μεθύω ἄνευ οἴνου καὶ ἀμελῶ ἔχων ταῦτα πρὸ ἐμοῦ; Ἡ σκληρότης τῆς καρδίας μου ἐξήρανε τοὺς ὀφθαλμούς μου καὶ ὁ περισπασμὸς τοῦ νοός μου ἐποίησε μοὶ λήθην ἕως τῆς ὥρας τοῦ σκότους. Κλαύσατε οὖν σὺν ἔμοι πάντες, ἀδελφοί μου, οἱ γινώσκοντες μέ, καὶ δεήθητε τοῦ Θεοῦ, ἵνα ἔλθη μοὶ βοήθεια ὑπὲρ τὴν δύναμίν μου, καὶ κατακυριεύση μου καὶ ἐλευθερώση μὲ ἀπὸ τῶν ἑλκόντων μὲ εἰς τὴν γέενναν.

Ἀδελφοί, σπουδάσωμεν κτήσασθαι ἑαυτοῖς τὴν Μάρθαν καὶ τὴν Μαρίαν, ἀϊτινὲς εἰσιν ἢ κακοπάθεια καὶ τὸ πένθος, αἳ κλαίουσιν ἐνώπιόν του Σωτῆρος, ἕνα ἔγειρῃ τὸν Λάζαρον, τουτέστι τὸν νοῦν, τὸν δεδεμένος πολλαῖς χειρίαις τῶν ἰδίων θελημάτων. Καὶ ὁ μὲν Σωτὴρ ποιεῖ τὸ ἔλεος, καὶ ἀνεγείρει αὐτὸν αὐταῖς λοιπὸν δὲ αὐτῶν ἐστι λύσαι καὶ ἀπολύσαι αὐτόν. Ἐὰν δὲ ἐλευθερωθῆ ὁ Λάζαρος, τότε ἡ σπουδὴ Μαρίας καὶ Μάρθας φαίνεται καὶ μὲν γὰρ Λάζαρος τοῦ λοιποῦ εὑρίσκεται ἀμέριμνος, ἀνακείμενος σὺν τῷ Ἰησοῦ Μάρθα δὲ ποιοῦσα τὴν ἰδίαν διακονίαν μετὰ σπουδῆς καὶ χαρᾶς, Μαρία δὲ εἰσφέρουσα τὸ ἀλάβαστρον τοῦ μύρου καὶ ἀλείφουσα τοὺς πόδας τοῦ Κυρίου τὸ γὰρ

πένθος ὡς μύρον ὁ Δεσπότης προσδέχεται. Ἡ μὲν κακοπάθεια ἐν γνώσει καταλαμβάνει τὰς γενομένας πρὸ αὐτῆς ἀμελείας, τὸ δὲ πένθος τῶν αἰσθήσεων ἰᾶται τὰ πλήγματα τῶν ἔνδοθεν πολεμίων.

Ταῦτα δὲ ἐστι τὰ ἔργα τῶν ἀληθῶς πενθούντων, τὸ συνάγειν τὸν νοῦν σὺν ταῖς αἰσθήσεσιν ἄπο τούτων τῶν φαινομένων το μὴ κρίνει τὸν πλησίον. “Ο γὰρ ἀρκεσθεῖς ταϊς ἰδίαις ἁμαρτίαις ἀφίσταται τοῦ πλάσματος τοῦ Θεοῦ, τοῦ μὴ κρίναι αὐτό. Τὸ μὴ ἀνταποδούναι τὸ κακοποιοῦνται το μὴ λυπείσθαι ἐπὶ τοῖς γενομένοις παρὰ τοῦ συνοικοῦντος ἄνευ τῆς γνώμης αὐτοῦ το μὴ ποιῆσαι τὸ ἴδιον θέλημά το μὴ εἰπεῖν περὶ τινός, ὅτι καλὸς ἐστιν ἢ κακὸς αἰσχύνη γὰρ αὐτῶ ἐστι τὸ ὅλως μαθεῖν, ὅτι ἔστι τὶς αἰσχρότερος αὐτοῦ το μὴ θέλειν γνώναι περὶ πράγματος μὴ διαφέροντος αὐτό. Τὸ μὴ πονῆσαι ὀνειδιζομενόν' το μὴ κοπιᾶσαι ἐν κοινῇ μεταδόσει παροραθέντα το μὴ ταραχθῆναι συκοφαντούμενον, εἰς πρᾶγμα δ οὐκ οἶδεν, ἀλλὰ λέγειν εὐθύς το συγχώρησον. Τὸ μὴ καταδέξασθαι ἐὰν τὶς αὐτὸν δοξάζῃ το μὴ ἀλγῆσαι ὑβριζόμενον. Τὸ μὴ περιτρέχειν εἰς τὴν φιλίαν τῶν ἐνδόξων του κόσμου θέλοντα αὐτήν το μὴ θέλειν στῆσαι τὸν λόγον αὐτοῦ καν καλὰ λέγῃ, μηδὲ φιλονικῆσαι ἓν τινι.

Ταῦτα καὶ τὰ τούτοις ἑπόμενα, ἐν ὢ εἰσι, φανερούσι τὸν ἄνθρωπος ὅτι τὸ ἀληθινὸν πένθος ἔχει, καὶ τοῖς νοεροῖς ὀφθαλμοῖς ἐγνώρισεν ἑαυτὸν καὶ τὴν οἰκείαν ἀσθένειαν, καὶ κατενόησε τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἐπέγνω ὡς οὐ δύναται ἀρέσαι τῷ Θεῷ κατὰ τὴν δόξαν αὐτοῦ. Διὸ καὶ ἀρκεῖται τὴν οἰκεία λύπη, κλαίων ἑαυτὸν καὶ ἀμεριμνῶν περὶ τοῦ πλάσματος τοῦ Θεοῦ, καὶ μέλλει αὐτὸς κρίναι διὸ καὶ φυλάττει τὴν οἰκοδομῆς αὐτοῦ σώαν, ἣν ὤκοδομησεν αὐτῶ τὸ πένθος. Ἡ γὰρ κατὰ Θεὸν λύπη, κατατρώγουσα αὐτοῦ τὴν καρδίαν, δύναται κτήσασθαι τὰς αἰσθήσεις καὶ πάλιν ἀνθισταμένη μετὰ νήψεως σώα φυλάττει τὰ τοῦ νοὸς αἰσθητήρια. Καὶ γὰρ ἐὰν μὴ ἀπαντήση ἄνθρωπος ἐν τῷ κριτηρίων καὶ ἀκούση τῆς ἀποφάσεως, καὶ γνῶ ὁποιὸς ἔστιν ὁ τόπος αὐτοῦ, οὐ δύναται ἂμεριμνησαι, οὐδὲ ἑαυτῶ πιστεύσαι. "Ὅσον γὰρ ἔστιν ἐν τῷ σώματι, ἀκαταπαύστως ὀφείλει ἐν κόπῃ εἶναι.

Μακάριοι οἱ μὴ θαρρήσαντες τῷ ἔργῳ αὐτῶν, ὡς ἀρέσαντι Κυρίω, καὶ διὰ τοῦτο αἰδούμενοι ἀπαντῆσαι αὐτὸ καὶ πενθοῦντες ἀεὶ ἑαυτοὺς διὰ τὸ μὴ δύνασθαι ποιῆσαι πᾶν το θέλημα τοῦ Θεοῦ κατὰ τὴν βούλησιν αὐτοῦ, εὑρήσουσιν ὄντως παράκλησιν ἀνεκλάλητον. “Οταν μαρτυρήσωσιν περὶ αὐτῶν οἱ ἐπουράνιοι, ὅτι παρῆλθον τοὺς τῆς ἀριστερᾶς ἄρχοντας, τότε τὸ μνημόσυνον αὐτῶν ἔσται μετὰ τῶν ἐπουραγίων. “Εως δὲ ἐστι πόλεμος, ὑπὸ φόβος καὶ τρόμον ἐστὶν ὁ ἄνθρωπος, ἢ νικῆσαι σήμερον ἢ νικηθῆναι, ἢ ἠττῆσαι αὔριον ἢ ἠττηθῆναι. Ὁ γὰρ ἀγὼν περισφίγγει τὴν καρδίαν, ἡ δὲ ἀπάθεια ἀπολέμητος ἐστιν' ἐδέξατο γὰρ τὸ βραβεῖον καὶ ἡμερίμνησε, τῶν τριῶν μεμερισμένων εἰρηνευσάντων ἀλλήλους καὶ ἑνοποιηθέντων, ἤγουν ψυχῆς, σώματος καὶ πνεύματος.

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

Ὅταν γὰρ τὰ τρία ταῦτα ἐν γένηται, κατὰ τὸν Ἀπόστολον, διὰ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος, οὐκέτι δύναται ἀποχωρισθῆναι. Χριστὸς γὰρ ἀπέθανε, φησί, καὶ ἀνέστη, καὶ οὐκέτι ἀποθνῄσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. "Ο γὰρ θάνατος αὐτοῦ ἡμὶν ἐγένετο σωτηρία, νεκρωθείσης τῆς ἁμαρτίας διὰ τοῦ θανάτου, καὶ ἡ ἀνάστασις αὐτοῦ ζωὴ αἰώνιος ἐγένετο πάσι τοῖς εἰς αὐτὸν πιστεύουσι. Σὺ δὲ μὴ λογίζου σεαυτὸν ὅτι ἀπέθανες, ἐν ὅσῳ βιάζῃ ὑπὸ τῶν ἐχθρῶν σου, εἴτε ἐν ἐγρηγόρσει εἴτε ἐν ὕπνο ὅσον γὰρ ἔστιν ὁ ταλαίπωρος ἄνθρωπος ἐν τῷ σταδίῳ, οὐκ ἔχει τὸ θάρσος, καὶ ὁρῶν ἀπὸ διαστήματος, οὐ καταπιστεύει ταῖς ἑαυτοῦ πράξεσιν ὁ δὲ ἄφρων καθ' ἑκάστην πίπτων, δοκεῖ νικᾶν, μὴ ὄντος ἀγῶνος ἐν τῷ σταδίῳ.

Διὰ τοῦτο καὶ ὁ Κύριος ἀποστέλλων τὸ πρότερον ἐπὶ τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητᾶς, παρήγγειλεν αὐτοῖς λέγων· «μὴ ἀσπάσησθε τινὰ ἐν τῇ ὁδῷ, ἀσπάσασθε δὲ τοὺς ἐν τῇ οἰκίᾳ καὶ ἐὰν ἦ ἐκεῖ υἱὸς εἰρήνης, παρ' αὐτῶ μείνατε, καὶ ἐκεῖ καταπαύσει ἡ εἰρήνη ὑμῶν» ἔτι γὰρ ἔδεοντο φυλακῆς.

2. Εἶπεν ὁ αὐτός, ὅτι διὰ τοῦτο ἐν τοσούτοις κόποις ἐσμὲν τῶν ἐχθρῶν ἡμῶν, ὅτι οὔπω ἀκριβῶς ἔγνωμεν τὰ ἐλαττώματα ἡμῶν, οὐδὲ τὸ πένθος ἐπέγνωμεν ἐν γνώσει ἐπεῖ ἐὰν ἀποκαλυφθῆ ἡμὶν τὸ πένθος, φανεροὶ ἡμὶν τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐὰν ἡμᾶς οἱ ἐχθροὶ ἡμῶν καταλείψωσιν εἰδέναι τὰς ἁμαρτίας ἑαυτῶν ἐν ἀληθεῖᾳ, αἰσχυνθῆναι ἔχομεν, κὰν εἰς πρόσωπον ἀτενίσαι τινὸς τῶν προϊσταμένων γυναικῶν, ὅτι ἐντιμότεραι ἡμῶν εἰσὶν αὗται γὰρ ἐν παρρησίᾳ τὰς ἑαυτῶν ἁμαρτίας ποιούσιν, ὅτι οὐκ οἴδασι τὸν Θεόν. Ἡμῶν δὲ τῶν πιστῶν αἱ καρδίαι συντίθενται ἐν ταῖς ἁμαρτίαις αὐτῶν.

3. Πάλιν εἶπεν, ὅτι ἄνθρωπος βλέπων τὰς ἁμαρτίας αὐτοῦ διὰ παντὸς οὐκ ἔχει γλῶσσαν λαλῆσαι μετὰ τινὸς ἀνθρώπων.

4. Εἶπεν καὶ αὐτὸς οὐαὶ μοί, ταλαίπωρε ψυχή, ὅτι λύπη μοί ἐστι καὶ ἀδιάλειπτος ὀδύνη τὴ καρδία μου, ὅτι τὰ βέλη τοῦ ἐχθροῦ τα πεπυρωμένα ἐνεπάγησάν μου, καὶ ἐξετύφλωσαν τὸν ἔσω μου ἄνθρωπον, καὶ σκιὰ θανάτου ἐκάλυψε μέ. Οὔαι μοί, ἀθλία ψυχή, ὅτι λύπην ἀντὶ χαρᾶς ἐξελεξάμην, καὶ τὴν γῆν καὶ τὴν ἀσβόλην αὐτῆς ὑπὲρ τὴν τρυφὴν τοῦ Παραδείσου καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἠγάπησα. Τὶς μὴ θρηνήσει μὲ τὶς μὴ ἀποκλαύσει μὲ πικρῶς, τὸν πασάν μου τὴν ζωὴν εἰς μάταια καταναλώσαντα;

Ἐλεήσατε μέ! Ἐλεήσατε μέ! Ἐλεήσατε μέ, ὦ φίλοι, καὶ ἐμπόνως ἱκετεύσατε ὑπὲρ ἐμοῦ καὶ τῆς ἔμης ἀπολυτρώσεως τῶν κατὰ συνήθειαν κακῶν, τὸν ἀνεξίκακον καὶ ἀγαθόν μου Δεσπότην Χριστόν, εἰ πὼς δυσωπηθεῖς ταῖς ἱκεσίαις ὑμῶν σπλαγχνισθῆ ἐπ' ἐμοί, καὶ ἀπελάση τὴν δεινὴν σκότωσιν τοῦ μισοκάλου διαβόλου ἀπὸ τῆς διανοίας μου, καὶ θεάσωμαι ἐν πόσο βορβόρη κατακεῖμαι, καὶ δυνάμενος ἀναστῆναι οὐ βούλομαι μήπως συνεσταλμένος μου ὢν ὁ καιρὸς τῆς ζωῆς, πᾶσάν μου τὴν ἐλπίδα περιέκοψεν.

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

Οὐκ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου οὐδὲ πληγῆ κατὰ τὴν ἐμὴν πληγήν, οὐδὲ ὀδύνη κατὰ τὴν ὀδύνην τῆς καρδίας μου, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, καὶ κατηνέχθην εἰς ἰλὺς βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις. Οἴμοι, ψυχή, ἀναβλεψον καὶ ἴδε τὰ παρόντα πρόσκαιρα καὶ μετὰ μικρὸν παρερχόμενα, καὶ ἀναλόγισαι τὰ μέλλοντα, τὰ ἀεὶ ἑστώτα καὶ διαμένοντα, καὶ οἵων καὶ ὅσων ἀγαθῶν ἐκπεσεῖν μέλλεις, καὶ ποταπῶν κολάσεων κληρονόμος γενήσῃ, ἀδιάδοχος τὲ καὶ ἀπαράκλητος. Πρὶν σκοτισθῆ ὁ ἥλιος ἐπάνω της κεφαλῆς σου προκατάλαβε, καὶ προσελθε, καὶ προσπεσον ἐν στεναγμοῖς τὲ καὶ δάκρυσι δεομένη καὶ ἱκετεύουσα τὸν δοτήρα τοῦ ἀθανάτου φωτός, ἵνα σὲ ἐλευθερώση τῆς ἀστέκτου καὶ σκοτεινῆς ἐκείγης φλογός, καὶ τῶν ἄλλων ἐκείνων τιμωριῶν, ὅτι μόνος αὐτὸς δύναται συγχωρεῖν ἁμαρτίας καὶ ἀφιέναι ἀνομίας τοὺς ἀναξίοις τοῦ ἐλέους ἡμίν, καὶ αὐτοῦ ἔστιν ἡ βασιλεία καὶ ἡ δύναμης καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ερμηνεία

ΑΛΛΟΙΜΟΝΟΝ μου, αλλοίμονόν μου, διότι ακόμη δεν ελευθερώθηκα από την γέενναν! Αυτοί (οι δαίμονες) που με βυθίζουν μέσα εις το πυρ της κολάσεως τρυγούν ακόμη καρπούς αμαρτίας από την σάρκα μου, και όλα τα έργα της σαρκός κινούνται μέσα εις την καρδίαν μου. Ακόμη δεν έβαλα εις τον νούν μου που θα υπάγω όταν θα φύγω απ' έδώ: ακόμη δεν έχω εύρει τον ίσιον δρόμον, ακόμη δεν ελευθερώθηκα από τας ενεργείας αι οποίαι πρόκειται να με εμποδίσουν εις τον αέρα, διότι υπάρχουν μέσα μου τα πονηρά έργα των ενεργειών αυτών. Ακόμη δεν έχω το θάρρος να αναφερθώ ελεύθερα εις τον Κριτήν μου, διότι δεν έχω την πληροφορίαν ότι δεν είμαι άξιος θανάτου, ούτε ακόμη έπαυσα να διαπράττω κακουργήματα, δηλαδή αμαρτίας.

Δεν χαίρεται ο κακούργος που έχει κλεισθή εις φυλακήν. Δεν ήμπορεί να κάμη το θέλημα του αυτός που έχει δεθή με αλυσίδας. Δεν διδάσκει άλλον αυτός που τον έχουν περιορίσει εις το ξύλον(*). Δεν σκέπτεται ανάπαυσιν αυτός, που πονεϊ, ούτε τρώγει ευχάριστα αυτός που είναι δεμένος από τον λαιμόν· αυτός ο κατάδικος δεν σκέπτεται να κάμη πλέον και άλλα πονηρά έργα, αλλά κλαίει συνεχώς με σπαραγμένην την καρδίαν, διότι έσφαλεν ανεπανόρθωτα. Δι' όλας τας τιμωρίας και τα βασανιστήρια, εις τα οποία τον υποβάλλουν, λέγει: ναι: είμαι άξιος δι' αυτά. Σκέπτεται πάντοτε ποίον θα είναι το τέλος του, εξετάζει προσεκτικα ποίαι τιμωρίαι

(*) Το τιμωρητικόν ξύλον ήτο μία σανίδα με δύο οπάς, μέσα εις τας οποίας έτοποθέτουν τα πόδια του καταδίκου, διά νά μή κινείται. Τούτο ήτο κουραστικός και οδυνηρόν.

αντιστοιχούν εις τα αμαρτήματά του και έτσι δεν ενδιαφέρεται να κρίνη κανένα. Ο πόνος από τα βάσανα κατατρώγει την καρδίαν του.

Αλλοίμονον, δι' αυτόν είναι πικρόν πράγμα η μελέτη δεν έχει την δύναμιν να δώση θάρρος είς άλλους να μη βαρύνονται. Ουδόλως φροντίζει για το είδος του φαγητού του αρκείται εις την ελεημοσύνης αυτών, που τον ευσπλαγχνίζονται. Οταν ονειδίζεται, δεν απαντά με θυμόν εις αυτούς που τον ονειδίζουν το γέλιο έχει εξαφανισθή από τα χείλη του αναστενάζει και κινεί απελπισμένα την κεφαλήν του, διότι σκέπτεται συνεχώς το δικαστήριον έμπρός εις το οποίον πρόκειται να παρουσιασθή. Εάν ακούση να συζητούν, δεν απαντά αν λέγουν καλά ή κακά ούτε κάν προσέχει τί λέγουν. Τα μάτια του συνεχώς τρέχουν ως ποταμός, από τους ψυχικούς πόνους που δοκιμάζει. Αν κατάγεται από ευγενείς γονείς, λυπείται ακόμη περισσότερον από την εντροπήν δι' αυτούς που πρόκειται να τον ίδουν εις το βήμα του δικαστηρίου.

Ενώ ετοιμάζεται δι' αυτόν το δικαστήριον δεν προσέχει το πλήθος αν είναι καλοί ή κακοί, αλλά τόσον η καρδία του όσον και το σώμα του τρέμουν από παντού. "Αν υπάρχουν και άλλοι, που πρόκειται να δικασθούν μαζί του, δεν τους προσέχει, ούτε σκέπτεται μαζί των τι πρέπει να κάμη, διότι όταν κανείς σύρεται δια να καταδικασθή, σηκώνει το φορτίον των εγκλημάτων του και το πρόσωπόν του είναι σκοτεινιασμένον. Κανείς άνθρωπος δεν λέγει υπέρ αυτού ούτε μίαν λέξιν από τον φόβον των τιμωριών, ομολογεί αυτά που έπραξε και παραδέχεται ότι δικαίως θα τιμωρηθή έπαξίως των αμαρτιών τας οποίας έπραξε.

Μέχρι πότε λοιπόν θα μεθώ χωρίς κρασί και θα αδιαφορώ, όταν έχω αυτα εμπρός μου; Η σκληρότης της καρδίας μου εξήρανε τα μάτια μου και οι περισπασμοί του νου μου με έκαμαν να λησμονήσω ολότελα την ώραν την σκοτεινήν. Κλαύσατε λοιπόν μαζί μου όλοι, αδελφοί μου, σείς που με γνωρίζετε και παρακαλέσατε τον Θεόν να μου πέμψη βοήθειαν μεγαλυτέραν από την δύναμιν μου, η οποία να με κατακτήση και να με ελευθερώση από εκείνους που με σύρουν εις την γέενναν.

Αδελφοί μου, ας φροντίσωμεν να αποκτήσωμεν διά τους εαυτούς μας την Μάρθαν και την Μαρίαν, αι οποίαι σημαίνουν δι' ημάς την σωματικήν κακοπάθειας και το ψυχικόν πένθος, αι οποίαι κλαίουν έμπρός εις τον Σωτήρα διά να αναστήση τον Λάζαρον, δηλαδή τον νούν, ο οποίος είναι δεμένος με τα πολλά σχοινιά των θελημάτων μας. Και ο μεν Σωτήρ κάμνει το έλεός του και τον ανασταίνει προς χάριν των από εκεί και πέραν όμως αυται έχουν υποχρέωσιν να του λύσουν τα σχοινιά και να τον ελευθερώσουν. "Όταν δε ελευθερωθή ο Λάζαρος, τότε γίνεται φανερή ή

φροντίς της Μαρίας και της Μάρθας: διότι εις το εξής ο Λάζαρος, χωρίς μερίμνας πλέον, κάθεται μαζί με τον Ιησούν, η Μάρθα κάμνει το διακόνημά της με ενδιαφέρον και χαράς και η Μαρία φέρει μέσα το αλαβάστρινον δοχείον του μύρου και αλείφει τους πόδας του Κυρίου: ο Κύριος δηλαδή δέχεται το πένθος όπως το μύρον. Η μεν σωματική κακοπάθεια επανορθώνει την αμέλειαν που επεδείξαμεν πριν από αυτήν, το δε πένθος των αισθήσεων θεραπεύει τας πληγάς, που προεκάλεσαν μέσα εις την ψυχήν μας οι εχθροί.

Τα δε έργα αυτών που ειλικρινά πενθούν είναι: Το να απομακρύνουν τον νούν μαζί με τας αισθήσεις από τα γύρω φαινόμενα, και το να μη κρίνουν τον πλησίον· διότι εκείνος που απασχολείται με τας αμαρτίας του, αποφεύγει να κρίνη το πλάσμα του Θεού. Προσέχει να μη ανταποδώση τα ίσα εις εκείνον που του κάμνει κακόν: να μη λυπηται δι' όσα έγιναν χωρίς την γνώμην του, από τον συγκάτοικόν του να μη κάμη το θέλημά του: το να μη έκφέρη γνώμην διά κάποιον, ότι είναι καλός ή κακός, διότι το θεωρεί εντροπής του να μάθη, ότι υπάρχει κάποιος αισχρότερος από αυτόν το να μη θέλη να μάθει πράγματα, που δεν τον ενδιαφέρουν. Το να μη στενοχωρήται όταν τον ονειδίζουν: το να μη λυπηθή, αν τον παραβλέψουν εις την συνηθισμένην διανομήν το να μη ταραχθή όταν συκοφαντήται δια πράγμα, που δεν γνωρίζει, αλλά να λέγη αμέσως (διά τον συκοφάντην του) ας είναι συγχωρεμένος: το να μη παραδέχεται επαινετικούς λόγους, αν κάποιος τον έπαινή: το να μη λυπηθή, όταν τον υβρίζουν. Το να μη επιδιώκη την φιλίαν των επισήμων κοσμικών ανθρώπων το να μη θέλη να επιβάλη την γνώμην του, έστω και αν ομιλη σωστά, ούτε να φιλονικηση διά κάτι.

Όποιος άνθρωπος έχει αυτάς τας αρετάς και όσας σχετίζονται με αυτάς, αποδεικνύει ότι έχει το αληθινόν πένθος και ότι με τα μάτια της ψυχής του εγνώρισε τον εαυτόν του και την αδυναμίας του, έβαλε καλά εις τον νούν του την δόξαν του Θεού και αντελήφθη ότι δεν ημπορεί να αρέση εις τον Θεόν όπως νομίζει! Δι' αυτό και αρκείται εις την λύπην του, κλαίει δια τον εαυτόν του και δεν απασχολείται με το πλάσμα του Θεού, τον άνθρωπος, που πρόκειται να κρίνη Εκείνος: δι' αυτό και προσέχει να διατηρή ακεραίαν την πνευματικής οικοδομήν, την οποίαν έκτισεν εντός του το πνευματικόν πένθος. Διότι η κατά Θεόν λύπη, η οποία κατατρώγει την καρδίαν του, μπορεί να κατακτήση τας αισθήσεις και αν συνεχίση πάλιν να εναντιώνεται με σύνεσιν, τότε διατηρεί αβλαβή και τα αισθητήρια του νου. Διότι αν ο άνθρωπος δεν φθάση εμπρός εις το κριτήριον και δεν ακούση την απόφασιν και δεν μάθη ποίος πραγματικά είναι, δεν ήμπορεί να μην έχη αγωνίαν, ούτε να εμπιστευθή εις τον εαυτόν του. Όσον η ψυχή παραμένει εις το σώμα, οφείλει ακατάπαυστα να κοπιάζη.

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

Μακάριοι είναι εκείνοι, οι οποίοι δεν έστήριξαν το θάρρος των εις τα έργα των ότι τάχα είναι αρεστά εις τον Κύριον, και διότι εντρέπονται να τον αντικρύσουν. Αυτοί πάντοτε πενθούν, επειδή δεν ήμπορούν να κάμουν το θέλημα του Θεού, όπως εκείνος το θέλει έτσι πραγματικά ευρίσκουν παρηγορίαν, την οποίαν δεν ήμπορούν να την εκφράσουν με λόγους. Όταν θα καταθέσουν εις το επουράνιον Κριτήριον υπέρ αυτών οι Αγγελοι και Αγιοι του Ουρανού ως μάρτυρες, ότι εξέφυγαν από την εξουσίαν των σκοτεινών αρχόντων που συνήθως μάς πολεμούν από τα αριστερά, τότε θα μνημονεύωνται και αυτοί μαζί με τους Αγίους του ουρανού.

Έφ' όσον όμως διεξάγεται και πνευματικός πόλεμος, ο άνθρωπος θα φοβείται και θα τρομάζη, τι θα γίνη σήμερον; θα νικήση ή θα νικηθής ή τι θα γίνη αύριον; θα νικήση ή θα νικηθή; Ο αγών δηλαδή σφίγγει την καρδίαν, ενώ η απάθεια είναι δύσκολον να πολεμηθη. Διότι έλαβε το βραβείον της νίκης και ηρέμως και ησύχως πλέον διάγει επειδή ειρήνευσαν μεταξύ των και έγιναν ένα οι τρείς χωρισμένοι, δηλαδή η ψυχή, το σώμα και το πνεύμα.

Οταν δηλαδή αυτά τα τρία γίνουν ένα, κατά τον Απόστολον, (Έφεσ. δ', 4) με την ενέργειας του Αγίου Πνεύματος, δεν ήμπορούν πλέον να αποχωρισθούν. Διότι ο Χριστός απέθανε - λέγει – και ανεστήθη και ποτέ πλέον δεν αποθνήσκει, ο θάνατός Του έγινε δι' ημάς σωτηρία, επειδή η αμαρτία ένεκρώθη με τον θάνατον, και η Ανάστασις Του έγινεν αιώνιος ζωή δι' όλους όσοι πιστεύουν εις Αυτόν.

Συ να μη θεωρής ότι απέθανες, εφ' όσον πολεμείσαι από τους έχθρούς σου, είτε όταν είσαι ξυπνητός είτε όταν κοιμάσαι: εφ' όσον δηλαδή ο ταλαίπωρος άνθρωπος βρίσκεται μέσα εις το στάδιον των πνευματικών αγώνων δεν ξεθαρρεύεται και, όταν βλέπη με αντικειμενικότητα, δεν εμπιστεύεται εις τας πράξεις του. Ο ασύνετος όμως, ενώ πίπτει καθημερινά, νομίζει ότι νικά, χωρίς να διεξάγεται αγών εις το στάδιον. Διά τούτο ο Κύριος, όταν έστελλε τους Μαθητάς του εις το κήρυγμα, τους παρήγγειλε «μή ασπασθήτε κανένα εις τον δρόμον, να ασπασθήτε αυτους που μένουν εις την οικίαν· και αν ευρίσκεται εκεί άνθρωπος ειρηνικός, μείνετε κοντά του και εκεί θα αναπαυθη η ειρήνη σας» (Λουκ. ι', 4-7)· και εκείνοι είχαν ακόμη ανάγκην από προφύλαξιν.

2. Ο ίδιος είπε: διά τούτο υποβαλλόμεθα εις τόσας ταλαιπωρίας και βάσανα εκ μέρους των εχθρών μας, διότι δεν έχομεν αντιληφθη ακόμη τα ελαττώματά μας, ούτε έχομεν επίγνωσιν τού τι σημαίνει πένθος. Επειδή αν γεννηθή μέσα μας το πένθος, μάς φανερώνει τας αμαρτίας μας και αν μας αφήσουν οι εχθροί της ψυχής μας να γνωρίσωμεν πραγματικά τας αμαρτίας μας, θα εντραπώμεν τότε και εις το πρόσωπον

ακόμη να κοιτάξωμεν κοινήν γυναίκα, διότι είναι εντιμότεραι από ημάς: αύται επί τέλους αμαρτάνουν με αναίδειαν, διότι δεν γνωρίζουν τον Θεόν. Ενώ ήμεις, αν και πιστεύομεν, συμφωνούμεν μέσα εις την καρδίαν μας με τας αμαρτίας των

3. Ο ίδιος είπε πάλιν ο άνθρωπος, που βλέπει συνεχώς τας αμαρτίας του, δεν ημπορεί να ομιλήση ποτέ με κανένα άνθρωπον.

4. Είπεν ο ίδιος: 'Αλλοίμονον εις εμέ, ταλαίπωρε ψυχή μου, διότι αισθάνομαι λύπην και αδιάκοπον οδύνην εις την καρδίαν μου, επειδή τα φλογισμένα βέλη του εχθρού έχουν καρφωθή εντός μου, ετύφλωσαν τελείως τον εσωτερικόν μου άνθρωπος και με εσκέπασε σκιά θανάτου. 'Αλλοίμονον εις εμέ, αθλία ψυχή, διότι εδιάλεξα την λύπην αντί της χαράς, και την γην και την στάχτην ηγάπησα περισσότερον από την απόλαυσιν του Παραδείσου και την Βασιλείαν των Ουρανών. Ποίος δεν θα με θρηνήση; Ποιος δεν θα κλαύση πικρά, διότι κατεξώδευσα ολόκληρον την ζωήν μου εις την ματαιότητα;

Ελεήσατέ με! Ελεήσατε με! Έλεήσατέ με, ώ φίλοι, και παρακαλέσατε με επιμονήν δι' εμέ τόν ανεξίκακον και καλόν μου Δεσπότην Χριστόν, να με απολυτρώση από τις κακίας που κατά συνήθειαν διαπράττω, μήπως δυσωπηθή από τας παρακλήσεις σας, με σπλαγχνισθή και διώξη από την διάνοιάν μου την φοβεραν τύφλωσιν τού μισοκάλου διαβόλου και κατορθώσω να ίδω είς ποίον βόρβορον έχω πέσει καί, ενώ ήμπορώ να σηκωθώ, δεν θέλω μήπως έτσι, επειδή πλέον είναι ολίγος ο χρόνος της ζωής μου, μου απέκοψε κάθε ελπίδα σωτηρίας μου.

Δεν υπάρχει πόνος όπως τον πόνον μου, ούτε πληγή όπως την πληγήν μου, ούτε οδύνη ωσαν την οδύνην της καρδίας μου, διότι αι ανομίαι μου εξεπέρασαν την κεφαλήν μου (Ψαλμ. λζ', 5) και κατεκρημνίσθην εις βυθόν γεμάτον λάσπην και δεν έχω που να στηριχθώ (Ψαλμ. ξη', 3). 'Αλλοίμονον, ψυχή μου, άνοιξε τα μάτια σου και ίδε ότι τα παρόντα είναι πρόσκαιρα και εντός ολίγου φεύγουν σκέψου τα μέλλοντα, τα οποία υπάρχουν αιωνίως και από ποία και πόσα αγαθά θα ξεπέσης, ακόμη δε και πόσην φρικτην κόλασιν θα κληρονομήσης, χωρίς να ελπίζης ότι κάποιος θα σε διαδεχθή ή θα σε παρηγορήση. Πριν να σκοτισθή ο ήλιος επάνω από την κεφαλήν σου, τρέξε και έλα κοντά και παρακάλεσε γονατιστή τον δοτήρα του αθανάτου φωτός και ικέτευσε Τον να σε ελευθερώση από εκείνην την ανυπόφορον και σκοτεινήν φλόγα και από τας άλλας τιμωρίας, διότι μόνον Αυτός μπορεί να συγχωρη αμαρτίας και να παραβλέπη ανομίας εις ημάς τους αναξίους του ελέους Του εις Αυτον δε ανήκει η Βασιλεία και η δύναμις και η δόξα εις τους αιώνας. 'Αμήν.

Δ'. Του Αββά Ισαάκ

ΕΙΣΙ δάκρυα καίοντα, καὶ εἰσὶ δάκρυα πιαίνοντα καὶ τὰ μὲν φόβον, τὰ δὲ ἀγάπην αἰτίαν ἔχουσιν. Τὰ μὲν οὖν πρότερα, ἤγουν τὰ διὰ τὰς ἁμαρτίας κατερχόμενα, ξηραίνουσι τὸ σῶμα καὶ καίουσι, καὶ μετὰ πόνου προέρχονται πολλάκις γὰρ καὶ αὐτὸ τὸ ἡγεμονικὸν ἐν τῇ ἐξόδῳ αὐτῶν τῆς ἐξ αὐτῶν βλάβης αἰσθάνεται, τὰ δὲ δεύτερα, εἰς ἅτις καταντᾷ, ὅταν ἱκανῶς τοὺς προτέροις χρήσηται καὶ δι' αὐτῶν ἀπολούσῃ τὰς ἁμαρτίας αὐτοῦ ἐλέει Θεοῦ, ἀβιάστως καὶ σὺν ἡδονῇ κατέρχονται, τῆς ψυχῆς θείας χάριτος γευσαμένης, καὶ ἐν χαρᾷ καὶ δίψῃ ἀγάπης ἀπόνως αὐτοῦ προχεούσης, ἃ καὶ ὀρμίζουσι καὶ πιαίνουσι τὸ σῶμα, καὶ τὴν τοῦ ἀνθρώπου ὄψιν ἀλλοιούσι, κατὰ τὸ γεγραμμένον, «καρδίας εὐφραινομένης, πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει». Εἰ οὖν τῶν δευτέρων ἐπιθυμοῦμεν τυχεῖν, τῶν προτέρων, ὡς δυνατόν, ἐπιμεληθῶμεν, καὶ ληψόμεθα κακείνα συντόμως διὰ τῆς τοῦ Θεοῦ χάριτος.

Ερμηνεία

ΥΠΑΡΧΟΥΝ δάκρυα που καίουν και δάκρυα που δροσίζουν: τα πρώτα έχουν αιτίαν τον φόβον, τα δε δεύτερα την αγάπην. Τα πρώτα λοιπόν, αυτά δηλαδή που τρέχουν λόγω των αμαρτιών, ξηραίνουν το σώμα και καίουν και προκαλούν εις την ψυχήν πόνον. Διότι πολλές φοράς, όταν εξέρχωνται αυτά τα δάκρυα, δεν δύναται ο άνθρωπος να συγκρατήση τον εαυτόν του: ενώ τα δεύτερα, που έρχονται σε κάποιον, αφού χύση αρκετά από τα προηγούμενα και αποπλύνη με αυτά τας αμαρτίας του, μαζί με το έλεος του Θεού, κατεβαίνουν αβίαστα και με πνευματικήν ηδονήν.

Όταν η ψυχή γευθή πλέον την θείαν Χάριν, τότε χύνει δάκρυα χωρίς να δοκιμάζη πόνον ο άνθρωπος και αυτά τα δάκρυα δυναμώνουν, ωφελούν και περιθάλπουν το σώμα, άλλοιώνουν και το πρόσωπον του ανθρώπου, σύμφωνα με το ρητόν: «όταν χαίρεται η καρδία λάμπει το πρόσωπον, ενώ όταν είναι λυπημένη σκυθρωπάζει» (Παροιμ. ιε', 13 - 14). Αν λοιπόν επιθυμούμεν να απολαύσωμεν τα δεύτερα, ας φροντίσωμεν, όσον ήμπορούμεν, διά τα πρώτα δάκρυα (της μετανοίας), οπόταν, με την Χάριν του Θεού, θα λάβωμεν σύντομα και εκείνα.

Ε'. Τού αυτού

Ἐρώτησις

[427]

ΚΑΙ δυνατὸν ἀεὶ πενθεῖς;

Ἀπόκρισις

ΔΥΝΑΤΟΝ, πᾶσα γὰρ ἡ μελέτη τοῦ μοναχοῦ ἐν τῷ κελλίῳ αὐτοῦ οὐδὲν ἄλλο ἐστίν. εἰ μὴ ὁ κλαυθμός, καὶ ἡ πρᾶξις αὐτοῦ το πένθος ἐστι. Καὶ αὕτη δὲ ἡ ἐπωνυμία αὐτοῦ, εἰς τοῦτο παρακαλεῖ καὶ προτρέπεται αὐτὸν πενθικὸς γὰρ ὀνομάζεται, τουτέστι πικρὸς τὴ καρδία καὶ πάντες δὲ οἱ "Ἅγιοι πενθοῦντες ἐξεδήμησαν ἐκ τοῦ βίου τούτου. Εἰ οὖν καὶ οἱ "Ἅγιοι ἀεὶ ἐπένθουν, ὁ πεπληρωμένος τραυμάτων πῶς ὑποίσει παύσασθαι πότε τοῦ κλαυθμοῦ; ἡ ψυχή σου τεθανατωμένη ταῖς ἁμαρτίαις καὶ νεκρὰ κεῖται ἐνώπιόν σου, ἥτις βελτιωτέρα ἔστι παρὰ σοῖ ὑπὲρ ὅλον τὸν κόσμον, καὶ οὐ χρήζεις κλαυθμοῦ; Η παράκλησις τοῦ μοναχοῦ ἐκ τοῦ κλαυμου τίκτεται. Καὶ γὰρ οὐκ ἐνδέχεται τινὰ ἀδιαλείπτως πενθοῦντα ὑπὸ τῶν παθῶν διοχλείσθαι, καὶ δὲ μὴ ἔχων ἐν ἑαυτῳ τὴν τῶν παθῶν μνήμην καθαίρεται, καὶ ἐκ τῆς καθάρσεως ἄξιουταί της τοῦ Θεοῦ παρακλήσεως, ἣν ὁ Κύριος τοῖς ἀδιαλείπτως πενθούσι διδόναι ὑπέσχετο.

Ερμηνεία

Ερώτησις

ΚΑΙ είναι δυνατόν πάντοτε να πενθούμεν;

Απάντησις

ΕΙΝΑΙ δυνατόν, διότι όλη η μελέτη του Μοναχού εις το κελλί του δεν αποβλέπει είς άλλο παρά μόνον εις τον κλαυθμών και η πράξις αυτου εις το πένθος. Και αυτή ακόμη η επωνυμία του, αυτό του ενθυμίζει και εις αυτό τον προτρέπει ονομάζεται «πενθικός», δηλαδή πικραμένος εις την καρδίαν. Όλοι οι Αγιοι έφυγαν από τον βίον αυτόν με το πένθος εις την ψυχήν των: αν λοιπόν οι "Αγιοι επενθούσαν πάντοτε, εκείνος που είναι γεμάτος τραύματα πώς θα ανεχθή να σταματήση τον κλαυθμόν; Η ψυχή σου, που διά σε αξίζει περισσότερον από όλον τον κόσμον, έχει θανατωθή από τας αμαρτίας και ευρίσκεται νεκρά εμπρός σου, και δεν έχεις ανάγκης να κλαίης; Η παρηγορία του μοναχού γεννάται από το κλάμα. Διότι όταν κανείς πενθή διαρκώς, δεν είναι δυνατόν να ενοχλήται από τα πάθη εκείνος δε που έπαυσε να σκέπτεται τα πάθη καθαρίζεται, και από την κάθαρσιν αξιώνεται να τον παρηγορή ο Θεός, όπως το υπεσχέθη εις εκείνους που ασταμάτητα πενθούν (Ματθ. ε', 4).

ΣΤ'. Του Αγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἤρωτησε γέροντα λέγων" πὼς δύναμαι ἐκκόψαι τὴν παρρησίαν καὶ κρατῆσαι τῆς γλώσσης μου; Καὶ εἶπεν ὁ γέρων: Διὰ τοῦ πένθους. Εἶπε δὲ ὁ ἀδελφὸς καὶ πῶς δύναμαι φυλάξαι τὸ πένθος, εἰσερχόμενος καὶ ἐξερχόμενος μετὰ τῶν ἀνθρώπων, καὶ φροντίζων διακονίας ὑπηρετῶν; καὶ εἰ ἔστι πένθος καρδίας ἄνευ δακρύων; Καὶ ἀπεκρίθη ὁ γέρων' οὗ τὸ πένθος δὶ ἃ τῶν δακρύων, ἀλλὰ τὰ δάκρυα διὰ τοῦ πένθους γίνεται καὶ μεταξὺ δὲ ὧν τῶν ἀνθρώπων, ἐὰν κόπτῃ τὸ ἴδιος θέλημα, καὶ μὴ προσέχῃ πταίσμασιν ἀνθρώπων, οὗτος κτᾶται τὸ πένθος. Ἐκ τούτου συνάγονται οἱ λογισμοὶ αὐτοῦ, καὶ οὗτοι συναγόμενοι γεννῶσιν τὴν κατὰ Θεὸν λύπην ἐν τῇ καρδίᾳ καὶ ἡ λύπη τὰ δάκρυα.

Ερμηνεία

ΕΝΑΣ αδελφός ήρώτησε κάποιον Γέροντα:

– Πώς είναι δυνατόν -- του λέγει – να κόψω τα πολλά λόγια και να κυριαρχήσω της γλώσσης μου;

– Με το πένθος, απήντησεν ο Γέρων.

– Και πώς μπορώ να διατηρήσω το πένθος, ηρώτησε πάλιν ο αδελφός, όταν συναναστρέφομαι με τους ανθρώπους και φροντίζω διά τα διακονήματα; Ἔπειτα ημπορεί να υπάρξη πένθος εις την καρδίαν χωρίς δάκρυα;

Εις αυτά απεκρίθη ο Γέρων:

-Δεν γεννάται το πένθος από τα δάκρυα, αλλά τα δάκρυα γεννώνται από το πένθος. Εκείνος δε που ευρίσκεται μεταξύ των ανθρώπων, αν αποκόπτη το θέλημά του και δεν προσέχη τα σφάλματα των άλλων, αυτός αποκτά το πένθος. Με την προσπάθειαν αυτήν συγκεντρώνονται οι λογισμοί του και όταν αυτοί συμμαζευθούν, γεννούν εις την καρδίαν την κατά Θεόν λύπην και τότε αυτή η λύπη φέρνει δάκρυα.

Ζ'. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· πῶς ἔρχεται, Πάτερ, τὰ ἀνθρώπω κλαίειν; Καὶ εἶπεν ὁ γέρων τὸ κλαίειν συνήθειά ἐστι, καὶ ἆδολεσχησαι θέλει πολὺν χρόνον καὶ ζητῶν αὐτό, ἵνα ὁ νοῦς αὐτοῦ μεριμνᾷ πάντοτε τὰς ἁμαρτίας αὐτοῦ, ἃς ἐπραξεν, ἢ τὴν κόλασιν, ἢ μνήμην διηνεκῆ σχὴ τοῦ μνήματος, καὶ ἁπλῶς ὅλων των Πατέρων αὐτοῦ πῶς διῆλθον,

καὶ ποῦ ἄρα εἰσὶν ἄρτι; "Ἔφη καὶ ἀδελφὸς καὶ ὀφείλει, Πάτερ, ὁ Μοναχὸς ἐνθυμείσθαι ὅλως τῶν γονέων αὐτοῦ κὰν ἐτελεύτησαν; Ἀπεκρίθη ὁ γέρων: ἐὰν οἶδας ἐνθύμησιν ὅτι φέρει τὴ ψυχή σου κατάνυξιν, ἀδολέσχησον εἰς αὐτήν, καὶ ὅτε ἔλθη τὸ δάκρυον σὺ λοιπὸν ὅπου θέλεις μετεγκεντρίζεις αὐτό, εἴτε εἰς τὰς ἁμαρτίας σου, εἴτε εἷς ἄλλην ἀγαθὴν ἐνθύμησιν.

2. Οἶδα γὰρ ἀδελφὸν ἐργάτην, ὅτι σκληρᾶς οὔσης τῆς καρδίας αὐτοῦ πολλάκις ἔτυπτες ἑαυτόν, καὶ ἐκ τοῦ πολλοῦ πόνου ἔκλαιε, καὶ τότε λοιπὸν ἔγεθυμειτο τὸν τόπον τῆς κολάσεως καὶ πάσας τὰς ἁμαρτίας αὐτοῦ.

3. Ἔμαθον δὲ καὶ περὶ τινὸς ἀδελφοῦ, ὅτι ἀποταξάμενος ὤκησεν εἰς τὸ ὄρος τῆς Νιτρίας, ἦν δὲ τὸ κελλίον αὐτοῦ πλησίον ἄλλου ἀδελφοῦ, καὶ ἤκουεν αὐτοῦ καθ' ἡμέραν διηνεκῶς κλαίοντος τὰς ἁμαρτίας αὐτοῦ. "Οτε δὲ διὰ χρόνου οὐκ ἤρχετο αὐτὸ τὰ δάκρυα, ἔλεγε τὴ ἑαυτοῦ ψυχὴ" οὐ κλαίεις, ταλαίπωρε, οὐδὲ θρηνεῖς; πίστευσον, ἐὰν μὴ θέλῃς, ἐγὼ σὲ ποιῶ κλαύσαι. Καὶ ἀνιστάμενος ἐλάμβανε μάστιγα, ἣν εἶχεν οὖσαν ἀπὸ χρυσίνου στερεοῦ, ἧς ἐξήρτητο σχοινίον διπλοῦν, καὶ δὶ' αὐτῆς ἔτυπτες ἑαυτὸν ἱκανῶς, ἕως οὐ πονέσας ἤρξατο κλαίειν.

Ὁ οὖν πλησίον αὐτοῦ οἰκῶν ἀδελφός, θαυμάζων ἐπὶ τῷ γινομένῃ παρὰ τοῦ ἀδελφοῦ, παρεκάλει τὸν Θεὸν ἀποκαλύψαι αὐτῶ, εἰ ἄρα καλῶς ποιεῖ βασανίζων ἑαυτόν. Καὶ ἐν μιᾷ νυκτὶ θεωρεῖ τὸν ἀδελφὸν κατ' ὄναρ φοροῦντα στέφανον καὶ στήκοντα εἰς τὸν χορὸν τῶν μαρτύρων, καὶ ἄλλον τινὰ λέγοντα αὐτὰ τὰ θεωρούντι ἴδε ὁ καλὸς ἀθλητής, καὶ διὰ τὸν Χριστὸν ἑαυτὸν βασανίζων πῶς μετὰ τῶν Μαρτύρων ἐστεφανώθη.

4. Ὁ Ἀββᾶς Ἀρσένιος ἐν ὅλῳ τῷ τῆς ζωῆς αὐτοῦ χρόνω, καθεζόμενος εἰς τὸ ἐργόχειρον, ράκος εἶχεν ἐν τῷ κόλπῳ χάριν τῶν δακρύων τῶν καταρρεόντων διηνεκῶς ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. Ἀλλὰ καὶ τὸν περιβόητον ἓν μοναχοὺς Ποιμένα τοῦτο θεώμενον ἐπιλέγειν Μακάριος εἰ, Ἀρσένιε, ἀνθ' ὧν ἐν τῷ δὲ τῷ κόσμῳ σὲ αὐτὸν πενθῇ σας, οὐ δεήση τῶν ἐκεῖθεν δακρύων. Οὗ πὲρ φασὶ καὶ Θεόφιλον τὸν Ἀλεξανδρείας Ἐπίσκοπον τελευτώντα τὸν βίον, διαμνημονεύσαι τὲ καὶ εἰπειν' Μ ἃ κ ἄριος εἰ, "Ἀρσένιε, καὶ γὰρ τῆς ὥρας ταύτης σὺ οὐδὲ πότε δὶ ἐλι πὲς μνημονεύων καὶ πενθῶν ἄπαυστα.

5. Ἀδελφὸς ἤρωτησε τὸν 'Ἀββᾶν 'Ἀμμωνᾶς λέγων" εἶπε μοὶ ρῆμα πῶς σωθῶ; Καὶ ἀπεκρίθη ὁ γέρων: ὕπαγε, ποίησον τὸν λογισμόν σου, ὡς πὲρ οἱ κακοῦργοι ποιούσιν οἱ ὄντες ἐν τῇ φυλακῇ ἐκεῖνοι γὰρ ἐρωτῶσιν ἀεὶ τοὺς παρατυχόντας ἀνθρώπους ποὺ ἔστιν ὁ ἡγεμὼν καὶ πότε ἔρχεται ; Καὶ ἀπὸ τῆς προσδοκίας τοῦ κριτηρίου καὶ τῶν κολάσεων κλαίουσιν. Οὕτω καὶ ὁ Μοναχὸς ὀφείλει διὰ παντὸς προσέχειν τὴ ἑαυτοῦ ψυχὴ λέγων" οὐαὶ μοί, πῶς παραστήσομαι τὴ φρικτὰ βήματα τοῦ ἄδεκαστου Κριτοῦ; καὶ τί αὐτὸ ἀπολογήσομαι καὶ ἐὰν οὕτω μελετᾷς διὰ παντός, δύνασαι σωθῆναι.

6. Εἶπεν ὁ Ἀββᾶς Λογγίνος ἡ νηστεία ταπεινοί το σῶμα, ἡ ἀγρυπνία καθαίρει τὸν νοῦν' ἡ ἡσυχία φέρει τὸ πένθος τὸ πένθος βαπτίζει τὸν ἄνθρωπος καὶ ποιεῖ ἀναμάρτητον. Εἶχε δὲ καὶ αὐτὸς Ἀββᾶς Λογγίνος κατάνυξιν πολλὴν ἐν τῇ εὐχῇ καὶ τὴ ψαλμῳδία αὐτοῦ. Λέγει οὖν αὐτῶ ἐν μιᾷ ὁ μαθητὴς αὐτοῦ: Ἀββᾶ, οὗτος ἔστιν καὶ πνευματικὸς κανὼν τὸ κλαίειν ἀεὶ ἐν τῇ λειτουργίᾳ αὐτοῦ τὸν μοναχόν; Καὶ ἀπεκρίθη ὁ γέρων: ναί, τέκνον, οὗτος ἔστιν ὁ κανών, δν θέλει ὁ Θεὸς νῦν ἀφ' ἡμῶν. Ἀπ' ἀρχῆς μὲν γὰρ ὁ Θεὸς οὐκ ἐποίησε τὸν ἄνθρωπον ἕνα πενθῇ, ἀλλ' ἵνα χαίρῃ καὶ εὐφραίνηται, δοξάζων αὐτῶν καθαρῶς καὶ ἀναμαρτήτως ὡς οἱ Ἄγγελοι, ὁ δὲ πεσῶν εἰς τὴν ἁμαρτίαν ἐδεήθη τοῦ κλαυθμοῦ καὶ πάντες οἱ πεσόντες ὁμοίως τοῦ αὐτοῦ δέονται ὅπου δὲ οὐκ ἔστιν ἁμαρτία, ἐκεῖ οὐ χρεία κλαυθμοῦ.

7. "Ἔλεγεν ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος, ὅτι ὅτε ἤμην παιδίον ἔβοσκον βοΐδια, καὶ ἀπῆλθον κλέψαι συκία μετὰ καὶ ἄλλων, καὶ ὡς ἐτρέχομεν, ἐπεσεν ἐν ἐκ τῶν συκίων καὶ λαβῶν ἔφαγον αὐτὸ καὶ ὅτε μνημονεύσω αὐτοῦ κάθημαι κλαίων.

8. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς, ὅτι ἠττήθημεν πάθει σωματικῶς; μὴ ἀμελήσωμεν μετανοοῦντες καὶ πενθοῦντες ἑαυτούς, πρὶν καταλάβη ἡμᾶς τὸ πένθος τῆς κρίσεως. . 9. Εἶπεν καὶ αὐτὸς διὰ τῶν δακρύων γίνεται ἄφεσις ἁμαρτιῶν. "Ὅταν οὖν κλαίῃς, μὴ ὑψώσης τὴν φωνὴν τοῦ στεναγμοῦ σου, καὶ μὴ γινωσκέτω ἡ ἀριστερά, ἤγουν ἡ κενοδοξία, τί ποιεῖ ἡ δεξιά σου.

10. Ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶς Μωϋσὴν λέγων· τί ποιήσει ἄνθρωπος ἐν παντὶ πειρασμῶ ἐπερχομένω ἐπάνω αὐτοῦ, ἢ ἐν παντὶ λογισμῶ σπειρομένω ὑπὸ τοῦ ἐχθροῦ; Καὶ ἀπεκρίθη ὁ γέρων: κλαίειν ὀφείλει ἐνώπιόν της ἀγαθωσύνης τοῦ Θεοῦ, ἕνα βοηθήση αὐτῶ, καὶ ἀναπαύεται ταχέως, ἐὰν παρακαλῶ ἐν γνώσει. Γέγραπται γάρ' «ἐγγὺς Κύριος πάσι τοῖς ἐπικαλουμένοις αὐτόν», καὶ τὰ ἑξῆς.

11. Ἀνερχόμενος πότε δ Ἀββᾶς Ποιμὴν εἰς τὴν Αἴγυπτον, εἶδε γυναῖκα ἐν μνημείῳ καθεζομένην καὶ κλαίουσαν πικρῶς. Καὶ λέγει: ἐὰν συναχθῶσι πάντα τα τερπνά του κόσμου ἐνώπιον αὐτῆς, οὐ μὴ καταστήσωσι τὴν ψυχὴν αὐτῆς ἀπὸ τοῦ πένθους οὕτω καὶ ὁ μοναχὸς ὀφείλει διὰ παντός το πένθος ἔχειν ἐν ἑαυτῷ.

12. Ἀδελφὸς ἤρωτησε τὸν αὐτὸν γέροντα λέγων· τί ποιήσω ἕνα σωθῶ; Καὶ ἀπεκρίθη ὁ γέρων: Ἀβραάμ, ὅτε εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, μνημεῖον ἠγόρασεν ἑαυτῶ, καὶ διὰ τοῦ τάφου ἐκληρονομησε τὴν γῆν. Λέγει ὁ ἀδελφὸς τί ἔστι τάφος; Καὶ φησιν ὁ γέρων: τόπος κλαυθμοῦ καὶ πένθους.

13. "Ο αὐτὸς εἶπε καὶ πρὸς ἕτερον ἀδελφόν, ἔρωτησαντα ὁμοίως π ὢ ς σῶ θ ; Καὶ ἀπεκρίθη ὁ γέρων ὅταν ὁ Θεὸς ἐπισκέπτηται ἡμᾶς, τίνος ἔχομεν τότε φροντίσαι ; "Ἔφη ὁ ἀδελφός των ἁμαρτιῶν ἡμῶν. Λέγει ὁ γέρων οὐκοῦν εἰσέλθωμεν εἰς τὸ κελλίον ἡμῶν,

καὶ καθήσαντες μνημονεύσωμεν ἐνώπιόν της ἀγαθότητος αὐτοῦ, ἕως ποιήση τὸ ἔλεος αὐτοῦ μεθ' ἡμῶν.

14. Διηγήσατο ὁ 'Ἀββᾶς Ἰσαὰκ λέγων, ὅτι ἔκαθημην ποτὲ πρὸς τὸν Ἀββᾶν Ποιμένα, καὶ εἶδον αὐτὸν ὡς ἐν ἐκστάσει γενόμενος καὶ πενθοῦντα. "Ἔχων οὖν πρὸς αὐτὸν παρρησίαν, ἔβαλον αὐτῷ μετάνοιαν παρακαλῶν καὶ λέγων" εἶπέ μου ποῦ ἦς; "Ο δὲ ἀναγκασθεῖς ὑπ' ἐμοῦ εἶπε μοὶ ἐκεῖ ἦν ὁ ἔμος λογισμός, ὅπου ἡ "Ἁγία Μαρία ἡ Θεοτόκος ἔστηκε καὶ ἔκλαιεν ἐπὶ τοῦ Σταυροῦ τοῦ Σωτῆρος κάγω ἤθελον πάντοτε οὕτω κλαίειν.

15. Εἶπεν ὁ 'Ἀββᾶς Παῦλος εἰς βόρβορον εἶμι καταποντιζόμενος ἕως τραχήλου, καὶ κλαίω ἔμπροσθέν του Ἰησοῦ λέγων" ἐλέησον μέ.

16. Ὁ 'Ἀββᾶς Σιλουανὸς εἶχε τὸ πένθος διηνεκές, καὶ οὐδέποτε ἤθελεν ἐξελθεῖν ἐκ τοῦ κελλίου αὐτοῦ. Εἰ δὲ καὶ συνέβη αὐτὸν ἀναγκασθέντα διὰ τινὰ χρείαν ἐξελθεῖν, ἔσκεπε τὸ κουκουλίω τὸ πρόσωπον αὐτοῦ καὶ πρὸς τοὺς ἐρωτώντας τίνος χάριν τοῦτο ποιεῖ, ἔλεγε τί θέλω ἰδεῖν τὸ φῶς τοῦτο τὸ πρόσκαιρον καὶ οὐδὲν ἔχον ὄφελος;

17. Διηγήσατο ἡμὶν ὁ Ἀββᾶς Θεόδωρος, ὅτι ἦν τὶς ἀδελφὸς οικῶν εἷς τα κελλία καὶ ἐκέκτητο τὸ χάρισμα τῆς κατανύξεως. Συνέβη οὖν ἐν μιᾷ καὶ ἀπὸ πόνου καρδίας ἦλθεν αὐτῷ δακρύων πλῆθος. Καὶ ἰδὼν ὁ ἀδελφὸς ἔλεγεν ἐν ἑαυτῷ ἀληθῶς τοῦτο σημεῖον ἔστιν, ὅτι ἐγγὺς ἡ ἡμέρα τοῦ θανάτου μου. Καὶ ὡς τοῦτο ἔλογιζετο, ἔτι τὰ δάκρυα ἐπληθύνοντο. Βλέπων δὲ αὐτὰ πληθυνόμενα, βεβαιότερον τοῦ τοιούτου λογισμοῦ εἴχετο λέγων· ἀληθῶς ἤγγικεν ὁ καιρός. Καὶ καθ' ἡμέραν ἐκ ταύτης τῆς ἐννοίας μείζονα προσθήκην ἐλάμβανε τὰ δάκρυα ἐν αὐτῷ.

Ἠρωτήσαμεν οὖν αὐτὸν περὶ τῶν δακρύων, διατὶ ποτὲ μὲν καὶ ἀφ' ἑαυτῶν ἔρχονται, ποτὲ δὲ οὐδὲ μετὰ πόνου τὶς δύναται προαγαγεῖν ταῦτα; Καὶ ἀπεκρίθη ὁ γέρων: τὰ δάκρυα ὅμοια εἰσι τῷ ὑετῇ δὲ ἄνθρωπος ἔστιν ὁ γεωργός. Ἐρχομένων οὖν αὐτῶν, ὀφείλει καὶ τὴν γῆν τῆς καρδίας αὐτοῦ γεωργῶν ἀγωνίσασθαι, ἵνα μὴ ἀποληται ἐκ τοῦ ὑετοῦ τίποτε, ἀλλ' ὅλον εἰσέλθη εἰς τὸ κηπεῖον καὶ ποτίση αὐτό. Λέγω γὰρ ὑμίν, τέκνα, ὅτι πολλάκις εὑρίσκεται μία ἡμέρα βροχῆς προάγουσα ὅλου του ἐνιαυτοῦ καὶ σῴζουσα πάντας τους καρποὺς διὰ τοῦτο ὀφείλομεν προσέχειν, καὶ ὅτε νοήσωμεν ὅτι ἦλθεν, ἀγωνισώμεθα φυλάξαι ἑαυτούς, καὶ σχολάσωμεν τοῦ δεηθῆναι τοῦ Θεοῦ ἐκτενῶς οὐ γὰρ οἴδαμεν εἰ καὶ ἓν ἄλλη ἡμέρα εὕρωμεν τὸν ὑετὸν ἐκεῖνον.

18. Πάλιν οὖν ἤρωτησαμεν αὐτὸν λέγοντες καὶ πῶς τὶς φυλάττει τὴν κατάνυξιν ὅτε ἔρχεται; Καὶ ἀπεκρίθη ὁ γέρων" προσέχεις δεῖ ἕνα μὴ παραβάλῃ πρὸς ἄνθρωπον τὴ ἡμέρα ἐκείνη, ἢ τῷ καιρῷ ἐν ὅσο τὸ πένθος ἐνεργεῖ. "Ἔτι δὲ καὶ τὴν ρήση ἑαυτὸν ἀπὸ γαστριμαργίας καὶ ὑψηλοφροσύνης, τοῦ μὴ φαντασθῆναι ὅτι ὅλως κλαίει καὶ τοῦ μὴ κατακρίναι τινά, σχολάση δὲ τὴ εὐχὴ καὶ τὴν ἀναγνώσει. Πλὴν ὅταν ἔλθη τὸ πένθος,

αὐτὸ διδάξει ἡμᾶς τίνα εἰσὶ τὰ συμφέροντα καὶ διατηροῦντα αὐτό, καὶ τίνα, τὰ κωλύοντα.

- Οἶδα γὰρ ἀδελφὸν καθήμενον ἐν τῷ κελλίῳ αὐτοῦ, καὶ ἐργαζόμενος τὴν σειράν, καὶ ἤρχετο τὸ πένθος αὐτῶ. Ὁ δέ, κατερχομένων τῶν δακρύων, ἀνίστατο εἰς προσευχήν, καὶ εὐθὺς ἐκεῖνα ἔπαυοντο. Πάλιν οὖν ἤρχετο τοῦ ἔργου τῆς σειρᾶς συνάγων τὸν νοῦν αὐτοῦ, καὶ παρευθὺς τὰ δάκρυα ἤρχοντο ὁμοίως καὶ ἐπὶ τῆς ἀναγνώσεως, ἀναγινώσκων κατενύσσετο, καὶ ὡς ἀνίστατο εἰς προσευχὴν οὐκ εἶχεν, αὖθις δὲ ὡς μόνον ἐνέκυπτε τὸ βιβλίο τοῦ δακρύειν πάλιν ἀπήρχετο. Τότε οὖν ἔγνω ὁ ἀδελφός της τοιαύτης διαφορᾶς τὴν αἰτίαν, καὶ εἶπεν ἐν ἑαυτῷ, ὅτι καλῶς εἶπον οἱ Πατέρες, ὅτι τὸ πένθος διδάσκαλος ἐστιν αὐτὸ γὰρ διδάσκει τὸν ἄνθρωπον πάντα τα συμφέροντα αὐτῶ.

Οἶμαι διὰ δύο ταύτας αἰτίας ὁ ἀδελφὸς ἐν τῇ προσευχῇ τὸ πένθος ἀπέβαλλε. Μίαν μέν, ὅτι μήπω καθαρὰν κτησάμενος προσευχῆς καὶ ἀρέμβαστον, διὰ τοῦ ρεμβασμοῦ τὸν νοῦν σκορπιζόμενος, οὐκ εἶχε τὴν προτέραν κατάνυξιν, τὴν ἐν τῷ ἔργοχειρᾳ καὶ τὴν ἀναγνώσει προσγιγνομένην αὐτῶ, ἐν τούτοις μᾶλλον συνάγοντι τὴν διάνοιαν. Ἑτέραν δέ, ἵνα μὴ δόξῃ ὡς ἐκ τῆς ἑαυτοῦ σπουδῆς καὶ τῆς προσευχῆς κατωρθώθη αὐτῶ τὸ πένθος, ἀλλ' ἐλέει καὶ χάριτι Θεοῦ δεδόσθαι αὐτὸ ἐπιγνῶ. "Ὅθεν καὶ εἰς εὐχαριστίαν τοῦ εὐεργέτου κινηθῆ καὶ ταπείνωσιν ἕξῃ μείζονα, δι' ὧν τὸ πένθος ἐν αὐτῷ ἐπὶ πλέον ἐκρατύνετο. Ἡμὶν δὲ εἰ ποτὲ τί τοιοῦτον συμβῇ, ἤγουν κατάνυξις καρδίας καὶ θερμότης δακρύων ἐγγένηται, εὐθὺς πάντα παριδόντες, εἰς τὴν προσευχὴν δράμωμεν καὶ ταύτη προσκαρτερήσωμεν, ἕως τὸ καρδιακῶν πῦρ ἐν ἡμὶν ἀναπτόμενον αἰσθανώμεθα ἴσως γὰρ ἄλλοτε τούτου οὐκ εὐπορήσωμεν.

19. Εἶπε γέρων: ἐὰν Ἴδῃς ὅτι ὁ Θεὸς πρὸ χρόνου τινὸς ἔχαρισατο σοὶ κατάνυξιν, τῷ καιρῷ ἐκείνη καταφρόνησον τοῦ ἔργοχειρού σου, εἰ οἶδας ὅτι συμφέρει σοί, ἤγουν εἰ εὑρίσκεις ἓν τ' αὐτῶ τινὰ τοῦ πένθους περικοπήν, καὶ σχόλασον εἰς τὸ πένθος, μήπως ἐγγὺς ἔστιν ἡ ἡμέρα τῆς ἐξόδου σου, καὶ διὰ τοῦτο ἔχαρισατό σου ὁ Θεὸς τὸ κλαίειν, ἵνα δι' αὐτοῦ εὕρῃς μικρὸς ἔλεος. "Ὡς πὲρ γὰρ ὁ σατανᾶς εἰς τὰ τέλη τοῦ ἀνθρώπου σπεύδει ἀπολέσαι αὐτόν, οὕτω καὶ ὁ Θεὸς πολλάκις ἓν τῷ τέλει τοῦ ἀνθρώπου διὰ προφάσεως σῴζει αὐτόν.

20. Εἶπε γέρων" ὡς πὲρ τὴν κακίαν ἡμῶν, ἤτοι τὰ πάθη καὶ τὰς ἁμαρτίας, πανταχοῦ μεθ' ἑαυτῶν περιφέρομεν, οὕτως ὀφείλομεν καὶ τὸ πένθος καὶ τὴν κατάνυξιν ἀεὶ ἐν ἑαυτοῖς ἔχειν ὅπου δ' ἂν ἐσμέν.

21. Ἀδελφὸς ἤρωτησε γέροντα λέγων· τί ποιήσω, Πάτερ; Καὶ ἀπεκρίθη καὶ γέρων δακρύειν ὀφείλομεν πάντοτε. Συνέβη γὰρ ποτὲ τινὰ τῶν Πατέρων ἀσθενήσαντα ἐκλιπεῖν καὶ πάλιν ἐλθεῖν εἰς ἑαυτόν, καὶ ἤρωτησαμεν αὐτὸν εἰπεῖν τί εἶδεν ὅπου

ἀπῆλθε. Καὶ διηγήσατο λέγων, ὅτι ἤκουσα φωνῆς κλαυθμοῦ λεγόντων ἀδιαλείπτως οὐαὶ μοί, οὐαὶ μοὶ οὕτω καὶ ἡμεῖς πενθεῖν ὀφείλομεν πάντοτε.

22. Δύο ἀδελφοὶ σαρκικοὶ ἀπετάξαντο καὶ ἀπελθόντες ἔμειναν ἐν ὑποταγῇ Πατρὸς ἐν τῷ ὄρει τῆς Νιτρίας. "Ἔδωκεν οὖν ὁ Θεὸς τοῖς δυσὶ τὸ χάρισμα τῶν δακρύων καὶ τῆς κατανύξεως. Ἐν μιᾷ οὖν θεωρεῖ καὶ γέρων ἐν δράματι τοὺς δύο ἀδελφοὺς ἱσταμένους εἰς προσευχήν, καὶ κρατοῦντα ἑκάτερον αὐτῶν χάρτην γεγραμμένον καὶ βρέχοντα αὐτὸν τοῖς ἰδίοις δάκρυσιν" καὶ τὰ μὲν γράμματα τοῦ ἑνὸς εὐχερῶς ἔλειαινοντο, τὰ δὲ τοῦ ἑτέρου μετὰ κόπου ἔφαινοντο γὰρ ὡς ἀπὸ ἔγκαυστου μέλανος. Ἐδεήθη οὖν ὁ γέρων ἑρμηνευθῆναι αὐτὸ τὸ ὅραμα, καὶ παραστὰς αὐτῷ "Ἄγγελος Κυρίου λέγει" τὰ γράμματα τὰ ἐν τῷ χάρτῃ, τὰ ἁμαρτήματα ἀμφοτέρων εἶσι. Καὶ ὁ μὲν εἰς κατὰ φύσιν ἥμαρτε, καὶ διὰ τοῦτο εὐχερῶς τὰ σφάλματα αὐτοῦ ἀπαλείφονται, ὁ δὲ ἕτερος εἰς ἀκαθαρσίας καὶ ρυπαρὰ πταίσματα ἔμολυνθη παρὰ φύσιν, καὶ τούτου χάριν κόπου περισσοτέρου χρῄζει εἰς τὸ μετανοῆσαι γνησίως καὶ σφόδρα ταπεινωθῆναι.

"Ἔκτοτε οὖν ἔλεγεν ὁ γέρων ἐκείνῳ τῷ ἀδελφῷ πόνησον, ἄδελφε, ὅτι ἐγκαυστὰ εἰσι καὶ μετὰ πόνου λειαίνονται. Οὐκ ἐφανέρωσε δὲ αὐτὸ τὸ ὅραμα ἕως τῆς τελευτῆς αὐτοῦ, ἵνα μὴ ἀμβλύνῃ τὴν προθυμίαν αὐτοῦ, ἀλλὰ τὸν ρηθέντα λόγον ἀεὶ ἔλεγεν αὐτῷ κ ὀπὶ ἄσον, ἀδελφέ, ὅτι ἔγκαυστα εἰσιν.

23. Ἀδελφὸς σπουδαῖος ποιῶν τὸν κανόνα αὐτοῦ μετὰ τοῦ ἰδίου αὐτοῦ ἀδελφοῦ ἐνικάτο ὑπὸ τῶν δακρύων, καὶ ἥφιει τὸν στίχον τοῦ ψαλμοῦ. Ἐν μιᾷ οὖν παρεκάλεσεν αὐτὸν ὁ ἀδελφὸς εἰπεῖν αὐτὸ τὸ τί λογίζεται εἰς τὸν κανόνα καὶ οὕτω πικρῶς κλαίει ; "Ο δὲ λέγει αὐτῷ συγχώρησον μοί, ἀδελφέ, ἐγὼ πάντοτε εἰς τὸν κανόνα μου τὸν Κριτὴν θεωρῶ, καὶ ἑαυτὸν παριστάμενον ὡς κατάδικον καὶ ἐξεταζόμενον λοιπὸν μὴ γινώσκων τί ἀπολογήσασθαι, ἔκπληκτος γίνομαι καὶ φράσσεταί μου τὸ στόμα, καὶ ἐκ τούτου ἀπόλλω τὸν στίχον τοῦ ψαλμοῦ, ἀλλὰ συγχώρησόν μου ὅτι θλίβω σε καὶ ἐὰν ἀναπαύῃ, ποιείτω ἕκαστος ἡμῶν τὸν κανόνα ἑαυτοῦ κατ' ἰδίαν. "Ἔφη αὐτῷ ὁ ἀδελφὸς οὐχί, Πάτερ" κὰν γὰρ μὴ πενθῶ ἐγώ, ἀλλ' ὅμως θεωρῶν σὲ ταλανίζω ἑαυτόν. Καὶ ἰδὼν ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ, ἔχαρισατο καὶ αὐτῇ τὸ πένθος, καὶ εἶχεν ὁ ἀδελφὸς αὐτοῦ. Σπουδάσωμεν οὖν καὶ ἡμεῖς τοῖς πενθούσι προσέχειν καὶ τὰ ὅμοια τῷ ἀδελφῷ τούτῳ κερδήσομεν.

24. Εἶπε γέρων" ὡς πὲρ πᾶσα ἁμαρτία, ἣν ποιήσει ἄνθρωπος, ἐκτός του σώματος ἔστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, διότι ἐξ αὐτοῦ ἐξέρχεται ὁ μιασμός, οὕτω πᾶσα ἐργασία, ἣν ποιήσει ἄνθρωπος, ἐκτός του σώματος ἔστιν, καὶ δὲ δακρύων τὴν ἰδίαν ψυχὴν καὶ τὸ σῶμα καθαρίζει ἄνωθεν γὰρ καταβαῖνον τὸ δάκρυον ὅλον το σῶμα ἀποπλύνει καὶ ἁγιάζει.

ΥΠΟΘΕΣΙΣ ΛΒ΄ (Περί πένθους – είδη και δάκρυα)

25. Εἶπεν καὶ αὐτὸς τὸ λαλεῖν περὶ πίστεως καὶ ἀναγινώσκειν δόγματα ξηραίνουσι τὴν κατάνυξιν τοῦ ἀνθρώπου, καὶ ἀφανίζουσιν αὐτήν· οἱ δὲ βίοι καὶ οἱ λόγοι τῶν γερόντων φωτίζουσι τὴν ψυχήν, πληροῦντες αὖ τὴν δακρύων πνευματικῶν.

26. Εἶπε γέρων ἄνθρωπος καθήμενος εἰς τὸ ἐαυτοῦ κελλίον καὶ μελετῶν ψαλμούς, ἔοικεν ἀνθρώπω ἔξωθεν ἐστώτι καὶ ζητούντι τὸν βασιλέα. Ὁ δὲ μετὰ κλαυθμοῦ αἰτῶν ὅμοιός ἐστι τῷ κρατοῦνται τοὺς πόδας τοῦ βασιλέως καὶ ζητούντι ἔλεος παρ' αὐτοῦ, κατ' ἐκείνην τὴν πόρνην τὴν ἐν βραχεῖ πάσας τὰς ἐαυτῆς ἁμαρτίας τοῖς δάκρυσιν ἀποπλύνασαν.

27. Εἶπε γέρων φύσει ἐὰν ἔστιν ἄνθρωπος ἀγωνιστῆς, ἀπαιτεῖ παρ' αὐτοῦ καὶ Θεὸς ἵνα μὴ ἔχῃ προσπάθειαν εἰς ὕλην σωματικήν, ἕως καὶ μικρᾶς ραφίδος δύναται γὰρ ἐμποδίσει τὸν λογισμὸς αὐτοῦ ἐκ τῆς ἀδολεσχιάς της πρὸς τὸν Ἰησοῦν καὶ τὸ πένθος.

28. Γέρων τὶς παραλαβῶν τὸν ἐαυτοῦ μαθητὴν παρέβαλεν εἶς τινὰ πόλιν διὰ τινὰ χρείαν καὶ ἔμειναν ἐν αὐτῇ μίας ἑβδομάδα. Ἐθεώρουν οὖν πολλούς των ἐν τῇ πόλει ἄνδρας τὲ καὶ γυναίκας ἑκάστη ἡμέρα κατὰ τὸν ὄρθρον ἐξερχομένους εἰς τὰ μνήματα καὶ θρηνούντας ἕκαστον τὸν ἴδιον νεκρὸν ἕως ὥρας τρίτης. Καὶ λέγει καὶ γέρων τὸ μαθητὴ αὐτοῦ βλέπεις, ἀδελφέ, εἰς τί νυκτερεύουσιν οὗτοις πίστευε μοί, εἰ μὴ καὶ ἡμεῖς οὕτω ποιήσωμεν, εἶς ἀπώλειαν ὑπάγομεν. Καὶ ὑποστρέψαντες εἰς τὸ κελλίον ἔκτισαν καὶ αὐτοὶ εὐθέως τὰ ἑαυτῶν μνήματα ἀπομάκα ἀλλήλων, καὶ καθ' ἡμέραν καθήμενοι ἕκαστος πρὸ τοῦ ἰδίου μνήματος ἔκλαιε τὴν ἑαυτου ψυχὴν ὡς νεκρόν, ἀπὸ ὄρθρου ἕως ἑσπέρας. Ἐϊ πότε οὖν περὶ τὴν πρωΐαν ἀπεκοιμήθη καὶ μαθητὴς ὡς ἀπὸ τοῦ κανόνος, ἔκραζεν ὁ γέρων ἔξυπνιζων αὐτῶν καὶ λέγων: ἀδελφέ, ἐγείρου, ἐκεῖνοι λοιπὸν ἔχουσιν ὥραν εἰς τὰ μνήματα καὶ τὸ ἔργον αὐτῶν.

Ἐν μιᾷ οὖν λέγει ὁ ἀδελφός το γέροντα σκληρὰ ἐστιν ἡ ψυχή μου καὶ οὐ δύναμαι κλαύσαι. Ἀπεκρίθη ὁ γέρων: πύκτευσον, τέκνον, ὀλίγον χρόνον καὶ πόνεσον, καὶ θεωρῶν ὁ Θεὸς τὸν πόνον σου, ποιεῖ μετά σου ἔλεος ὅτι ὡς πὲρ ἂν μὴ λάϐη σαγιταίαν ἡ καρδία οὐκέτι ἔχει ἴασιν, οὕτως ἐὰν ὁ Θεός, μὴ πλήξῃ αὐτὴν εἰς τὸ πένθος οὐκέτι ὑπάγει ἐξ αὐτῆς καὶ πόνος, ἀλλὰ μένει πεπληγμένη ἕως θανάτου καὶ ὅπου δ' ἂν ὑπάγῃ ὁ τοιοῦτος, ἔσωθεν ἀεὶ ἔχει τὸ πένθος ἀδιάστατον.

7. Είπεν ένας Γέρων: Η ευλάβεια μαζί με την ταπεινοφροσύνην εις κάθε περίπτωσιν είναι καλής διότι ήμπορεί να χαριεντίζεται κάποιος και να νομίζω ότι έχει χαράν: αν το κάμη αυτό συνεχώς, τότε γίνεται αξιοκατάκριτος, ενώ ο ευλαβής ασφαλίζει τον εαυτόν του με ταπεινοφροσύνην και τον τιμούν πάντοτε.

Β'. Του Αγίου Εφραίμ

ΑΡΧΗ καταστροφῆς μοναχοῦ γέλως καὶ παρρησία. "Ὅταν ἐν τούτοις ἴδῃς σεαυτόν, μοναχέ, γίνωσκε σεαυτὸν εἰς βάθος κακῶν καταντήσαντα, καὶ μὴ παύση δεόμενος τοῦ Θεοῦ, ὅπως ρύσηται σὲ τοῦ θανάτου τούτου. "Ο γέλως καὶ ἡ παρρησία ἀπολλυσι τοὺς καρποὺς τοῦ μοναχοῦ, καὶ εἰς πάθη αἰσχρὰ κατασύρει αὐτόν, οὐ μόνον τὸν νέον ὄντα, ἀλλὰ καὶ τὸν γέροντα. Ὁ γὰρ γέλως τὸν μακαρισμὸς τοῦ πένθους ἔξω βάλλει, καὶ τὸ Πνεῦμα τὸ "Ἅγιον λυπεῖ, καὶ τὸν φόβον τοῦ Θεοῦ ἐκδιώκει, καὶ τὴν μνήμην τοῦ θανάτου καὶ τῶν κολάσεων, καὶ πάντα τα οἰκοδομηθέντα καταστρέφει, καὶ εἰς τὴν ἐσχάτην ἀπάγει ἀπώλειαν. Περίελε ἀπ' ἐμοῦ, Κύριε, τὸν γέλωτα, καὶ δώρησαι μοὶ πένθος καὶ κλαυθμόν, ὃν ἐπιζητεῖς παρ' ἐμοῦ.

Ερμηνεία

ΑΡΧΗ της καταστροφής του Μοναχού είναι τα γέλια και η παρρησία. Όταν ίδης τον εαυτόν σου Μοναχέ, να αιχμαλωτίζεται από αυτά, τότε μάθε, ότι κατάντησες εις βάθος κακών μη σταματήσης να παρακαλής τον Θεόν να σε σώση από αυτόν τον θάνατον. Τα γέλια και η ελευθεριότης καταστρέφουν τους καρπούς του Μοναχού, και τον παρασύρουν είς πάθη αισχρά, όχι μόνον τον νέον, αλλά και τον γέροντα. Διότι τα γέλια εκδιώκουν τον μακαρισμός του πένθους, λυπούν το Αγιον Πνεύμα, απομακρύνουν τον φόβον του Θεού και την ενθύμησιν του θανάτου και της κολάσεως, και όλα όσα έκτισε τα καταστρέφουν και παρασύρουν τον Μοναχόν εις ανεπανόρθωτον καταστροφήν.

Πάρε από εμέ, Κύριε, την διάθεσιν να γελώ και δώρησε μου πένθος και δάκρυα, τα οποία ζητείς από εμένα.

Γ'. Αντιόχου του Παντέκτου

ΤΟ γελᾶν ὅλως χριστιανοὺς ἀπηγόρευται, μάλιστα δὲ μοναχοὺς τοῖς σταυρώσασιν ἑαυτοὺς τῷ κόσμῳ εἰ τὶς γάρ, φησι, θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοί. Πῶς οὺν ἐνδέχεται τὸν ἐμπεπαρμένον τοῖς γλυκέσιν ἥλους τοῦ σταυροῦ διαχεϊσθαι καὶ γελᾶν; Οὐ γὰρ εἰς μετεωρισμὸν ἐκλήθημεν καὶ γέλωτα, ἵνα τὸ οὐαὶ κληρονομήσωμεν, ὡς οἱ κοσμικοὶ ἐθνικοί, ἀλλ' εἰς πένθος διηνεκές, ἵνα δὶ' αὐτοῦ της παρακλήσεως ἀπολαύσωμεν.

Ερμηνεία

ΤΑ γέλια είναι τελείως απαγορευμένα διά τους Χριστιανούς, πρό παντός όμως διά τους Μοναχούς, οι οποίοι έσταύρωσαν τον εαυτόν τους διά τον κόσμον. «Όποιος θέλει – λέγει – να έλθη οπίσω μου, ας απαρνηθή τον εαυτόν του, ας σηκώση τον σταυρόν του και ας με ακολουθη» (Ματθ. ιστο, 24). Πώς είναι λοιπόν δυνατόν εκείνος, ο οποίος έσταυρώθη με τα γλυκά καρφιά του σταυρού, να είναι χαρούμενος και να γελά; Προορισμός μας δεν είναι το να πάρουν τα μυαλά μας αέρα και να γελούμεν, ώστε να κληρονομήσωμεν το «ουαί», όπως του κόσμου οι είδωλολάτραι, αλλά να πενθώμεν συνεχώς, διά να απολαύσωμεν την Ουράνιον παρηγορίαν.

Δ'. Του Αββά Ησαΐου

ΕΑΝ λόγος γένηται ἐν ὑμὶν γελωτοποιός, φυλάξατε ἑαυτοὺς μὴ ἐᾶσαι τὴν φωνὴν ὑμῶν ἐξάκουστον γενέσθαι, ἐπεῖ σημεῖον ἔστιν ἄπαιδευσιας καὶ ἀφοβίας Θεοῦ, ὅτι οὐκ ἔστι φυλακὴ ἐντὸς ὑμῶν, ἐπειδὴ ἡ ὀργὴ ἐπῆλθεν ἐπὶ τὴν οἰκουμένην ἐν ταῖς ἡμέραις ἡμῶν.

Ερμηνεία

- ΑΝ κάποιος μεταξύ σας είπή κάτι το οποίον είναι διά γέλια, προσέξατε να μη ακουσθή η φωνή σας παρά πέρα, διότι αυτό φανερώνει έλλειψιν μορφώσεως και φόβου Θεού και ότι μέσα σας δεν υπάρχει έλεγχος· διότι κατέφθασεν εις τας ημέρας μας η οργή εις την Οικουμένην.

Ε'. Του Αββά Ισαάκ του Σύρου

ΜΗ ἐπαινέσης τὸν σωματικῶς κοπιώντα, λελυμένον δὲ τὰς αἰσθήσεις, λέγω δὴ τὴν ἀκοήν, καὶ τὸ κεχηνὸς καὶ ἀκρατὲς στόμα, καὶ τοὺς ρεμβώδεις ὀφθαλμούς. Φύσει μὲν τὴ ἀγάπη ἀκολουθεῖ ἡ ἁπλότης, καὶ τὸ μὴ κρατείσθαι τὸ καθήκοντι τῆς αἰδοῦς μέτρω, ἀλλ'ὑπερβαίνειν αὐτό. Σὺ δέ, ἀδελφέ, νῆφε ἐν πάσι καὶ πρὸς τοὺς σους φίλους ἐν εὐλαβείᾳ πορεύθητι" οὕτω καὶ σεαυτὸν κακείνους ὠφελήσεις, ἐν τῇ εὐλαβείᾳ διατηρῶν σου τὴν ψυχήν, εἰς τὸ μὴ ἀπορρίψαι τὸν τῆς παραφυλακῆς χαλινόν.

Ερμηνεία

ΝΑ μή επαινέσης αυτόν, που κοπιάζει σωματικά, έχει όμως χαλαρωμένας τας αισθήσεις: εννοώ την ακοήν, το διαρκώς ανοικτόν και ασυγκράτητον στόμα και τους ονειροπόλους οφθαλμούς. Φυσικών επακόλουθον της αγάπης είναι η απλότης και το να μη περιοριζώμεθα μέσα εις τα μέτρα του οφειλομένου σεβασμού, αλλά να τα υπερβαίνωμεν. Συ όμως, αδελφέ, να είσαι προσεκτικός εις όλα και να συναναστρέφεσαι με ευλάβειαν τους φίλους σου· έτσι, αν διατηρήσης την ψυχήν σου μέσα εις την ευλάβειαν, και τον εαυτόν σου και εκείνους θα ωφελήσης, ώστε να μη απορρίψετε τον χαλινόν της προσοχής.

ΣΤ'. Του Αγίου Εφραίμ

ΣΗΜΕΙΟΝ ἀπαιδευσίας ἐστι Μοναχῶ καθημένω μέσον ἀδελφῶν καὶ γυμνούντι τὰς κνήμας ἑαυτοῦ ο δὲ εὐλαβὴς εὐσχημόνως καθιεῖται.

2. Νεώτερος μοναχός, περιερχόμενος τὰς κέλλας τῶν μοναχῶν, οὐ μόνον ἀργὸς μανθάνει, ἀλλὰ καὶ φλύαρος καὶ περίεργος, λαλῶν τα μὴ δέοντα. Ὁ δὲ ἡσυχάζων ἐν ταπεινοφροσύνῃ ἀγαπηθήσεται. "Ὡς πὲρ μανίακιν χρυσοῦν ἓν τραχῆλο ἀνδρός, οὕτω πρέπει μοναχῶ ἢ εὐλάβεια.

3. 'Ἀδελφέ, φεῦγε ἐκ τῶν εὐτραπέλων, μήποτε ἀναιδῆ σὲ ἀπεργάσωνται: ἀναίδεια δὲ μήτηρ ἀκολασίας.

4. Γέρων τὶς εἶδε τινὰ γελώντα καὶ λέγει αὐτῶ ἔμπροσθέν της ἄνω καὶ κάτω κτίσεως μέλλομεν δοῦναι λόγος περὶ παντός του βίου ἡμῶν, καὶ σὺ γελᾷς;

Ερμηνεία

ΣΗΜΕΙΟΝ, το οποίον δεικνύει απαίδευτον Μοναχόν, είναι το να κάθεται εις το μέσον των αδελφών και να γυμνώνη τα πόδια του: ο ευλαβής θα καθήση συνεσταλμένα.

2. Νέος την ηλικίαν Μοναχός, ο οποίος περιφέρεται εις τα κελλιά των άλλων Μοναχών, όχι μόνον μανθάνει να μη εργάζεται, αλλά και να γίνεται φλύαρος και περίεργος, επειδή όμιλεί αυτά που δεν πρέπει. Ενώ εκείνος που ησυχάζει εις την ταπεινοφροσύνην, θα γίνη αγαπητός. Οπως χρυσούν περιδέραιον στολίζει τον τράχηλον ανδρός, έτσι ταιριάζει και εις τον μοναχών ή ευλάβεια.

3. Αδελφέ, να φεύγης μακράν από τους ελαφρούς αστεϊσμούς, μήπως γίνης αδιάντροπος. Η αδιαντροπιά είναι μητέρα της ακολασίας.

4. Ένας Γέρων είδε κάποιον, ο οποίος εγέλα και του λέγει: Εμπρός εις τα επουράνια και τα επίγεια πρόκειται να λογοδοτήσωμεν δι' όλας τας πράξεις μας, και συ γελάς;

ΥΠΟΘΕΣΙΣ ΛΕ'
(Ο θυμός, η γέννησίς του και η θεραπεία του)

Ὅτι οὐ δεῖ τινὰ ὅλως θυμούσθαι πρὸς ἄνθρωπον ἢ κραυγάζειν, καὶ τὶς ἡ τοῦ θυμοῦ γένεσις, καὶ τὶς ἡ θεραπεία.

Δεν πρέπει ποτέ να θυμώνη κανείς εναντίον ανθρώπου και να φωνάζη, και πώς γεννάται ο θυμός και πώς θεραπεύεται.

Α'. Εν τω Γεροντικώ

ΕΙΠΕΝ καὶ Ἀββᾶς Ἀγάθων, ὅτι ὀργίλος, νεκρὸν ἐὰν ἐγείρῃ, οὐκ ἔστι δεκτὸς παρὰ τῷ Θεῷ.

2. Εἶπεν ὁ ἀββᾶς Ποιμὴν οὐκ ἔστι μοναχὸς μεμψίμοιρος, οὐκ ἔστι μοναχὸς ποιῶν ἀνταπόδομα" οὐκ ἔστι μοναχὸς ὀργίλος, ἤγουν οἱ ταῦτα ἔχοντες οὐκ εἰσὶ μοναχοί, κὰν εἶναι δοκῶσιν.

3. Εἶπεν ὁ ἀββᾶς Ἰσίδωρος, ὅτι ἀπῆλθον πότε εἰς τὴν ἀγορὰν πωλῆσαι σκεύη μικρά, καὶ ἰδὼν τὴν ὀργὴν ἐγγίζουσαν μοὶ ἐάσας τὰ σκεύη ἔφυγον.

4. Ἠλθὸν πότε 'Ἀρειανοὶ πρὸς τὸν ἀββᾶν Σισώην εἰς τὸ ὄρος τοῦ ἄββα Ἀντωνίου, καὶ ὡς ἤρξαντο καταλαλεῖν τῶν ὀρθοδόξων, οὐκ ἀπεκρίθη ὁ γέρων αὐτοῖς οὐδέν. Φωνήσας δὲ τὸν ἑαυτοῦ μαθητήν, εἶπεν: 'Ἀβραάμ, φέρε τὸ βιβλίον τοῦ "Ἁγίου Ἀθανασίου καὶ ἀναγνωθι αὐτὸ καὶ σιωπώντων αὐτῶν ἐγνώσθη ἡ αἵρεσις αὐτῶν, καὶ ἀπέλυσεν αὐτοὺς μετ' εἰρήνης..

5. Ἀναχωρητὴς τὶς γέγονεν Ἐπίσκοπος οὗτος δὶ' εὐλάβειαν καὶ ἡσυχίαν οὐδενὶ ἐπετίμα, μακροθύμως φέρων τὰ ἑκάστου πταίσματα καὶ δὲ τούτου οἰκονόμος οὐ κατὰ λόγον διώκει τὰ τῆς Ἐκκλησίας πράγματα. Καὶ λέγουσι τινὲς τῷ Ἐπισκόπῳ διατὶ οὐκ ἐπιτιμᾷς τὸ οἰκονόμο οὕτω καταφρονούντι ; Παραπέμπεται ἐκεῖνος τὴν ἐπιτίμησιν εἰς τὴν αὔριον. Τὴ οὖν ἑξῆς ἀνέρχονται πρὸς αὐτὸν οἵ του οἰκονόμου κατειπόντες. Μαθῶν δὲ ὁ Ἐπίσκοπος ἐκρύβη ἓν τινι τόπω, καὶ εὑρεῖν αὐτὸν οἱ θέλοντες οὐκ ἠδυνήθησαν" ὡς δὲ πολλὰ ζητήσαντες μόλις εὗρον, λέγουσιν αὐτῷ διὰ τί ἐκρύβης ἀφ' ἡμῶν; Ὁ δὲ ἔφη διότι & κατώρθωσα ἐν ἑξήκοντᾳ ἔτεσι δεόμενος τοῦ Θεοῦ, ταῦτα ὑμεῖς εἰς δύο ἡμέρας

θέλετε συλῆσαι. Οἶμαι ὅτι ἔβιασθη ὁ γέρων γενέσθαι Ἐπίσκοπος, διὸ καὶ τοῦ νόμου τῶν ἀναχωρητῶν μᾶλλον ἐφρόντιζε ἢ τοῦ τοῖς Ἐπισκόποις καθήκοντος.

6. Ἤκουσεν ὁ ἀββᾶς Ποιμὴν περὶ τινός, ὅτι ἔλκει τὰς ἐξ ἡμέρας τῆς ἑβδομάδος διότι ὀργίζεται, καὶ εἶπεν οὗτος ἔμαθεν αἴρειν τὰς ἐξ, καὶ οὐκ ἔμαθεν ἐκβάλλειν τὴν ὀργήν.

7. Ἀδελφὸς εἷς ὀργὴν κινηθεῖς κατὰ τινός, ἔστη εὐχόμενος καὶ αἰτούμενος μακροθυμῆσαι ἐπὶ τῷ ἀδελφῷ, καὶ τὸν πειρασμὸν παρελθεῖν ἀβλαβῶς καὶ εὐθέως δρᾷ καπνὸν ἐκ τοῦ στόματος αὐτοῦ ἐξερχόμενον.

Ερμηνεία

Ο ΑΒΒΑΣ Αγάθων είπεν, ότι εκείνος που οργίζεται εύκολα, και νεκρόν ακόμη αν αναστήση, δεν είναι δεκτός ενώπιον του Θεού.

2. Ο Αββάς Ποιμήν είπε: δεν υπάρχει Μοναχός ο οποίος να παραπονήται διαρκώς, δεν υπάρχει Μοναχός εκδικητικός δεν υπάρχει Μοναχος που να οργίζεται εύκολα. Δηλαδή όσοι έχουν αυτά τα ελαττώματα δεν είναι Μοναχοί, έστω και αν νομίζουν ότι είναι.

3. Ο Αββάς Ισίδωρος είπε κάποτε επήγα εις την αγοραν να πωλήσω ολίγα έργόχειρα και μόλις αντελήφθην να με καταλαμβάνη ή όργή, άφησα εκεί τα έργόχειρά μου και έφυγα.

4. Κάποτε ήλθον Αρειανοί εις τον Αββάν Σισώην, εις το όρος του Αββά Αντωνίου και ήρχισαν αμέσως να κατηγορούν τους Ορθοδόξους . Ο Γέρων δεν τους είπε τίποτε: εφώναξε μόνον τον μαθητής του και του είπε: Αβραάμ, φέρε το βιβλίον του Αγίου Αθανασίου και διάβασε αυτό. Επειδή δε εσιώπων, εγένετο αντιληπτή η αίρεσις των και εν συνεχεία τους απέλυσε αφού τους ευχήθη κατευόδιον.

5. Κάποιος Αναχωρητής έχειροτονήθη Επίσκοπος. Αυτός από ευλάβειαν και ησυχαστικήν διάθεσιν δεν έμάλωνε κανέναν, αλλ' από μακροθυμίαν ήνείχετο τα σφάλματα του καθενός· ο δε οικονόμος του δεν διοικούσεν όπως έπρεπε τα πράγματα της Εκκλησίας. Μερικοί λέγουν τότε εις τον Επίσκοπον:

– Διατί δεν τιμωρείς τον οικονόμον σου, που τόσον σε περιφρονεί;

Ο Επίσκοπος ανέβαλε την επίπληξιν διά την άλλην ημέραν.

Την επομένην ημέραν αναβαίνουν προς αυτόν οι κατήγοροι του οικονόμου.

Μόλις το αντελήφθη τούτο ο Επίσκοπος εκρύβη κάπου και δεν ήμπόρεσαν να τον εύρουν εκείνοι που τον ήθελαν.

Οταν τον ευρήκαν, έπειτα από πολλές αναζητήσεις, του λέγουν διατί έκρύφθηκες από ημάς;

– Διότι – απήντησεν ο Επίσκοπος – εκείνα, που κατώρθωσα εις εξήντα χρόνια, παρακαλών τόν Θεόν, σείς μέσα εις δύο ημέρας θέλετε να μου τα καταστρέψετε.

Νομίζω ότι θα έπιέσθη ο Γέρων να γίνη Επίσκοπος δι' αυτό και περισσότερον εφρόντιζε διά τον νόμον των αναχωρητών, παρά διά τα καθήκοντα του Επισκόπου(*).

6. Ο Αββάς Ποιμήν επληροφορήθη διά κάποιον, ότι υποφέρει τας εξ ημέρας της εβδομάδος, διότι οργίζεται και είπεν αυτός έμαθε να βασανίζεται τας εξ ημέρας και δεν έμαθε να αποδιώκη την οργήν.

7. Ένας αδελφός ήσθάνθη εις την ψυχήν του οργήν εναντίον κάποιου· συνεκρατήθη όμως και προσηυχήθη παρακαλών τόν Θεόν να μακροθυμήση προς τον αδελφόν και να περάση χωρίς ζημίαν ο πειρασμός αμέσως τότε είδε να βγαίνη καπνός από το στόμα του.

Β'. Του Αββά Ησαΐου

ΑΔΕΛΦΕ, ἐὰν τὶς σὲ ἕνα ὀλωδήποτε πράγματι θλίψη, καὶ γένηται σοὶ χρεία ἔλεγξαι τὸν ἀδελφόν, καὶ βλέπῃς ἑαυτὸν ἐν ὀργῇ καὶ ἀκαταστασία ὄντα, τὸ καθόλου μηδὲν αὐτῷ λαλήσῃς, ἵνα μὴ πλείω ταραχθῇς ἀλλ' ὅταν ἴδῃς καὶ σὲ αὐτὸν κακεῖνον ἐν καταστάσει καὶ πραότητι, τότε λάλησον, μὴ ὡς ἐλέγχων, ἀλλ' ὡς ὑπομιμνήσκων μετὰ πάσης ταπεινοφροσύνης.

Ερμηνεία

ΑΔΕΛΦΕ, αν σε στενοχωρήση κάποιος δι' ό,τιδήποτε πράγμα και παραστή ανάγκη να ελέγξης τον αδελφόν και βλέπης ότι ευρίσκεσαι υπό την επήρειαν οργής και ψυχικά αναστατωμένος, μή του ομιλήσης καθόλου, διά να μη ταραχθής περισσότερον

(*) Ο Επίσκοπος δηλαδή γενόμενος παρά την θέλησίν του, ενώ επροτίμα την μοναχικής πολιτείαν, εις την περίπτωσιν του οικονόμου ήκολούθει περισσότερον την πολιτείας των Μοναχών, των οποίων και κανών επιβάλλει να μη οργιζώμεθα κατά τινος ή να μή ελέγχωμέν τινα. Ούτω όμως δεν εξετέλει τα καθήκοντα του Επισκόπου, τα οποία επέβαλλον να ελέγξη και να τιμωρήση τον κακόν οικονόμον.

όταν θα διαπιστώσης ότι και συ και εκείνος έχετε ήρεμήσει, τότε να ομιλήσης, όχι ωσάν να τον ελέγχης, αλλ' ώσαν να του υπενθυμίζης το σφάλμα του με όλην την ταπεινοφροσύνην.

Γ'. Του Αββά Μάρκου

ΤΟ τοῦ θυμοῦ πάθος ἐξαιρέτως ὑπερηφανία στηρίζεται καὶ κραταιούται, καὶ ἀκατάλυτος γίνεται. Εἰ τὶς οὺν βούλεται τοῦτον τὸν τῆς ἀνομίας οἶκον ἐν ἑαυτὸ καταλυθῆναι καὶ κατασκαφῆναι, δν δ πονηρὸς οἰκοδομεῖ ἐν τῇ ψυχῇ ἑκάστοτε, ὡς λίθους προφάσεις διαφόρους εὐλόγους ἢ ἀλόγους συνάγων διὰ τῶν τῆς ὕλης πραγμάτων ἢ ρημάτων ἐν τοῖς λογισμούς, καὶ οἰκοδομῇς κακίας ἐν τῇ ψυχῇ κατασκευάζων, ἐχέτω τὴν ταπείνωσιν τοῦ Κυρίου ἀνεπίληστον ἐν τῇ καρδίᾳ αὐτοῦ, διαλογιζόμενος τὶς ὢν, τί γέγονε δὶ' ἡμᾶς, καὶ ἐξ οἵου ὕψους φωτὸς θεότητος ἀποκεκαλυμμένης κατὰ δύναμιν τῶν ἄνω οὐσιῶν, καὶ ἐν οὐρανοῖς δοξαζομένης ὑπὸ πάσης νοερᾶς φύσεως, εἰς οἷον βάθος ταπεινώσεως ἀνθρώπων κατῆλθε δὶ' ἄφατον ἀγαθότητα. Καὶ οὐκ ἐπαισχύνθη ὁ Δεσπότης πάσης κτίσεως, ὁρατῆς τὲ καὶ ἀοράτου, ἀναλαβεῖν τὸν ὑπὸ τὰ πάθη τῆς ἀτιμίας καὶ δεσποτικῆς ἀποφάσεως καταδικασθέντα ἄνθρωπος, ἀλλὰ ταπεινώσας ἑαυτόν, γέγονε κατὰ πάντα ὅμοιος ἡμίν, χωρὶς ἁμαρτίας, τουτέστι χωρὶς παθῶν ἀτιμίας τὰ γὰρ διὰ τὴν ἁμαρτίαν τῆς παραβάσεως ὑπὸ τῆς δεσποτικῆς ἀποφάσεως ἐπενεχθέντα τῶν ἀνθρώπω θανάτου ἐπιτίμια, κόπου, πείνης, δίψης καὶ τῶν τοιούτων, πάντα ἀνέλαβε, γενόμενος ὅπερ ἐσμέν, ἕνα γενώμεθα ὅπερ ἐστίν. Ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα ἡ σὰρξ γένηται λόγος, καὶ ὥμοιωθη κατὰ πάντα ἡμίν, ἵνα ἡμεῖς διὰ πάσης ἀρετῆς ὁμοιωθῶμεν αὐτῶ, καὶ ἕνα τα πολλὰ παρήσω, δὶ' ἡμᾶς ἤτιμασθη, ὑβρίσθη, ἔμαστιγωθη, ἐνεπτύσθη, κατεγελάσθη, ἐνεπαίχθη, τέλος ἐσταυρώθη, λόγχη τὴν πλευρὰν ἐνύγη, ἀπέθανεν, εἰς ἅδην κατῆλθεν.

Ἵνα δὲ ἐν συντόμῳ καὶ τὰς τῶν παθῶν ἐπικαρπίας ἀπαριθμήσωμαι, τουτέστι τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν τοῦ ᾅδου καὶ θανάτου σκύλευσιν, τῶν συνελθουσῶν τῷ Κυρίῳ ψυχῶν, τὴν ἐν οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν του Πατρὸς καθέδραν, τὴν ὑπὲρ ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ παντὸς ὀνόματος ὀνομαζομένου τιμὴν καὶ δόξαν, τὴν προσκύνησιν πάντων των Ἀγγέλων εἰς τὸν πρωτότοκός των νεκρῶν διὰ τὴν αἰτίας τῶν παθημάτων κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν.

Ὁ οὺν ταύτας τὰς μνήμας ἐν πόθῳ καὶ διαθέσει ἀνεπιλήστω διασῴζων ἐν τῇ καρδίᾳ αὐτοῦ οὐ κυριευθήσεται ὑπὸ τοῦ πάθους τῆς πικρίας καὶ τοῦ θυμοῦ. Διὰ γὰρ τῆς ταπεινώσεως τοῦ Χριστοῦ, ἧς ἀναλογίζεται, ἐπεξελθόντων τῶν θεμελίων του τῆς ὑπερηφανίας πάθους, ὅλον το οἰκοδόμημα τῆς ἀνομίας τοῦ θυμοῦ εὐχερῶς καὶ

αὐτομάτως καταλύεται. Ποία γὰρ σκληρὰ καὶ λιθίνη καρδία, ἐὰν ἐνθυμῆται διηνεκῶς τὴν τοσαύτην τῆς θεότητος τοῦ μονογενοῦς δι' ἡμᾶς ταπείνωσιν, καὶ τὴν ἀπαριθμηθεῖσαν τῶν τοσούτων παθημάτων ὑπομονήν, οὐ συντρίβεται, καὶ ταπεινούται, καὶ κατανύσσεται, καὶ γῆ καὶ σποδὸς καὶ καταπάτημα παντὸς ἀνθρώπου γίνεται; Τῆς δὲ οὕτω συντριβομένης ψυχῆς, ποιὸς θυμὸς ἢ πικρία κατακρατῆσαι δυνήσεται;

Οἶμαι οὖν, ὡς εἰ μὴ ἢ τῶν κακῶν μήτηρ λήθη ἀπὸ τῆς καρδίας συλήσει τοὺς τοιούτους σωτηρίους καὶ ζωοποιοὺς λογισμούς, οὐδέποτε ὁ ἄνθρωπος ὑπὸ τοῦ θυμοῦ νικηθήσεται.

Ερμηνεία

ΤΟ ΠΑΘΟΣ του θυμού στηρίζεται ιδιαιτέρως εις την υπερηφάνειαν και ισχυροποιείται και γίνεται ακατανίκητον. Εάν λοιπόν θέλη κανείς να κρημνίση και να ξεθεμελιώση τον οίκον αυτόν της ανομίας, τον οποίον οικοδομεί εις την ψυχήν κάθε φοράν ο πονηρός, συναθροίζων και χρησιμοποιών ως λίθους διαφόρους προφάσεις είτε λογικάς είτε παραλόγους, από διάφορα περιστατικά ή λόγια που στριφογυρίζουν εις τας σκέψεις μας, δια να κτίζη εις την ψυχήν μας την οικοδομών της κακίας αυτός ας διατηρή εις την ψυχήν του, χωρίς να την λησμονή ούτε στιγμήν, την ταπείνωσιν του Κυρίου. Ας αναλογίζεται ποίος είναι ο Κύριος, και τι έγινε δι' ημάς, από ποίον ύψος φωτός θεότητος, η οποία αποκαλύπτεται κατά την δύναμιν τών άνω ουσιών, και η οποία δοξάζεται εις τους ουρανούς από πάσαν νοεράν φύσιν, εις ποίον βάθος ανθρωπίνης ταπεινώσεως κατήλθε, κινούμενος από την απέραντον αγαθότητά Του.

Ας σκέπτεται ότι δεν εντράπηκεν ο Δεσπότης όλου του ορατού και αοράτου κόσμου, να λάβη την ανθρωπίνην φύσιν, η οποία κατεδικάσθη από την Δεσποτικής απόφασιν και περιέπεσεν εις πάθη ατιμίας. Έταπείνωσε τον εαυτόν Του και έγινεν εις όλα όμοιος με ημάς, χωρίς όμως αμαρτίαν, δηλαδή χωρίς πάθος ατιμίας. Διότι όλα όσα έπεβλήθησαν εις τον άνθρωπος από την Δεσποτικής απόφασιν ώς ποινή, λόγω της παραβάσεως, δηλαδή ο θάνατος, ο κόπος, η πείνα, η δίψα, και τα παρόμοια, όλα αυτά τα εδέχθη δια τον εαυτόν Του και έγινεν εκείνο που είμεθα, δια να γίνωμεν ημείς εκείνο που είναι ο Κύριος.

Ο Λόγος έγινε σαρξ (δηλ. άνθρωπος), διά νά γίνη και η σαρξ Θεός κατά χάριν και έγινε καθ' όλα όμοιος με ημάς, διά να ομοιάσωμεν και ημείς με τον Λόγον εις όλας τας αρετάς. Και διά να αφήσω τα πολλά, εδέχθη προς χάριν μας ατίμωσιν, υβρίσθη, έμαστιγώθη, τον έπτυσαν, τον κατεγέλασαν, τον ενέπαιξαν, τέλος τον έσταύρωσαν, έκέντησαν με λόγχην την πλευράν Του, απέθανε και εκατέβηκεν εις τον Αδην.

Ας απαριθμήσω δε με συντομίας και το κέρδος από τα Αγια Πάθη Του· δηλαδή την εκ νεκρών ανάστασιν, την κατανίκησιν του Αδου και του θανάτου, τας ψυχάς που ανεστήθησαν μαζί με τον Κύριον, την Ανάληψιν εις τους Ουρανούς, την ενθρόνισιν εις τα δεξιά του Πατρός, την υπεράνω κάθε αρχής και εξουσίας και κάθε γνωστού ονόματος τιμήν και δόξαν, την προσκύνησιν του Πρωτοτόκου των νεκρών από όλους τους Αγγέλους, εξ αιτίας των παθημάτων, σύμφωνα με όσα λέγει ο Απόστολος (Εβρ. 6', 5-18).

Εκείνος λοιπόν που διατηρεί, εις την καρδίαν του, με πόθον και διάθεσιν να μη τας λησμονήση αυτάς τας σκέψεις, δεν θα κυριευθή από το πάθος της πικρίας και του θυμού. Διότι με την ταπείνωσιν του Χριστού, που διαρκώς, θα σκέπτεται, θα διαβρωθούν σιγά-σιγά τα θεμέλια του πάθους της υπερηφανείας και ολόκληρον το οικοδόμημα της ανομίας του θυμού εύκολα από μόνος του θα κρημνισθή. Διότι ποία καρδία, όσον πέτρινη και σκληρή αν είναι, όταν ενθυμήται συνεχώς την τόσον μεγάλην ταπείνωσιν της Θεότητος του Μονογενούς, η οποία έγινε δι' ημάς, και την υπομονήν που έδειξεν εις τα τόσα παθήματα, δεν θα συντριβή, δεν θα ταπεινωθή, δεν θα δοκιμάση κατάνυξιν και δεν θα γίνη χώμα και στάκτη και καταπάτημα από κάθε άνθρωπον; Μίαν τοιαύτην συντετριμμένην ψυχήν ποίος θυμός ή πικρία θα ήμπορέση να κατανικήση;

Νομίζω λοιπόν ότι αν η μητέρα των κακών, η λησμοσύνη, δεν έκδιώξη από την καρδίαν αυτούς τους σωτηρίους και ζωοποιούς λογισμούς, ουδέποτε ο άνθρωπος θα νικηθή από τον θυμόν.

Δ'. Του Αγίου Διαδόχου

ΑΚΥΜΑΝΤΟΝ ἀεὶ φυλάττειν δεῖ τοὺς ἀγωνιζομένους τὴν διάνοιαν, ἕνα τους εἰς αὐτὴν διαθέοντας λογισμοὺς καὶ νοῦς διακρίνων, τοὺς μὲν καλοὺς καὶ θεοπέμπτους ἐν τοῖς ταμείοις τῆς μνήμης ἐναποτίθεται, τοὺς δὲ σκαιοὺς καὶ δαιμονιώδεις ἔξω ποὺ τῶν ἀποθηκῶν ἀπορρίπτῃ τῆς φύσεως. Καὶ γὰρ ἡ θάλασσα γαληνιώσα μὲν ἄχρις αὐτοῦ του βυθίου κινήματος ὑπὸ τῶν ἁλιέων καθορᾶται, ὡς μηδὲν αὐτοὺς σχεδὸν τότε λανθάνειν τῶν ἐκεῖσε διαπορευομένων ἰχθύων. "Ὅτε δὲ ὑπὸ τῶν πνευμάτων ταράττεται, τὴ στυγνότητα τῆς ταραχῆς κρύπτει ἅπερ ἐν τῷ γέλωτι τῆς γαλήνης δράσθαι φιλοτιμεῖται.

Ὅθεν ἀργὴν οὖσαν τὴν τέχνην τῶν ἀγρευτῶν, τότε βλέπομεν ὅπερ καὶ τὸν νοῦν τὸν θεωρητικῶν πάσχειν πάντως συμβαίνει, ὅταν μάλιστα ἐξ ὀργῆς ἀδίκου καὶ βυθὸς τῆς ψυχῆς ταράττεται.

Ερμηνεία

ΕΚΕΙΝΟΙ που αγωνίζονται πρέπει πάντοτε να φυλάγουν αδιατάρακτον τον νούν των, δια να διακρίνη τους λογισμούς που εισέρχονται εις αυτόν και τους καλούς που στέλλει ο Θεός να αποταμιεύη εις τα θησαυροφυλάκια της μνήμης, τους δε κακούς, τους οποίους εμπνέουν οι δαίμονες, να τους πετά έξω από τας φυσικές αποθήκας της σκέψεως. Διότι και εις την θάλασσαν, όταν είναι ήρεμος, οι αλιείς βλέπουν εις αυτήν κάθε κίνησιν μέχρι του βυθού, ώστε τίποτε να μη τους ξεφεύγη από τα ψάρια που πηγαινοέρχονται μέσα εις αυτήν. "Όταν όμως ταράσσεται από τους ανέμους, κρύβει με την θόλωσιν της τρικυμίας εκείνα που αφήνει να διακρίνονται με την χαροποιόν γαλήνην.

Δι' αυτό, όταν είναι τρικυμία, και οι ψαράδες δεν εργάζονται το ίδιον πάσχει και ο θεωρητικός νους, όταν ταράσσεται ο βυθός της ψυχής προ παντός από άδικον οργήν.

Ε'. Του Οσίου Κασσιανού

Ο ΕΠΙΘΥΜΩΝ τὸν πνευματικὸς ἀγῶνα νομίμως ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος, ὀργῆς τὲ καὶ θυμοῦ ἀλλότριος ἔστω, καὶ ἀκουέτω τί αὐτὸ τὸ σκεῦος τῆς ἐκλογῆς παραγγέλλει: «Ἰάσα, φησί, πικρία, καὶ ὀργή, καὶ θυμὸς καὶ κραυγή, καὶ βλασφημία, ἀρθήτω ἀφ' ἡμῶν, σὺν πάση κακία». "Όταν δὲ εἴπῃ πᾶσαν, οὐδεμίαν πρόφασιν θυμοῦ ἢ ὡς ἀναγκαίαν ἢ ὡς εὔλογον ἡμὶν καταλέλοιπεν.

"Ο τοίνυν πλημμελούντα τὸν ἀδελφὸν διορθούσθαι βουλόμενος ἢ ἐπιτιμίαν τούτω παρέχειν, σπουδαζέτω ἑαυτὸν ἀτάραχον φυλάττειν, μήποτε ἄλλον θεραπεύσαι βουλόμενος ἑαυτῶ τὴν νόσον ἐπισπάσηται καὶ ρηθήσεται αὐτὸ τὸ Εὐαγγελικὸν ἐκεῖνο: « ἰατρὲ θεράπευσον σεαυτὸν» καὶ πάλιν «τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῶ οὐ κατανοεῖς»; ἢ ποίω τρόπω θεάση τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελ

πτουσᾶν σε; Ἔξ οἵας δήποτε γὰρ αἰτίας ἢ τῆς ὀργῆς κίνησις, εἰ ὑπερζέσει, τυφλοῦ τους ὀφθαλμοὺς τῆς ψυχῆς καὶ οὐκ ἔα αὐτὴν θεάσασθαι τὸν ἥλιον τῆς δικαιοσύνης.

ΥΠΟΘΕΣΙΣ ΛΕ΄ (Ο θυμός, η γέννησίς του και η θεραπεία του)

"Ὡς πὲρ γὰρ ὁ ἐπιθεῖς τοῖς ὀφθαλμοῖς χρυσὰ πέταλα ἢ μολύβδινα, ἐπίσης ἐκώλυσε τὴν ὀρατικὴν δύναμιν καὶ οὐδαμῶς διαφορὰν τυφλότητος καὶ τοῦ χρυσοῦ πετάλου τιμιότης ἐποίησεν, οὕτως ἐξ οἵας δήποτε αἰτίας εὐλόγου ἢ ἀλόγου ὀργῆς ἀναφθείσης, ἡ ὀρατικὴ δύναμις τῆς ψυχῆς σκοτίζεται. Τότε φυσικῶς μόνον κεχρήμεθα τῷ θυμῷ, ὅταν πρὸς τοὺς φιληδόνους καὶ ἐμπαθεῖς λογισμοὺς τοῦτον κινῶμεν.

Οὕτως ἅμας καὶ ὁ προφήτης Δαβὶδ διδάσκει φάσκων: «ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε», τουτέστι κατὰ τῶν ἰδίων παθῶν τὴν ὀργὴν κινεῖτε καὶ κατὰ τῶν πονηρῶν λογισμῶν, καὶ μὴ διὰ τοῦ ἀποτελεῖν τὰ ὑποβαλλόμενα ὑπ' αὐτῶν ἁμαρτάνετε, καὶ ταύτην τὴν ἔννοιαν δηλοὶ σαφῶς τὰ ἐπαγόμενα «ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, φησίν, ἐπὶ ταϊς κοίταις ὑμῶν κατανύγητε» ἤγουν ὅταν ἔλθωσιν ἐπὶ τὴν καρδίαν ὑμῶν οἱ πονηροὶ λογισμοί, ἐκβαλόντες τούτους διὰ τῆς πρὸς αὐτοὺς ὀργῆς, μετὰ τὴν αὐτῶν ἐκβολὴν ὥσανει ἐν κοίτῃ τὴ ἡσυχία εὑρισκόμενοι, τὸ τηνικαύτα κατανύσσεσθε πρὸς μετάνοιαν.

ρητοῦ τούτου καὶ προσθεῖς, φησὶν «ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δότε τόπον τὸ διαβόλω», ἤτοι μὴ παρασκευάσατε τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν τὸν Θεὸν διὰ τοῦ παροργισμοῦ ὑμῶν, δν αὐτοὶ παροργίζετε, συγκατατιθέμενοι τοὺς φαύλοις λογισμοὺς ἐπιδύναι, ὡς εἴρηται, ταῖς καρδίαις ὑμῶν, ἵνα μὴ τὴ ἀναχωρήσει αὐτοῦ τόπον εὕρη ἐν ὑμὶν ὁ διάβολος.

Διὸ προσήκει τοὺς θείοις νόμοις ἀκολουθοῦντας πάση δυνάμει ἀγωνίζεσθαι κατὰ τοῦ πνεύματος τῆς ὀργῆς καὶ κατὰ τῆς ἔνδον ἐν ἡμὶν ἀποκειμένης νόσου, καὶ μὴ κατὰ τῶν ἀνθρώπων τὸν θυμὸν κινοῦντας, ἐρημίαν καὶ μόνωσιν μεταδιώκειν, ὡς ἐκεῖ δῆθεν μηδενὸς ὄντος τοῦ κινοῦντος ἡμᾶς πρὸς ὀργήν, καὶ ὡς εὐκόλως ἐν τῇ μονώσει ἡ ἀρετὴ τῆς μακροθυμίας κατορθωθήσεται.

Ἀπὸ γὰρ ὑπερηφανίας καὶ τοῦ μὴ θέλειν ἑαυτοὺς μέμφεσθαι καὶ ἐπιγράφειν τὴ ἰδία ῥᾳθυμία τὰς αἰτίας τῆς ταραχῆς, τὴν ἀπὸ τῶν ἀδελφῶν ἀναχώρησιν ἐπιθυμοῦμεν. "Ἕως δὲ οὕτω διακείμεθα καὶ φρονοῦμεν, καὶ τῆς ἡμετέρας ῥᾳθυμίας τὰς ἀσθενείας καὶ τὰς αἰτίας ἄλλοις ἐπιγράφομεν, οὐ δυνησόμεθα πρὸς τὴν τελειότητα τῆς μακροθυμίας φθᾶσαι. Τὸ γὰρ κεφάλαιον τῆς ἡμετέρας διορθώσεως οὐκ ἐκ τῆς τοῦ πλησίον μακροθυμίας της πρὸς ἡμᾶς γινομένης κατορθούται, ἀλλ' ἐκ τῆς ἡμετέρας ἀνεξικακίας.

Εἰ δὲ καὶ τὴν ἐρημίαν καὶ μόνωσιν μεταδιώκομεν τὸν τῆς μακροθυμίας ἀγῶνα φεύγοντες, γνωστὸν ἡμὶν ἔστω, ὡς διὰ τῆς ἐρημίας πλέον ἄγριουνταί τα ἐν ἡμὶν πάθη, καὶ μάλιστα τὸ τοῦ θυμοῦ, ἀργούντα τῆς ἐκ τῶν ἀνθρώπων γυμνασίας, καὶ αὐτὴν τὴν σκιὰν τῆς ὑπομονῆς τὲ καὶ τῆς μακροθυμίας, ἣν εἰκονικῶς ἔχειν ἔδοκουμεν ἀναμεμιγμένοι τοὺς ἀδελφούς, ἀπολλύομεν τὴ στερήσει τῆς γυμνασίας καὶ διορθώσεως.

ΥΠΟΘΕΣΙΣ ΛΕ΄ (Ο θυμός, η γέννησίς του και η θεραπεία του)

Διὸ χρὴ τοῖς ἐφιεμένοις πραότητα κτήσασθαι, σπουδάζειν οὐ μόνον πρὸς ἀνθρώπους μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ πρὸς τὰ ἄλογα ζῷα, ἢ πρὸς τὰ ἄψυχα πράγματα. Μέμνημαι γὰρ ἐγώ, ἡνίκα ἐν τῇ ἐρήμῳ διέτριβον, κατὰ καλάμου τὸν θυμὸς κινήσας, τῆς παχύτητος τούτου ἢ τῆς λεπτότητος ἀπαρεσάσης μοί. Καὶ κατὰ ξύλου πάλιν, ὅταν κόψαι τοῦτο θελήσας, μὴ ταχέως ἠδυνήθην, καὶ κατὰ λίθου δὲ πυροβόλου ὠργίσθην, διότι σπουδάζοντός μου ἔκβαλείν το πῦρ, οὗ ταχέως καὶ σπινθήρ. ἐξεπήδησεν. Οὕτως ἡ ὀργὴ ἐπετάθη μου, ὡς καὶ κατὰ τῶν ἀναισθήτων πραγμάτων ταύτην ἔκφερειν μέ.

Πᾶσαν οὖν ὀργὴν ἀφ' ἡμῶν ἀπορρίψωμεν, φοβηθέντες τῆς τοῦ Κυρίου ἀπόφασιν, ἣν ἐν τοῖς Εὐαγγελίοις ἀπεφήνατο λέγων· «ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τὴ κρίσει» οὕτω γὰρ τὰ ἀκριβῆ των ἀντιγράφων περιέχει τὸ γὰρ εἰκῇ, ἐκ προσθήκης ἐτέθη, παρὰ τῶν μὴ βουλομένων τελείως ἐκκόπτειν τὸ πάθος τῆς ὀργῆς. Ὁ γὰρ σκοπὸς τοῦ Κυρίου, ὡς ἐπὶ τῶν ἄλλων παθῶν, τὴν ρίζαν αὐτὴν καὶ αἰτίαν καὶ τούτου τοῦ πάθους ἀποτέμνειν καὶ ἀνασπᾶν πάσι τρόποις ἡμᾶς βούλεται καὶ μηδεμίαν πρόφασιν ὀργῆς ἐν ἑαυτοῖς διαφυλάττειν, ἵνα μὴ τὴν ἀρχὴν εὐλόγως δῆθεν κινούμενοι, ὕστερον τὴ μανία τοῦ ἀλόγου θυμοῦ περιπέσωμεν.

Αὕτη οὖν ἡ παντελὴς ἴασις ταύτης τῆς νόσου, ἵνα σπουδάσωμεν μήτε ἐπὶ δικαίους μήτε ἐπὶ ἀδίκοις τὸν θυμὸν κινεῖν, τοῦ σκοτεινοῦ τούτου πάθους τὴν διάνοιαν ἡμῶν ζοφώσαντος, οὔτε διακρίσεως φῶς, οὔτε ὀρθοῦ βουλεύματος βεβαίωσις, οὔτε δικαιοσύνης κυβέρνησις ἐν ἡμὶν εὐρεθήσεται. Καὶ τὸ "Ἅγιον δὲ Πνεῦμα φεύξεται ἀφ' ἡμῶν, ὑπὸ τῆς ἔνδον ταραχῆς ἐλαυνόμενον.

Ἐπὶ πάσι δὲ τοῖς εἰρημένοις δεῖ ἡμᾶς διηνεκῶς τὸ ἄδηλόν του θανάτου πρὸ ὀφθαλμῶν ἔχοντας, φυλάττειν ἑαυτοὺς ἀπὸ ὀργῆς, καὶ τὸν θυμὸν εἰς τέλος ἔγκαταλιπειν, κατὰ τὴν τοῦ Προφήτου παραίνεσιν, εἰδότας ὅτι οὔτε σωφροσύνης, οὔτε ἀποταγῆς πάσης της ὕλης, οὔτε τῶν νηστειῶν καὶ ἀγρυπνιῶν καὶ λοιπῶν κακουχιῶν ὄφελος οὐδὲ τυχόν, εἰ ὑπὸ ὀργῆς καὶ μίσους κατεχόμενοι τὴ φοβερὰ κρίσει ἔνοχοι εὐρεθῶμεν.

Ερμηνεία

ΕΚΕΙΝΟΣ που επιθυμεί να διεξαγάγη νόμιμα τον πνευματικόν αγώνα, ας αποξενωθή από κάθε ελάττωμα, και από οργήν και θυμόν, και ας προσέχη τί του παραγγέλλει το σκεύος της εκλογής[(*)]. «Πάσα πικρία – λέγει – και οργή και θυμός και κραυγή και βλασφημία, ας απομακρυνθη από ημάς μαζί με κάθε άλλην κακίαν»

[(*)] Σκεύος εκλογής καλείται ο Παύλος, επειδή ήκολούθησε τον Χριστόν ουχί διδαχθείς από άνθρωπον, αλλ' από κλήσιν αυτού του Κυρίου, όστις εφανερώθη εν δράματι εις αυτόν εις τον δρόμον της Δαμασκού.

(Έφεσ. δ', 31). Οταν δε λέγη «πάσαν», ουδεμίαν αφορμήν θυμού μάς επέτρεψεν ή ως αναγκαίαν, ή ως δικαιολογημένην.

Εκείνος λοιπόν που θέλει να διορθώση τον αδελφόν, ο οποίος σφάλλει ή να του επιβάλη μίαν ποινήν, ας φροντίζη να παραμείνη ατάραχος, μη τυχόν, ενώ θέλει να θεραπεύση άλλον, δεχθή ο ίδιος την νόσον: και τότε θα λεχθή δι' αυτόν το Ευαγγελικόν ρητόν «ιατρέ, θεράπευσε πρώτα τον εαυτόν σου» (Λουκ. δ', 23), ή το «διατί βλέπεις το ξυλαράκι εις τον οφθαλμόν του αδελφού σου και δεν αντιλαμβάνεσαι την δοκόν, που έχει καρφωθή εις τον ιδικόν σου οφθαλμόν;» (Ματθ. ζ', 3-5 και Λουκ. στ'. 42). Η με ποιον τρόπον θα ίδης το ξυλαράκι, δια να το βγάλης από τον οφθαλμών του αδελφού σου, συ που έχεις εις τον ιδικόν σου οφθαλμόν το δοκάρι του θυμού και σε σκεπάζει ολόκληρον; Διότι από οποιανδήποτε αιτίαν και αν προέρχεται η οργή, αν δυναμώση, τυφλώνει τα μάτια της ψυχής και δεν την αφήνει να ίδη τον ήλιον της δικαιοσύνης.

Όπως δηλαδή εκείνος που θα βάλη επάνω εις τα μάτια του καλύμματα χρυσά ή μολυβένια, εμποδίζει εξ ίσου την όρασιν και δεν έχει καμμίαν διαφοράν τυφλότητος η αξία του χρυσού καλύμματος, με τον ίδιον τρόπον σκοτίζεται και η δύναμις της ψυχικής οράσεως, όταν ανάψη μέσα μας η οργή από οποιανδήποτε αιτίαν, είτε εύλογον είτε παράλογον. Τότε μόνον δικαιολογημένα χρησιμοποιούμεν τον θυμόν, όταν τον κινούμεν εναντίον των εμπαθών και φιληδόνων λογισμών.

Αυτά μας διδάσκει και ο Προφήτης Δαβίδ, όταν λέγη: «να οργίζεσθε, αλλά να μη αμαρτάνετε» (Ψαλμ. δ', 5): δηλαδή να στρέφετε την οργήν εναντίον των παθών σας και των πονηρών λογισμών και όχι με το να εκτελητε αυτά που σας εμπνέουν οι λογισμοί να αμαρτάνετε αυτό το νόημα φανερώνουν ολοκάθαρα τα όσα λέγει ο Δαβίδ πάρα κάτω: «δι' αυτά που λέγετε εις τας καρδίας σας, εις το κρεββάτι σας να μετανοήτε» (Αυτόθι). Οταν δηλαδή έλθουν εις την καρδίαν σας οι πονηροι λογισμοί, εκδιώξατε τους με την εναντίον των οργήν σας μετά δε την εκδίωξίν των, ησυχάσατε ωσάν να ευρίσκεσθε εις κρεββάτι και προσπαθήσατε να δοκιμάσετε κατάνυξιν μετανοίας.

Με τον Δαβίδ συμφωνεί και ο μακάριος Παύλος, ο οποίος επικαλείται την μαρτυρίαν του ρητού τούτου και προσθέτει: «να μη δύη ο ήλιος και να είσθε όργισμένοι ούτε να δίδετε τόπον εις τον διάβολον» (Έφεσ. δ', 26): δηλαδή να μη γίνετε αιτία σείς οι ίδιοι να δύση εις τας καρδίας σας ο ήλιος της δικαιοσύνης, ο Χριστός, με τον παροργισμόν σας, που γεννάται από την συγκατάθεσίν σας εις τους αισχρους

λογισμούς, διά νά μή εύρη, με την αναχώρησιν του νοητου ηλίου, ο διάβολος τόπον εις τας ψυχάς σας.

Δι' αυτό πρέπει να συμμορφωνώμεθα με τους θείους νόμους και να αγωνιζώμεθα με όλας μας τας δυνάμεις εναντίον του πνεύματος της οργής και εναντίον της νόσου που ευρίσκεται μέσα μας. Να μη θυμώνωμεν εναντίον των ανθρώπων και μετά να επιδιώκωμεν την έρημίαν και την μοναξιάν, επειδή, δήθεν, δεν υπάρχει τίποτε εκεί, που να μας εξωθή είς οργήν και επειδή, τάχα, η αρετή της μακροθυμίας έτσι θα κατορθωθή εύκολα.

Διότι από υπερηφάνειας και από το να μη θέλωμεν να κατηγορούμεν τους εαυτούς μας και από το να μη αποδίδωμεν εις την ιδικήν μας ραθυμίαν τας αιτίας της εσωτερικής ταραχής μας, επιθυμούμεν να φεύγωμεν από τους αδελφούς έως ότου έχομεν αυτήν την διάθεσιν και αυτό το φρόνημα και αποδίδομεν εις τους άλλους τας αιτίας της ραθυμίας μας και της ψυχικής μας αδυναμίας, δεν θα ήμπορέσωμεν να φθάσωμεν προς την τελειότητα της μακροθυμίας. Διότι η διόρθωσίς μας δεν κατορθώνεται από την μακροθυμίαν του πλησίον προς ημάς, αλλά από την ίδικήν μας ανεξικακίαν.

Αν δε επιδιώκωμεν την έρημίαν και την μοναξιάν, αποφεύγοντες έτσι τον αγώνα της μακροθυμίας, ας μάθωμεν καλά, ότι με την έρημίαν εξαγριώνονται περισσότερον τα πάθη μέσα μας και προ παντός το πάθος του θυμού· διότι άγριεύουν, επειδή δεν εξασκούμεθα από την συναναστροφής με τους άλλους ανθρώπους. Και αυτή ακόμη η σκιά της υπομονής και της μακροθυμίας, την οποίαν ένομίζαμεν ότι έχομεν, έστω και φαινομενικά, όταν είμεθα μαζί με τους αδελφούς, την χάνομεν με την στέρησιν της ασκήσεως και της διορθώσεως.

Δι' αυτό πρέπει εκείνοι που επιθυμούν να αποκτήσουν πραότητα, να φροντίζουν να μη οργίζωνται όχι μονάχα εναντίον ανθρώπων, αλλ' ούτε εναντίον των ζώων ή και των αψύχων ακόμη πραγμάτων. Ενθυμούμαι, όταν έμενα εις την έρημον, ότι κάποτε εθύμωσα με ένα καλάμι, διότι δεν μου άρεσε το πάχος ή η λεπτότης του και με ένα ξύλον εθύμωσα, όταν ήθέλησα να το κόψω, επειδή δεν ήμπόρεσα να το κόψω γρήγορα και με μίαν τσακμακόπετραν ώργίσθην, διότι έβιαζόμουν να ανάψω φωτιάν και δεν έβγαινε γρήγορα η σπίθα. Τόσον έμεγάλωσεν ο θυμός μου, ώστε να τον εκδηλώνω και εναντίον αψύχων πραγμάτων ακόμη.

ΥΠΟΘΕΣΙΣ ΛΕ΄ (Ο θυμός, η γέννησίς του και η θεραπεία του)

Ας πετάξωμεν λοιπόν από επάνω μας όλην την οργήν και ας φοβηθώμεν την απόφασιν του Κυρίου, ο οποίος διεκήρυξεν εις το Ευαγγέλιον: «αυτός που οργίζεται εναντίον του αδελφού του – είπε – θα είναι ένοχος εις την κρίσιν» (Ματθ. ε', 22). Διότι αυτό μονάχα αναφέρεται εις τα αντίγραφα, τα οποία θεωρούνται περισσότερον ακριβή, δηλαδή η λέξις «είκη» (άκαίρως – ματαίως – ασκόπως) προσετέθη από εκείνους που δεν ήθελαν να κόψουν τελείως το πάθος της οργής. Σκοπός του Κυρίου βεβαίως είναι να ξερριζώσωμεν και να κόψωμεν με κάθε τρόπον την αιτίαν αυτού του πάθους, όπως και των άλλων παθών, και να μη διατηρήσωμεν μέσα μας καμμίαν πρόφασιν οργής, μη τυχόν ενώ κατ' αρχάς κινούμεθα εύλογα δήθεν προς τον θυμόν κατόπιν περιπέσωμεν εις την μανίαν του παραλόγου θυμού.

Αυτή λοιπόν είναι η τελεία θεραπεία της νόσου, τα φροντίσωμεν να μη θυμώνωμεν, ούτε διά δίκαια, ούτε διά άδικα ζητήματα, Διότι όταν θολώση την σκέψιν μας το σκοτεινόν αυτό πάθος, δεν θα ευρεθή μέσα μας ούτε φώς να διακρίνωμεν το ορθόν, ούτε βεβαιότης ορθής σκέψεως, ούτε κυβέρνησις δικαιοσύνης. Και το Αγιον Πνεύμα θα φύγη από ημάς εκδιωκόμενον από την εσωτερικών ταραχήν.

Πέραν δε από όλα όσα είπομεν, ημείς πρέπει να έχωμεν συνεχώς εμπρός εις τα μάτια μας την άγνωστον ώραν του θανάτου, να φυλασσώμεθα από την οργήν και να εγκαταλείπωμεν τελείως τον θυμόν, σύμφωνα με την συμβουλήν του Προφήτου (Ψαλμ. λστ΄, 8). Ας μη διαφεύγη από τον νούν μας, ότι ούτε σωφροσύνη ούτε εγκατάλειψις όλων των υλικών πραγμάτων, ούτε νηστείαι και αγρυπνίαι και λοιπαι κακουχίαι θα μας ωφελήσουν εις τίποτε, άν, κατά την φοβεραν κρίσιν, παρουσιασθώμεν νικημένοι από την οργήν και το μίσος και επομένως ευρεθώμεν ένοχοι.

ΣΤ'. Του Αγίου Μαξίμου

ΤΟ ΜΕΝ ἐπιθυμητικὸν τῆς ψυχῆς, πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσνίκητον τὴ ψυχὴ ἔντιθησιν, ὁ δὲ θυμὸς ταρασσόμενος συνεχῶς δειλὸν καὶ ἄνανδρον αὐτὴν κατεργάζεται ὠνται δὲ τὸ μὲν ἄσκησις ἐπιτεταμένη νηστείας καὶ ἀγρυπνίας καὶ προσευχῆς, τὸ δὲ χρηστότης καὶ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος.

Ερμηνεία

ΤΟ ενθυμητικόν της ψυχής, όταν ερεθίζεται συχνότερα, γεννά μέσα εις αυτην συνήθειαν φιληδονίας, δυσκολονίκητον· ο θυμός, πάλιν, με το να ταράσσεται

συνεχώς, κάνει την ψυχήν δειλήν και άνανδρον. Θεραπεύονται δε η μεν συνήθεια της φιληδονίας με εντατικής άσκησιν, νηστείαν, αγρυπίαν και προσευχήν, ο δε θυμός με καλωσύνην, φιλανθρωπίαν, αγάπης και ευσπλαγχνίαν.

Ζ'. Εν τω Γεροντικώ

ΕΙΠΕ γέρων, ὅτι τὰ πάθη, καὶ περικείμεθα οἱ ἄνθρωποι παρὰ φύσιν, οἱ Ἕλληνες ἐθεοποίησαν καὶ προσεκύνουν αὐτούς, τοὺς δὲ μὴ προσκυνεῖν θέλοντας ἔβασανιζον καὶ ἐφόνευον, καὶ μάρτυρας, ὡς οὐκ ἤθελον, ἀπετέλουν. Καὶ ἡμεῖς οὖν εἰ τοὺς πάθεσιν ὑποκύπτομεν, εἰδωλολατρῶν οὐδὲν διαφέρομεν καὶ γὰρ ὀργὴ καὶ θυμῶ ἥττωμενος καὶ δουλεύων καὶ μὴ ἐκκόπτων ἀφ' ἑαυτοῦ τὴν τοῦ πάθους τούτου μανίαν, ἀρνεῖται τὸν Ἰησοῦν, καὶ τὸν "Ἄρεα θεὸν ἐν ἑαυτῷ ἔχει καὶ προσκυνεῖ τῷ τῆς μαγίας εἰδώλω ὁμοίως τοϊς Ἕλλησιν.

Καὶ ὁ φιλάργυρος δὲ καὶ κλείων τὰ σπλάγχνα αὐτοῦ ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ μὴ ἐλεῶν τὸν πλησίον αὐτοῦ, εἰδωλολάτρης ὁμοίως ἐστι, τὸ τοῦ "Ἑρμοῦ τιμῶν εἴδωλον καὶ λατρεύων τὴ κτίσει παρὰ τὸν κτίσαντα. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ἄλλων παθῶν, ὧ ἕκαστος ἥττηται, τούτω καὶ δεδούλωται, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, δς δευτέραν εἰδωλολατρείαν τὴν φιλαργυρίαν ἐκάλεσεν. Ὁ δὲ ταῦτα νικήσας καὶ ἀφ' ἑαυτοῦ ἀπελάσας, ἢ ἐγκρατευόμενος ἀπ' αὐτῶν, οὗτος ἐπάτησε τὰ εἴδωλα καὶ ἠρνήσατο τὴν δεισιδαιμονίαν, καὶ γέγονε μάρτυς ἀναίμακτος, τὴν καλὴν δμολογήσας ὁμολογίαν.

2. Ἔλεγες καὶ μακάριος Ζωσιμᾶς, ὅτι ἡ ἀρχὴ τοῦ κρατῆσαι θυμοῦ ἐστὶ τὸ ταράττεσθαι καὶ μὴ λαλεῖν, ἐξ οὐ ἔρχεται τὶς, χάριτι Θεοῦ, καὶ εἰς τὸ μηδόλως ταράττεσθαι. Καὶ γὰρ καὶ ὁ ἀββᾶς Μωϋσῆς, τὰ μὲν πρῶτα ὅτε ἐξουδενώθη παρὰ τῶν Πατέρων εἰπόντων πρὸς αὐτόν, «τί καὶ ὁ αἰθίοψ οὗτος ἔρχεται ἐν μέσῳ ἡμῶν», ἔταραχθη ἀλλ' οὐκ ἐλάλησεν, ὡς αὐτὸς ἔφη πρὸς αὐτοὺς ἔρωτησαντας ἔπειτα δὲ ὑπὸ τῶν κληρικῶν ὑβρισθεῖς καὶ τοῦ ἱερατείου ἐκδιωχθεῖς, οὐ μόνον οὐκ ἐταράχθη, ἀλλὰ καὶ ἑαυτὸν ἐπέπληξε λέγων· «σποδόδερμε, μελανέ, καλῶς σοὶ ἐποίησαν μὴ ὢν ἄνθρωπος, τί ἔρχει ἐν μέσῳ ἀνθρώπων»;

Ἀλλ' ἡμεῖς κάτω πολὺ καὶ τῶν ἀρχαρίων ὄντες διὰ τὴν πολλὴν ἡμῶν ἀμέλειαν, νομίζομεν ὑπέρογκα καὶ ἀδύνατα εἶναι τὰ ἐπιτάγματα, λέγοντες ἀνένδεκτος εἶναι τινὰ μηδόλως ταράττεσθαι, καὶ οὐκ ἀκούομεν τοῦ Προφήτου λέγοντος, «ἤτιμασθην καὶ οὐκ ἐταράχθην» οὐδὲ ζητοῦμεν βαλεῖν ἀρχὴν βεβαίαν, γενναίαν προαίρεσιν καὶ μεγαλόψυχον ἐπιδείξασθαι, ἵνα καὶ τὴν τοῦ Θεοῦ χάριν ἀναλόγως ἐπισπασώμεθα, δὶ' ἧς καὶ τὰ λίαν δοκούντα δυσχερῆ, εὐχερῆ πάνυ καὶ εὐκατόρθωτα ἡμὶν γίνεται.

ΥΠΟΘΕΣΙΣ ΛΕ΄ (Ο θυμός, η γέννησίς του και η θεραπεία του)

Ποτὲ οὖν συγκαθημένου μου τὰ μακαρίω Σεργίω τῷ ἐν τῇ Πεδιάδι ἡγουμενω, καὶ ἀναγινώσκοντος τῆς Παροιμίας, ὡς ἦλθον εἰς τὸ ρητὸν ἐκεῖνο τὸ λέγον, «ἐν πολλοῖς ξύλοις θάλλει πῦρ, ὅπου δὲ οὐκ ἔστι δίθυμος ἡσυχάζει μάχη», ἠρωτησα τὸν μακάριον Σέργιον ἐρμηνεύσαι μοὶ τὸ ρητόν. Καὶ ἀποκριθεῖς εἶπεν ὡς πὲρ τὰ ξύλα αἴτια εἰσι τῆς φλογὸς τοῦ πυρός, καὶ ἐὰν μὴ ἐπαρκέση τὶς ταῦτα σβέννυται τὸ πῦρ, οὕτω καὶ ἐπὶ τῶν παθῶν εἰσὶ τινὰ αἴτια, ἅτινα, εἰ ἐκκόψει τὶς, οὐκ ἐνεργούσι τὰ πάθη. Οἷον τῆς ὀργῆς αἴτια εἰσι τὸ δοῦναι καὶ λαβεῖν, καὶ τὸ θέλεις ποιῆσαι τὸ ἴδιον θέλημα, καὶ τὸ ἀγαπᾶν διδάσκειν καὶ φαίνεσθαι παρὰ τοὺς ἀνθρώπους, καὶ τὸ νομίζειν ἑαυτὸν φρόνιμος εἶναι.
.

Ὁ Ταῦτα εἰ ἐκκόψει τὶς ἀτονεῖ τὸ τοῦ θυμοῦ πάθος, καὶ τοῦτο ἐστιν καὶ εἶπεν ὁ ἀββᾶς Σισώης ἐρωτηθεῖς παρὰ τινὸς ἀδελφοῦ, διατὶ τὰ πάθη οὐκ ἀναχωρούσιν ἀπ' ἐμοῦ; Καὶ ἀπεκρίθη τὰ σκεύη αὐτῶν, ἤγουν τὰ αἴτια, ἔνδοθέν σου εἰσὶ δὸς αὐτοῖς τὸν ἀρραβῶνα αὐτῶν καὶ ὑπάγουσιν. Ὁ δὲ δίθυμος, ἐν ᾧ οὐχ ἡσυχάζει μάχη, ἐκεῖνος ἔστιν ὁ μὴ ἀρκούμενος τὴ πρώτη ταραχή, ἀλλ' ἐρεθίζων ἑαυτὸν εἷς δεύτερον θυμόν, οἷον ἐὰν τὶς ἐξαφθῆ εἰς θυμὸν καὶ εὐθὺς ἔλθη εἰς ἑαυτόν, καὶ καταγνῶ ἑαυτοῦ, καὶ ἀπελθῶν μετανοήση τῷ ἀδελφῷ εἰς δν ἐθυμώθη, οὗτος οὐ λέγεται δίθυμος. Ἐν τούτῳ ἡσυχάζει μάχη, καὶ ἐν τῷ παρόντι διὰ τῆς μετανοίας τὴν πρὸς τὸν ἀδελφὸν φιλίαν μὴ λύσαντι, καὶ εἰς τὸ ἑξῆς εἰς γαλήνιον καὶ ἀτάραχον ἐκ τῆς ἔργασιας ταύτης ἔρχομενη κατάστασιν.

Ὁ δὲ θυμωθεῖς καὶ μὴ καταγνοὺς ἑαυτοῦ, ἀλλὰ μᾶλλον ἐρεθίζων ἑαυτὸν εἷς θυμὸν καὶ μεταμελόμενος, οὐχ ὅτι οὐκ ἐλάλησε πλείονα, ὧν εἶπεν ἐν τῇ ταραχῇ αὐτοῦ, οὗτος λέγεται δίθυμος. Καὶ ἐν τούτῳ οὐδέποτε ἡσυχάζει μάχη, ἀλλὰ καὶ ἐν τῷ ἐνεστώτι διαδέχεται τὴν ταραχὴν τῆς καρδίας αὐτοῦ μνησικακία, καὶ λύπη, καὶ πονηρία, καὶ ἐν τῷ μετὰ ταῦτα δὲ ἡ μάχη καὶ ἡ ταραχὴ τοῦ θυμοῦ ἐπὶ πλεῖον ἐν αὐτὸ αὐξάνει τὲ καὶ πληθύνεται. Ἐνεργουμένη γὰρ προσθήκην ἀεὶ λαμβάνει, ἕως οὐ τελείως αὐτοῦ κατακυριεύσασα ἐνέγκη τὸν ἄθλιον εἰς κατάστασιν δαίμονος ἀλλὰ λυτρώσεται ἡμᾶς τῆς τῶν τοιούτων μερίδος Ἰησοῦς Χριστὸς καὶ ἀγαθὸς δεσπότης ἡμῶν καὶ Κύριος.

3. Ἔλεγεν ὁ αὐτός, ὅτι πολλῆς ἡμὶν χρεία νήψεως καὶ φρονήσεως πρὸς τὰς ποικίλας μεθοδείας τοῦ διαβόλου ἔστι γὰρ ὅτε ἐκ τοῦ μηδενὸς ποιεῖ τινὰ ταραχθῆναι, ἔστι δὲ ὅτε φέρει εὔλογον πρόφασιν ἵνα δόξη τὶς ὅτι δικαίως ἐθυμώθη, καὶ τοῦτο δὲ τῆς αὐτοῦ μισανθρωπίας ὑποβολή. Τὸ γὰρ ἐν ἀληθεῖᾳ ποθούντι τὴν ὁδὸν τῶν ἁγίων ὁδεύσαι ἀλλότριον παντάπασι τὸ θυμούσθαι πρὸς ἄνθρωπον, ὡς φησιν καὶ μέγας Μακάριος ξένον ἀδελφοῖς τὸ ὀργίζεσθαι ἢ παροργίζειν τινά.

4. Εἶπεν ὁ 'Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι διερχόμενος πότε τὴν ὁδὸν τῆς σκήτεως μετὰ τοῦ καμηλίτου, φέροντός μου τὰ σκεύη ἐπὶ τῆς καμήλου, ὡς εἶδος αὐτὸν λαλοῦντα καὶ κινοῦντα μὲ εἷς ὀργήν, ἐάσας τὰ σκεύη ἔφυγον.

5. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος ὁ μὴ κρατῶν γλώσσης αὐτοῦ ἐν καιρῷ ὀργῆς, οὐδὲ παθῶν κρατήσει καὶ τοιοῦτος.

6. Εἶπεν ὁ ἀββᾶς Ἀμμωνᾶς, ὅτι δεκατέσσαρα ἔτη ἐποίησα ἐν σκήτει δεόμενος τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας, ἵνα μου χαρίσηται νικῆσαι τὴν ὀργήν.

7. Ἠρωτήθη γέρων τί ἐστιν ὀργῆς καὶ ἀπεκρίθη ἔρις, καὶ ψεῦδος, καὶ ἀγνωσία.

8. Θυμὸς ἀνδρὶ βόθυνος αὐτῷ, καὶ ὁ ὑπερβαίνων θυμὸν ὑπερέβη βόθυνον. Μακάριος ἀνὴρ ὃς ἐν πραότητι εἵλκυσε τὸν ζυγὸν τοῦ δεσπότου Χριστοῦ ἕως τέλους, ὁ δὲ ὑπερήφανος πληθύνει ταραχὲς καὶ ἔχθρας ἑαυτό. Ἀνὴρ θυμώδης καὶ κραυγάρης πολυόρκος ἔσται, καὶ δὲ ἡσυχάζων συνετὸς θυμὸς δὲ ἐστι πάθος ἀναιδὲς καὶ ἀναίσχυντον, δν διαδέχεται λύπη καὶ μεταμέλος, λύπη δὲ κατεσθίει τὴν καρδίαν τοῦ ἐμπεσόντος ἐν αὐτῇ.

Ερμηνεία

ΕΝΑΣ Γέρων είπε: Οτι τα πάθη τα οποία, παρά το έμφυτον αυτου, αποκτά ο άνθρωπος, οι αρχαίοι Έλληνες τα έθεοποίησαν και τα έπροσκυνούσαν. εκείνους δε που δεν ήθελαν να τα προσκυνήσουν τους έβασάνιζαν, τους εφόνευαν καί, χωρίς να το θέλουν, τους έκαναν μάρτυρας. Και ημείς λοιπόν, αν υποκύπτωμεν εις τα πάθη, δεν διαφέρομεν εις τίποτα από τους ειδωλολάτρας. Διότι εκείνος που νικάται από τον θυμόν και την οργήν και έχει υποδουλωθή εις αυτά τα πάθη και δεν προσπαθεί μόνος του να αποκόψη την μανίαν του πάθους αυτού, αρνείται τον Ιησούν και έχει μέσα του ως Θεόν τον Αρην και προσκυνεί το είδωλον της μανίας, όπως και οι αρχαίοι Έλληνες.

Και ο φιλάργυρος που δεν ευσπλαγχνίζεται τον αδελφός του και δεν δίδει ελεημοσύνην εις τον πλησίον του, είναι, επίσης, ειδωλολάτρης, που τιμά το είδωλον του Ερμού και λατρεύει την κτίσιν, αντί του Κτίστου. Το ίδιον ισχύει και διά τα άλλα πάθη, από όποιον πάθος έχει νικηθη κανείς, εις αυτό και έχει υποδουλωθή (Β' Πετρ. β', 19), σύμφωνα και με τα λόγια του Αποστόλου, που απεκάλεσε την φιλαργυρίαν δευτέραν ειδωλολατρίαν. Εκείνος όμως, που ενίκησε τα πάθη και τα εξεδίωξεν από μέσα του, ή εγκρατεύεται από αυτά, αυτός κατεπάτησε τα είδωλα, ηρνήθη την δεισιδαιμονίαν και έγινε μάρτυς, χωρίς να χύση αίμα, διότι έδωσε την καλήν ομολογίαν.

2. Ο μακάριος Ζωσιμάς έλεγεν, ότι η αρχή να επιβληθή κανείς εις τον θυμόν είναι το να ταράσσεται και να μη ομιλής από αυτό φθάνει με την χάριν του Θεού εις την τελείαν αταραξίαν. Και ο Αββάς Μωϋσης – συνέχισε να λέγη – όταν, κατ' αρχήν

εταπεινώθη από τους Πατέρας, οι οποίοι του είπαν: τι θέλει και αυτός ο αράπης, και έρχεται μαζί μας; εταράχθη αλλά δεν ωμίλησεν, όπως ο ίδιος είπε προς αυτούς, όταν τον ρώτησαν: μετά, όταν βρίσθη από τους κληρικούς και εξεδιώχθη από το Ιερατείον, όχι μόνον δεν εταράχθη, αλλά επέπληξε και τον εαυτόν του σταχτόδερμε, μαύρε – έλεγε – καλά σου έκαναν αφού δεν είσαι άνθρωπος, τί έρχεσαι με τους ανθρώπους;

Αλλ' ημείς, επειδή ευρισκόμεθα πιό κάτω και από αυτούς τους αρχαρίους εξ αιτίας της πολλής μας αμελείας, νομίζομεν ότι είναι υπερβολικά και αδύνατα τα προστασσόμενα. Δεν είναι δυνατόν, λέγομεν, να μη ταράσσεται καθόλου κανείς, και δεν ακούομεν τον Προφήτην, που λέγει: «Προητοιμάσθην καταλλήλως και δεν ησθάνθην κλονισμόν τινα και ταραχήν διά την φύλαξιν του νόμου Σου» (Ψαλμ. ριη', 60),ούτε φροντίζομεν να κάμωμεν αποφασιστικής αρχήν και να δείξωμεν γενναίαν και μεγαλόψυχον απόφασιν, διά να επισύρωμεν ανάλογα και την χάριν του Θεού, με την οποίαν και εκείνα που φαίνονται πάρα πολύ δύσκολα, θα μας γίνουν πολύ εύκολα και εύκολοκατόρθωτα.

Κάποτε έκαθήμην μαζί με τον μακάριον Σέργιον, τον Ηγούμενον της Πεδιάδος καθώς λοιπόν εδιάβαζα τας Παροιμίας, μόλις έφθασα εις το ρητόν που λέγει: «με τα πολλά ξύλα δυναμώνει η φωτιά, όπου δε δεν υπάρχει φιλόνικος άνθρωπος, δεν υπάρχει διαμάχη» (Παροιμ. κστ', 20), παρεκάλεσα τον μακάριον Σέργιον να μου ερμηνεύση το ρητόν. Εκείνος, είς απάντησιν, μου είπεν: «όπως τα ξύλα είναι αιτία να φουντώνη η φωτιά, και αν δεν ρίψωμεν αρκετά σβύνει, έτσι συμβαίνει και με τα πάθη, υπάρχουν δηλαδή μερικά αίτια, που αν τα κόψη κανείς, τα πάθη πλέον δεν ενεργούν όπως παραδείγματος χάριν, αίτια της όργής είναι, το πάρε – δώσε, το να θέλη κανείς να κάνη το θέλημά του, το να του αρέση να διδάσκη και να επιδεικνύεται εις τους ανθρώπους και το να θεωρεί τον εαυτόν του συνετόν και φρόνιμον.

Αν τα αποκόψη κανείς αυτά, εξασθενίζει το πάθος του θυμού. Αυτό είναι, εκείνο που εννοούσεν ο Αββάς Σισώης, όταν ήρωτήθη από κάποιον αδελφόν: «διατί δεν φεύγουν τα πάθη από επάνω μου;» Και απήντησε: τα αντικείμενα αυτών, δηλαδή τα αίτια, υπάρχουν μέσα σου: δώσε εις τα πάθη αυτά την προίκα των (τα αίτια που τα προκαλούν) και αναχωρούν. Ο δε φιλόνικος, εντός του οποίου δεν σταματά η διαμάχη, είναι εκείνος που δεν αρκείται εις την πρώτην ταραχήν, αλλ' ερεθίζει τον εαυτόν του να θυμώση και διά δευτέραν φοράν. Συγκεκριμένα, αν κάποιος θυμώση και αμέσως συνέλθη, αναγνωρίση δε το σφάλμα του και βάλη μετάνοιαν εις τον αδελφόν εναντίον του οποίου εθύμωσεν, αυτός δεν λέγεται φιλόνικος. Εις την ψυχήν

του ανθρώπου αυτού ησυχάζει κάθε διαμάχη και τώρα, αφού με την μετάνοιαν που έβαλεν εις τον αδελφόν, δεν κατήργησε την φιλίαν, αλλά και εις το μέλλον, αφού, με την ενέργειαν της μετανοίας, φθάνη εις κατάστασιν γαλήνης και αταραξίας.

Εκείνος όμως που εθύμωσε και δεν ανεγνώρισε το σφάλμα του, αλλά και σφοδρότερον θυμώνει, διότι μετανοεί, επειδή δεν είπε περισσότερα από όσα είπεν επάνω εις την ταραχήν του, αυτός λέγεται φιλόνικος. Εις την ψυχήν αυτού ουδέποτε ήσυχάζει η διαμάχην και κατά την στιγμήν της διαμάχης την ταραχήν της καρδίας του διαδέχεται μνησικακία και λύπη και πονηρία, αλλά και μετά ταύτα μεγαλώνει μέσα του και πληθαίνει η μάχη και η ταραχή του θυμού. Έρεθίζεται δηλαδή η διαμάχη και παίρνει πάντοτε διαστάσεις, μέχρις ότου τον κατακυριεύση τελείως και τον καταντήση τον άθλιον σωστόν δαίμονα. Αλλ' είθε να μάς λυτρώση από την κατηγορίας των ανθρώπων αυτών ο Ιησούς Χριστός και καλός μας Δεσπότης και Κύριος.

3. Ο ίδιος έλεγεν έχομεν ανάγκην από πολλήν προσευχήν και σύνεσιν, δια να αντικρούσωμεν τας διαφόρους μηχανές του διαβόλου· διότι είναι δυνατόν από το τίποτε να κάμη κάποιον να ταραχθή, άλλοτε, πάλιν, του φέρνει εύλογον δικαιολογίαν, διά νά νομίση, ότι σωστά εθύμωσεν: και όλα αυτά τα υποβάλλει μέσα εις την ψυχήν από το μίσος του εναντίον του ανθρώπου. Διότι δι' εκείνον που πραγματικά επιθυμεί να βαδίση τον δρόμον των Αγίων, είναι τελείως ξένον το να θυμώνη εναντίον ανθρώπου. Όπως λέγει και ο Μέγας Μακάριος είναι αταίριαστον δια τους αδελφούς το να οργίζωνται ή να εξοργίζουν άλλον.

4. Ο Αββάς Ιωάννης ο Κολοβός είπεν: Εβάδιζα κάποτε τον (δρόμος προς την σκήτης μαζί με τον καμηλιέρης, που μετέφερε τα πράγματά μου επάνω εις την καμήλαν μόλις λοιπόν τον είδα να ομιλή και να κινή μέσα μου οργήν, του άφησα τα σκεύη και έφυγα,

5. Ο Αββάς Υπερέχιος είπεν· εκείνος που δεν συγκρατεί την γλώσσας του, κατά την ώραν της οργής, αυτός ούτε εις τα πάθη του θα ήμπορέση να επιβληθή.

6. Ο Αββάς Αμμωνάς είπε: Δεκατέσσαρα έτη έκαμα εις την σκήτην, και έπαρακαλούσα τον Θεόν, νύκτα και ημέραν, να μου δώση την χάριν να νικήσω την οργήν.

7. Ήρώτησαν ένα Γέροντα τι είναι οργή; Και εκείνος απήντησε: φιλονικία και ψεύδος και άγνωσία.

8 Ο θυμός είναι δια τον άνθρωπον ένας λάκκος εκείνος που νικα τον θυμόν επήδησε τον λάκκον. Μακάριος ο άνθρωπος, ο οποίος με πραότητα έσυρε τον ζυγόν του Δεσπότου Χριστού μέχρι τέλους, ενώ ο υπερήφανος αυξάνει τας ταραχές και τας έχθρας εναντίον του. Ο άνθρωπος, ο οποίος θυμώνει και είναι φωνακλάς, θα κάμη πολλούς όρκους, ενώ εκείνος που ησυχάζει είναι συνετός. Ο θυμός είναι ένα πάθος αναίσχυντον και αδιάντροπος, που το διαδέχεται λύπη και μεταμέλεια: η λύπη κατατρώγει την καρδίαν εκείνου που έπεσεν εις αυτήν.

Η'. Του Αββά Ισαάκ

ΑΝΘΡΩΠΟΣ ζηλωτὴς οὐδέποτε φθάγει εἰς τὴν εἰρήνην τῆς διανοίας, ὁ δὲ ἀλλότριος της εἰρήνης, ἀλλότριός ἐστι τῆς χαρᾶς. Ἡ μὲν εἰρήνη τῆς διανοίας ὑγεία τελεία καί ἐστι καὶ λέγεται, ὁ δὲ ζῆλος ἐναντίος πέφυκε τῆς εἰρήνης οὐκοῦν ὁ ἔχων αὐτὸν μεγάλην νόσον νοσεῖ. Ἄνθρωπε, οὐκ ἔστι καλὸν οὐδὲ συμφέρον τὸ θέλεις ἄλλοις μὲν βοηθεῖν, ἑαυτὸν δὲ ἐμβάλλειν εἰς μέγαν κίνδυνον. Ὁ ζῆλος οὐκ ἐκ τῶν εἰδῶν τῆς σοφίας ἐστίν, ἀλλ' ἐκ τῶν νοσημάτων τῆς ψυχῆς φρονήματος γὰρ στένωσις καὶ βραχύτης, πολλὴν τὴν ἄγνοιαν ἔχουσα. Εἰ ἐπιθυμεῖς τοὺς ἀσθενεῖς ἰατρεύειν, γνώθι ὅτι οἱ ἄρρωστοι, ἐλέους καὶ ἐπιμελείας χρήζουσιν, οὐκ ἐπιτιμίου. Ὑμεῖς γὰρ φησιν οἱ δυνατοὶ ὀφείλετε τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν" καὶ πάλιν τὸν πταίοντα διορθούσθαι οὐκ ἐν ὀργῇ, ἀλλ' ἐν πνεύματι πραότητος καὶ αὐτὸς ἐπιτρέπει.

Ερμηνεία

ΑΝΘΡΩΠΟΣ ζηλότυπος ποτέ δεν κατορθώνει να έχη ειρηνικάς σκέψεις εκείνος δε που είναι ξένος προς την ειρήνην, έχει αποξενωθή και από την χαράν. Η ειρήνη της διανοίας είναι και λέγεται τελεία υγεία, η δε ζηλοτυπία είναι εκ φύσεως αντίθετος προς την ειρήνην. Εκείνος λοιπόν που έχει ζηλοτυπίαν, πάσχει από μεγάλην νόσον. Ανθρωπε, δεν είναι καλόν ούτε συμφέρον το να θέλης να βοηθής άλλους και να εκθέτης τον εαυτόν σου εις μεγάλος κίνδυνον. Η ζηλοτυπία δεν είναι είδος σοφίας, αλλά νόσημα της ψυχής είναι πνεύμα στενόν και περιωρισμένον, που οφείλεται εις την πολλήν άγνοιαν.

Αν θέλης να λατρεύσης τους ασθενείς, μάθε ότι οι άρρωστοι έχουν ανάγκην από ευσπλαγχνίαν και φροντίδα και όχι από επίπληξιν. Διότι λέγει: Σείς οι δυνατοί έχετε υποχρέωσιν να ανέχεσθε τα ασθενήματα των αδυνάτων (Ρωμ. ιε', 1). Και πάλιν ο ίδιος

Απόστολος συμβουλεύει: Αυτόν που πταίει να τον διορθώνετε όχι με οργήν αλλά με πραότητα (Γαλατ. στ', 1 και Φιλιπ. β', 2-4).

ΥΠΟΘΕΣΙΣ ΛΣΤ΄
(Ταραχή εναντίον του αδικούντος)

Ὅτι τοῖς ἐφιεμένοις τῆς τελειότητος, καὶ τὸ ταραχθῆναι ἡ ὅλως τὴν καρδίαν πρὸς τὸν ἀδικοῦντα ἢ ὑβρίζοντα οὐκ ἀνεύθυνον φαίνεται.

Δι' εκείνους, οι οποίοι επιθυμούν την τελειότητα και το να ταραχθή κάπως η καρδία των εναντίον του αδικούντος ή του υβρίζοντος, δεν φαίνεται να είναι χωρίς ευθύνην.

Α'. Εν τω βίω του Αγίου Παχωμίου

ΑΚΟΥΣΑΣ τὰ κατὰ τὸν Παχώμιον καὶ κατὰ σάρκα αὐτοῦ ἀδελφὸς Ἰωάννης, ἦκεν ἐπιζητῶν αὐτὸν ἐκεῖσε. Ἰδὼν δὲ αὐτόν, ἀσπασάμενος λίαν ἐχάρη ἀφ' οὐ γὰρ βαπτισθεῖς τὴ Χριστῷ συνετάξατο καὶ τὸν μονήρη εἵλετο βίον, οὐδέποτε παρεγένετο πρὸς τοὺς ἰδίους. Ἐσχηκότος δὲ καὶ τοῦ Ἰωάννου τὸν αὐτὸν τῷ Παχωμίῳ σκοπόν, ἔμειναν ἀμφότεροι ἐπὶ τὸ αὐτό, τὸν μὲν νόμον τοῦ Θεοῦ διὰ παντὸς μελετῶντες, τῶν δὲ ἐπὶ γῆς ἁπάντων οὐδένα λόγον ποιούμενοι.

Καὶ ὁ Πέτρος ἔφη Οὐκοῦν δέον ἐστὶ τὸν ἀρετῆς ὅλως ἀντιποιούμενον, ὡς ὁ Χριστὸς εἴρηκε, καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν, ἔτι μὴν καὶ ὑπὲρ αὐτῶν εὔχεσθαι, καὶ τοὺς λοιδοροῦντας εὐλογεῖν, καὶ τοὺς ἐπηρεάζουσι συγχωρεῖν. Οὕτω γὰρ ἀκριβὴς ἔσται φύλαξ τῶν ἐντολῶν καὶ τὰ ἁμαρτήματα πάντα διὰ τῆς εἰς τὸν πλησίον ἀγάπης συγχωρηθεῖς ἀπελεύσεται. Ἐὰν γὰρ πληροφορηθῇ τὶς ὅτι οἱ ἐχθροὶ πρὸς καιρὸς κακουχοῦντες οὗς μισούσιν, αἰωνίου κολάσεως ἀπαλλαγῆς αὐτοῖς αἴτιοι γίνονται, ὡς εὐεργέτας αὐτοὺς ἀγαπήσει. "Ἄλλως δὲ ἀδύνατον τινὰ τὴν τοιαύτην ἐντολὴν κατορθώσαι, εἰ μὴ σφόδρα τὸν Θεὸν ἀγαπῶν εἴη, τῷ τούτου φόβω παιδαγωγηθεῖς πρότερον. Φησὶ γὰρ ἀρχὴ σοφίας φόβος Κυρίου. Τὸ ἐκείνου οὖν φόβω στοιχειωθεῖς τὶς, εἷς ἀγάπην ἥξει πάντως, καὶ οὕτως ἔξει τὸν πλησίον ὡς ἑαυτόν. Εἶπε γὰρ μοί, οὐ δοκεῖ σοὶ δύο ἐχθρῶν βασιλέων ὄντων, καὶ διηρημένας τὰ χώρας ἐχόντων, εἰ τὶς ἐκ τῶν τοῦ ἑνὸς ὑπηκόων ἐν τῇ τοῦ ἑτέρου χώρα φωραθείη θάνατος ὀφείλει, ἐὰν ραπίσματα καὶ μὴ θανάτω τῆς τιμωρίας ἀπολυθῇ, οὐ φαίνεται καὶ ἀπολύσας φιλάνθρωπος εἶναι καὶ

Κάγω ἔφην· Καὶ πάνυ.

Καὶ ὁ Πέτρος Τί δὲ εἰ καὶ ἴδιον τινὸς αὐτὸς οὗτος ἀφέληται, ἢ καὶ ἀλλότριον, καὶ ἐπὶ τούτω συλληφθεῖς ἐν ᾗ διπλάσιον δῶ, τετραπλάσιον ὄφειλων, καὶ τὸ θανεῖν ὡς ἐν τοῖς τοῦ ἐναντίου ἄλους ὅροις, οὐ δοκεῖ σοὶ ὅτι λαβῶν τὸ διπλάσιον καὶ θανάτου αὐτὸν ἀπολύσας φιλάνθρωπος τυγχάνει;

Καγῶ ἔφην· Νῦν μὲ πέπεικας, ὅτι οἱ ἀδικοῦντες αὐτοὶ ἀδικοῦνται, οἱ δὲ ἀδικούμενοι μᾶλλον πλεονεκτοῦσε καὶ διὰ τοῦτο ἄδικωτατον μοὶ φαίνεται τὸ γινόμενον ὅτι οἱ μὲν δοκοῦντες ἀδικεῖν ἑαυτοὺς ἔβλαψαν μᾶλλον, τοῖς δὲ ἀδικηθείσιν ἐπορίσαντο τὴν ὠφέλειαν" οἱ δὲ δοκοῦντες ἀδικείσθαι, αὐτοὶ μᾶλλον ἀδικούσιν" ὅτι καὶ τί παρ' ἐκείνων ὠφεληθέντες, τοὺς ὁμοίοις αὐτοῖς οὐκ ἀμείβονται.

Καὶ ὁ Πέτρος Ἀλλ' οὖ παρὰ τὴν τῶν ἐπηρεαζόντων, ἀλλὰ παρὰ τὴν τῶν δεχομένων ταῦτα γνώμην.

Ἐπαινέσας οὖν ἐγὼ τὰ εἰρημένα, πρὸς τὸν Πέτρον ἔφην "Ἀλλ' ὦ, Κύριέ μου, καὶ τοῦτον μοὶ τὸν λόγον σαφήνισον, δν προλαβῶν εἶπας ὅτι τὰ ἀδικήματα καὶ τὰ πάθη πρὸς ἄφεσιν ἁμαρτιῶν πάσχομεν.

Καὶ ὁ Πέτρος Οὕτως ἐστὶν γὰρ οἱ ἄνθρωποι κτώμεθα τοῦ πλείονος ὀρεγόμενοι, εἴτε ἱμάτια φημί, εἴτε βρώματα, εἴτε ἄλλα τινά, οὐ καλῶς πάντως ποιούντες κτώμεθα, διὰ τὸ

δεῖν μηδὲν ἔχειν, εἰ πὲρ τὶς ζῆν ἐθέλοι δικαίως. Εἰ γὰρ ἐν πάσι τὰ κτήματα προξενεῖν οἶδε τοῖς ἔχουσιν ἁμαρτήματα, καὶ τούτων ὅπως ποτὲ στέρησις ἁμαρτιῶν ἔστιν ἀφαίρεσις, διὸ ἐξ ὑπερβαλλούσης Θεοῦ φιλανθρωπίας ἐπάγονται παιδείαι τοῖς μὴ κατὰ τὸ δοκοῦν Θεὸ πολιτευομένοις, ἵνα διὰ τὸ ποσῶς φιλόθεον προσκαίρους ὑπομένοντες τιμωρίας, αἰωνίων ἀπαλλαγῶσι κολάσεων.

Ερμηνεία

ΕΓΩ ο Κλήμης είχα ακόμη ώρισμένας απορίας διά το ζήτημα της φιλανθρωπίας επειδή λοιπόν έζητούσα να μάθω με ποίας πράξεις ήμπορεί να είναι κανείς φιλάνθρωπος, ηρώτησα τον Πέτρον και εκείνος μου απήντησε:

– Φιλάνθρωπος είναι εκείνος, που και στους εχθρούς του συμπεριφέρεται με ημερότητα, και τους ευεργετεί. Η φιλανθρωπία δηλαδή, καθώς νομίζω, αποτελείται από δύο μέρη: το ένα είναι η ελεημοσύνη και το άλλο είναι η αγάπη προς τον πλησίον. Δια τον άνθρωπον δε πλησίον είναι ο κάθε άνθρωπος. Διότι άνθρωπος είναι και ο καλός και ο κακός: και ο εχθρός και ο φίλος. Εκείνος λοιπόν που ασκεί την φιλανθρωπίαν, πρέπει να γίνεται μιμητής του Θεού, ο οποίος ευεργετεί και τους δικαίους και τους αδίκους· διότι ένας Θεός υπάρχει εις τον κόσμον αυτόν, και Αύτος χορηγεί εις όλους και τον ήλιον και τάς βροχές Του. "Αν θέλης να ευεργετης τους καλούς και να τιμωρής τους κακούς, προσπαθείς να γίνης κριτής.

-"Αραγε – είπα τότε εγώ, - ο Θεός, ο οποίος πρόκειται να κρίνη κατά την Δευτέραν παρουσίας δεν είναι φιλάνθρωπος;

- Το αντίθετον λέγεις, απήντησεν ο Πέτρος. Επειδή ακριβώς είναι φιλάνθρωπος, δι' αυτό κρίνει. Από αγάπης και ευσπλαγχνίαν προς τους αδικημένους, τιμωρεί εκείνους οι οποίοι τους ήδίκησαν.

– Και εγώ λοιπόν, είπα, αν ευεργετώ τους καλούς, τιμωρώ δε τους αδικούντας, διότι ήδίκησαν συνανθρώπους των, είμαι φιλάνθρωπος.

Ο Πέτρος τότε απεκρίθη:

-Αν μαζί με το χάρισμα να προβλέπης, σού εδίδετο και η εξουσία να κρίνης, θα έκανες σωστά το έργον του κρατούν να καταδικάζης δηλαδή επειδή έλαβες εξουσίαν.

– Σωστά και αληθινά απήντησες, είπα εγώ: διότι δεν ήμπορεί κανείς χωρίς το προορατικόν χάρισμα, να κρίνη ορθά, επειδή, συνήθως, φαίνονται μερικοί ότι είναι καλοί, ενώ κρυφά διαπράττουν αθέμιτα έργα: απεναντίας πάλιν, υπάρχουν άνθρωποι

καλοί, οι οποίοι έχουν συκοφαντηθή από εχθρούς και θεωρούνται κακοί. Αλλ' αν ακόμη κανείς έχη εξουσίας και να βασανίζη και να ανακρίνη, και πάλιν τότε δεν θα δικάση οπωσδήποτε δίκαια· διότι μερικοί ενώ πράγματι είναι φονείς, επειδή μετά άντεξαν εις τα βασανιστήρια, αφέθησαν ως αθώοι άλλοι πάλιν, οι οποίοι έτυχε να είναι αθώοι, επειδή δεν υπέμειναν τα βασανιστήρια, κατηγόρησαν ψευδώς τους εαυτούς των και ετιμωρήθησαν ως ένοχοι.

Και ο Πέτρος είπεν: Είναι ανάγκη λοιπόν εκείνος που θέλει να είναι ενάρετος, όπως είπεν ο Χριστός, και τους εχθρούς να αγαπά, ακόμη και να εύχεται υπέρ αυτών και να συγχωρή εκείνους που τον ενοχλούν (Ματθ. ε', 44). Διότι έτσι θα αποβή πιστός τηρητής των εντολών και θα απέλθη από τον κόσμον αυτόν, αφού προηγουμένως του συγχωρηθούν όλα του τα αμαρτήματα, επειδή ηγάπησε τον πλησίον του. Αν δηλαδή πληροφορηθή κανείς ότι οι εχθροί, οι οποίοι βασανίζουν προσωρινά εκείνους που μισούν, γίνονται αίτιοι να απαλλαγούν αυτοί που βασανίζονται από την αιώνιον κόλασιν, τότε θα τους αγαπήση ως ευεργέτας του. Διαφορετικά είναι αδύνατον να κατορθώση κανεις μίαν τέτοιαν εντολήν, αν δεν αγαπά πάρα πολύ τον Θεόν και δεν έχη προηγουμένως παιδαγωγηθή από τον φόβον Του. Διότι λέγει η Αγία Γραφή: «αρχή σοφίας φόβος Κυρίου» (Παροιμ. α', 7). Όταν λοιπόν πορευθή κανείς σύμφωνα με τον φόβον Θεού, θα φθάση οπωσδήποτε εις το μέτρον της αγάπης και έτσι θα έχη τον πλησίον του όπως τον εαυτόν του. Είπέ μου: αν δύο βασιλείς ευρίσκονται εις έχθραν και έχουν τας χώρας των χωρισμένας μεταξύ των και κάποιος υπήκοος του ενός συλληφθή εις την χώραν του άλλου και πρέπει να θανατωθή, αφεθή όμως ελεύθερος και τιμωρηθή μονάχα με ένα ράπισμα, αντί του θανάτου, δεν νομίζεις, μετά από αυτό, ότι εκείνος που τον απέλυσε φαίνεται ότι είναι φιλάνθρωπος;

– Και πάρα πολύ μάλιστα, είπον εγώ.

Και ο Πέτρος συνέχισε: Τώρα, εάν αυτός ο ίδιος κλέψη και κάτι από κάποιον ή και ξένον (που δεν θα γνωρίζη τίνος είναι) και, αφού συλληφθη επ' αυτοφώρω, επιστρέψη το ένα ή το διπλάσιον της αξίας του αφαιρεθέντος, ενώ είναι υποχρεωμένος να καταβάλη το τετραπλάσιον και να θανατωθή ακόμη, διότι συνελήφθη εις τα σύνορα του άλλου, δεν νομίζεις ότι αυτός που έλαβε το διπλάσιον και τον απήλλαξεν από τον θάνατον είναι φιλάνθρωπος;

– Είπα τότε εγώ: Τώρα με έπεισες ότι αυτοί, που αδικούν, οι ίδιοι αδικούνται, ενώ αυτοί που αδικούνται είναι μάλλον οι κερδισμένοι και δι' αυτό μου φαίνεται πάρα πολύ άδικον αυτό που γίνεται. Διότι εκείνοι που νομίζουν ότι αδικούν, έβλαψαν πολύ

τους εαυτούς των (τας ψυχάς των) και τους αδικηθέντας τους ωφέλησαν ενώ εκείνοι οι οποίοι θεωρούνται ότι αδικούνται αυτοί περισσότερον αδικούν, (εάν δεν αγαπούν τους αδικούντας), διότι αν και ωφελήθησαν από εκείνους (που ήδικήθησαν), εν τούτοις δεν προσφέρουν εις αυτούς αμοιβής αγάπης.

- Όχι όμως σύμφωνα με την γνώμην εκείνων, που ενοχλούν άλλους, αλλά εκείνων που δέχονται ταύτα, είπεν ο Πέτρος.

Αφού λοιπόν εγώ επήνεσα όσα ελέχθησαν, είπα προς τον Πέτρον Κύριέ μου, εξήγησέ μου τον λόγον που είπες προηγουμένως, ότι δηλαδή τα αδικήματα και τα πάθη τα υποφέρομεν δια την συγχώρησιν των αμαρτιών μας

- Ο Πέτρος μου απήντησεν: Έτσι είναι διότι όσα και αν αποκτώμεν οι άνθρωποι, επειδή διαρκώς θέλομεν περισσότερα, εννοώ είτε ενδύματα είτε φαγητά είτε ό, τιδήποτε άλλο, δεν κάμνομεν καλά που τα αποκτώμεν. Αν θέλη κανείς να ζή ενάρετα, δεν πρέπει, να έχη τίποτα. Διότι αν τα κτήματα γίνονται αιτία να αμαρτάνουν εκείνοι που τα έχουν, η καθ' οιονδήποτε τρόπον αποστέρησίς των είναι αφαίρεσις αμαρτιών δι' αυτό ο Θεός, από υπερβάλλουσαν φιλανθρωπίαν, παραχωρεί να συμβαίνουν τιμωρίαι εις εκείνους που δεν πολιτεύονται σύμφωνα με τις έντολας του Θεού, ώστε με το να υπομένουν αυτοί προσκαίρους τιμωρίας, διά την έλλειψιν αγάπης προς τον Θεόν, να απαλλαγούν από την αιώνιον κόλασιν.

Γ'. 'Εν τω Μαρτυρίω του Αγίου Λογγίνου τού Εκατοντάρχου

ΔΕΞΑΜΕΝΟΣ ὁ Πιλᾶτος παρὰ Καίσαρος γράμματα, τοῦ Λογγίνου διὰ τὴν εἰς Χριστὸν πίστιν θάνατον καταψηφιζόμενα, εὐθὺς ὡς εἶχεν ἐγχειρίζει ταῦτα τοῖς Ἰουδαίοις, καὶ πρὸς τὸν τοῦ μακαρίου φόνον πρόθυμος προθύμους ἐκπέμπει. Οἱ δὲ τῶν Καππαδοκῶν ἐπιστάντες, καὶ Λογγίνον ἔν τινι τῶν πατρῴων ἄγρων τὸν ἀπράγμονα βίον ἀσκεῖν πυθόμενοι, εὐθὺς ἐν τῷ ἀγρῷ γίγνονται, καὶ Λογγίνῳ εἷς λόγους ἔρχονται, μὴ εἰδότες ἐκεῖνον εἶναι περὶ οὐ τοὺς μακροὺς ὑπέστησαν πόνους καὶ τὴν πορείας διήνυον· ὅθεν καὶ αὐτὸν ἐκεῖνον ἤρωτων, τὶς ἄρα Λογγίνος εἴη καὶ ποῖος ὁ Λογγίνον ἔχων ἀγρός; Τοῦ Πνεύματος οὖν τοῦ Ἁγίου πάντα κατ' ἐκεῖνο τῆς ὥρας τὸ Λογγίνῳ γνωρίσαντος, ἠρέμα πρὸς αὐτοὺς ἐπιστραφεῖς, ἀκολουθεῖτε μοί, λέγει, πραεία καὶ φιλανθρώπῳ τῇ φωνῇ, καὶ τὸν ζητούμενον αὐτὸς ὑποδείξω.

ΥΠΟΘΕΣΙΣ Μ΄ (Να αγαπούμε και να ευεργετούμε τους εχθρούς μας)

Τότε οὖν ὡς πὲρ ἐνευφραινόμενος καὶ μακάριος ἐν ἑαυτῷ, καὶ τοῦ μέλλοντος προαπολαύων τῆς ἡδονῆς, καὶ πρὸ μαρτυρίου τὸν τοῦ μαρτυρίου θάνατον ἀσπαζόμενος, τοιαῦτα πρὸς ἑαυτὸν διελέγετο Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθὰ νῦν τοὺς οὐρανοὺς ἀνεωγμένους ὄψομαι νῦν ἱστορήσω τὴν δόξαν τοῦ Πατρός, νῦν Ἱερουσαλὴμ τῆς ἄνω, τῆς πατρίδος δὲ τῶν Ἀγγέλων, τοῦ δὲ χοροῦ τῶν "Ἁγίων παντὸς μητροπόλεως, μετὰ κρότων ἐπινικίων καὶ περιφανῶν τροπαίων ἥδιστα ἐπιβήσομαι. Νῦν ἀποδύομαι τὸν πήλινον χιτῶνα καὶ τοὺς πολυστενάκτους τῆς σαρκὸς δεσμοὺς ἀποτίθεμαι. Νῦν ἀπαλλάττομαι τῆς φθορᾶς καὶ τὴν ἀφθαρσίαν χαίρων ἐνδύομαι. "Ἐξειμι τοῦ προσκαίρου βίου καὶ τοῦ χειμῶνος, οὗ μεγάλα τα κύματα καὶ χαλεπά τα ναυάγια, καὶ πρὸς τὸν ἀληθῆ καὶ μόνον ἀφικνοῦμαι λιμένα, ἐν ὢ ζωὴ ἄλυπος καὶ αἰώνιος. Εὐφραίνου πρὸς τὸν σὸν ἀπερχομένη, ψυχή, ποιητὴν δεῖξον φαιδρόν, καιροῦ καλοῦντος, τὸ πρόσωπον τοὺς προξένους σοὶ τῶν σῶν ἀγαθῶν, Λογγίνε, φιλοφρόνως ὑποδεξαι, τοὺς ἐπὶ τὸ δεῖπνον ἡμᾶς καλοῦντας τὸ βασιλικὸς πολυτελῶς ἑστιάσωμεν.

Ταῦτα πρὸς ἑαυτὸν ὁ Λογγίνος διαλεχθεῖς, τοὺς ἐπ' αὐτὸν ἐλθόντας εἰς τὸν ἴδιον οἶκον ἄγει καὶ ξενίσας λαμπρῶς, εἶτα καὶ ἐρωτᾶν μετὰ τὸ δεῖπνον ἄρχεται, ἐφ' ὢ τὲ ἦχοιεν καὶ τὶς ἡ τοσαύτη Λογγίνου ζήτησις; Οἱ δέ, ὅρκον παρ' αὐτοῦ λαβόντες πρότερον μὴ τινι τὸ κρυπτόμενον ἐκκαλύψαι, τὰ γραφέντα Πιλᾶτο παρὰ Καίσαρος λέγουσι, καὶ ὅτι Λογγίνου σὺν ἅμα καὶ δύο στρατιωτῶν τὰς κεφαλὰς ἔκτεμεῖν ἀπηντήκασιν. Ὡς δὲ καὶ οὗτοι τίνες εἶεν οἱ ἅμα αὐτὸ ἀποθανεῖν μέλλοντες ἐμάνθανεν, οἳ τῆς Ἰουδαϊκῆς φημί, μισθαρνίας προτιμήσαντες τὸν Χριστόν, τάχιστα παρ' αὐτὸν ἧκει τοῖς ἀνδρᾶσι μικρὴ πρὸ τούτου διαστάσιν ἐδήλου, ὡς τὲ τῶν πρώτων ἀγαθῶν αὐτῶ κοινωνῆσαι.

Οὕτω τὲ μίαν δευτέραν καὶ ἡμέραν τοὺς ὑπὸ Πιλάτου σταλέντας φιλοξενίσας, παραλαβῶν αὐτοὺς τῆς ἐπαύριον ἐν ἀγρῷ ἀνέμενεν οὓς μετεστείλατο. Ἐγγίσαι δὲ ἤδη τούτους μαθῶν, εὐθύς, ἔγω εἶμι καὶ ζητούμενος ὑμὶν Λογγίνος, ἀπαγγέλλει τοῖς τοῦ Πιλάτου. Οἱ δέ, πρότερον μὲν διαπίστουν πῶς γὰρ ἂν καὶ ὑπέλαβον αὐτὸν εἶναι τὸν μέλλοντα παθεῖν, οὕτως αὐτὸν ὁρῶντες περιχαρῆ πρὸς τὸν κίνδυνον;

Ὡς δὲ ἐκεῖνον ἀκριβῶς ἐμάνθανον εἶναι καὶ οὐδὲν ἀμφίβολον αὐτοῖς ὑπελείφθη, βαρέως ἔφεραν καὶ πολλᾶς ἐδέχοντο τὰς ἀπὸ τοῦ συνειδότος πληγᾶς καὶ δείπνου δυστυχοῦς! λέγοντες καὶ χαλεπῆς ξενίας! Τί σοί, ὢ φίλε Λογγίνε, τοῦτο ἔδοξε τὸ ἐγχείρημα; "Ἵνα τί τοὺς ἐπὶ σὸν φόνον ἔλθοντας καὶ σὸς οἶκος ἐδέχετο; Θάνατος ἢ ξενία σου γίνεται, καὶ σεαυτὸν ἐπιθέσεις τὴ τραπέζη, λῃστὲς παραδόξως τοὺς ὑπό σου ξενισθέντας ἑδρῶν: τί ἂν ποιῶν οὕτως ἔλυπείς τους ἐπιθεῖναι σοὶ τὴν σφαγὴν μέλλοντας; "Ἀπιθι τοιγαροῦν μισθὸν τῆς ξενίας λαβῶν τοῦ θανάτου τὴν ἄφεσιν οὐ στέγομεν ἐπιθεῖναι σοὶ τὸ ξίφος ἐρυθριῶμεν τὴν τράπεζαν" τὸν τῆς ξενίας ἔφορον αἰσχυνόμεθα ναρκὰ πρὸς τὸν φόνον ἡ χεὶρ ὁ νοῦς ὀκνεῖ τοῦ εὐεργέτου τὸν θάνατον

ράων καὶ παρὰ Πιλᾶτο κίνδυνος ἡμὶν τῶν ἐκ τοῦ συνειδότος πληγῶν πάντα παθεῖν ἕτοιμοι ἐσμέν, ἢ Λογγίνω τοιαύτας ἀντιδοῦναι τὰς χάριτας.

Οὕτω μὲν οἱ στρατιῶται πρὸς τὸν τοῦ Χριστοῦ μάρτυρα καὶ λίαν περιπαθῶς ἔλεγον, ἀλλ' οὐχὶ καὶ Λογγίνον ἠδύναντο πείθειν, ἀλλὰ καὶ γενναίως πρὸς αὐτοὺς καὶ γενναῖος ἀληθῶς ἀποκρίνεται: Τί μοί, ὦ οὗτοι, φθονεῖτε μεγάλων ἀγαθῶν; Τί μου τὸν θάνατον οὕτω περιπαθῶς ἀποκλαίεσθε; Ὁ θάνατος ἐμοὶ τὸ παρόν, ἀλλὰ ζωῆς ἀπαρχὴ ἔμοι τῷ ὄντι θάνατος μᾶλλον ἡ ἐνταύθα διαγωγή, ὅτι μὴ τὰ ἐμῶ δεσπότη παρίσταμαι, καὶ τῆς ἐκεῖθεν ἀπολαύω μακαριότητος τὸ τέλος, τέλος τῶν κακῶν, οὐχὶ καὶ τέλος τῆς ζωῆς προξενήσει μου, ἀλλὰ πρὸς τὴν ἀληθινὴν διαβιβάσει ἀϊδιότητα.

Ἐτι τοῦ Λογγίνου ταῦτα καὶ πλείω τούτων διεξιόντος, καὶ τοὺς τοῦ Πιλάτου ποιεῖν τὸ κελευσθεν πείθοντος, οἱ συγκατακριθέντες αὐτὸ τὸν θάνατον στρατιῶται καταλαμβάνουσιν. Ὁ δὲ φαιδρό το προσώπω τοὺς ἄνδρας ἰδών, δεξιὰν τὲ αὐτοὺς ἐμβάλλει καὶ περιβάλλει τὸν τράχηλον, καὶ ὀφθαλμοὺς ἠδέως φιλεῖ, καὶ χαίρετε, ὦ στρατιῶται Χριστοῦ καὶ κληρονόμοι τῆς βασιλείας, φησί, χαίρετε ἤδη γὰρ ἡ ἐν οὐρανοῖς ἡμὶν πύλη ἀνέφεται, καὶ "Ἄγγελοι τὰς ἡμετέρας μέλλουσι παραλαμβάνειν ψυχᾶς, καὶ τὴ μονογενεῖ προσάγειν Υἱῶ. Ἀλλὰ γὰρ εἰ τί καὶ προσετάχθητε, πρὸς τοὺς πεμφθέντας ἔλεγεν, ἐκπληροῦτε.

Εἶτα καὶ στολὴν καθαρὰν ἐνδὺς ἐκ τῆς οἰκίας κομισθεῖσαν αὐτῶ ὡς ἐπὶ γάμον ἤδη κληθέντι καὶ πρὸς αὐτὸν σπεύδοντι, εἰς γόνυ μετὰ τῶν σὺν αὐτῶ κληθεῖς, ὦ μακαρίου τέλους! τὸν ἀγῶνα διήνυσαν, καὶ τὰς κεφαλὰς ἀποτμηθέντες χοροὺς Μαρτύρων ἐγγράφονται.

Ερμηνεία

ΜΟΛΙΣ Ο Πιλάτος έλαβεν από τον Καίσαρα της Ρώμης γράμματα, με τα οποία κατεδικάζετο εις θάνατον ο Λογγίνος διά την πίστιν του εις τον Χριστόν, αμέσως τα παραδίδει, όπως ήσαν, εις τους Ιουδαίους και αποστέλλει με προθυμίαν να φονεύσουν τον μακάριον αυτοί που ήσαν, άλλωστε, πρόθυμοι δι' αυτό.

Οταν έφθασαν εις την Καππαδοκίαν, επληροφορήθησαν ότι ο Λογγίνος ζή άσκητικά σε κάποιο πατρικόν του κτήμα έρχονται αμέσως εις το χωράφι και αρχίζουν συζήτησαν με τον Λογγίνον, χωρίς να γνωρίζουν ότι είναι αυτός διά τον οποίον εδοκίμασαν μεγάλους κόπους και έκαμαν μεγάλην πορείαν. Δι' αυτό και ερωτούσαν τον ίδιον, ποίος άραγε ήτο ο Λογγίνος και ποιος ο αγρός εις τον οποίον έμενε ο Λογγίνος. Εκείνην την στιγμήν το Αγιον Πνεύμα εφανέρωσεν εις τον Λογγίνον όλα τα

συμβαίνοντα. Αφού λοιπόν εστράφη προς αυτούς ήρεμα, τους είπεν ήσυχα και ευγενικά ακολουθήσατε με και εγώ θα σας δείξω αυτόν που ζητείτε.

Τότε λοιπόν ο μακάριος, ωσάν να απελάμβανεν ήδη εκ των προτέρων την μελλοντικήν ηδονήν του μαρτυρίου, εδοκίμαζεν εσωτερικήν ευφροσύνην και ασπαζόμενος τον μαρτυρικός θάνατον (που θα υφίστατο) έμονολογούσε: Πόσον ωραία είναι τα πόδια αυτών οι οποίοι ευαγγελίζονται καλάς ειδήσεις (Ρωμ. ι΄, 15 και Ησ. ν6', 7): τώρα θα ίδω ανοιγμένους τους ουρανούς: τώρα θα γνωρίσω την δόξαν του Πατρός, τώρα θα φθάσω πάρα πολύ ευχαριστημένος, με χαρμοσύνους διά την νίκην κρότους, με ένδοξα τρόπαια, εις την άνω Ιερουσαλήμ, την πατρίδα των 'Αγγέλων, την Μητρόπολιν όλων των Αγίων. Τώρα αφαιρώ από επάνω μου το πήλινον φόρεμα και αφήνω τα πολυστένακτα δεσμά της σαρκός. Τώρα απαλλάσσομαι από την φθοράν και με χαράν ενδύομαι την αφθαρσίαν.

Φεύγω από τον πρόσκαιρον βίον και την τρικυμίαν του, με τα μεγάλα κύματα και τα φοβερά ναυάγια, και φθάνω εις τον αληθινόν και μοναδικόν λιμένα, όπου υπάρχει ζωή αιώνιος χωρίς λύπας χαίρε, ψυχή μου, τώρα που απέρχεσαι προς τον Ποιητήν σου: ας λάμψη από χαράν το πρόσωπόν σου, τώρα που το καλεί ο καιρός. Να υποδεχθής, Λογγίνε, με καλωσύνην εκείνους που σου προξενούν τόσα καλά ας περιποιηθώ μεν πλουσιοπάροχα αυτούς που μας προσκαλούν εις το βασιλικόν δείπνον.

Μετά τον μονόλογον αυτόν ο Λογγίνος οδηγεί εις το σπίτι του τους επισκέπτες του.

Και αφού τους εφιλοξένησε πλουσιοπάροχα, τους έρωτά, μετά το δείπνον, διά ποίον λόγον ήλθον και διατί αναζητούν τόσον επίμονα τον Λογγίνον; Οι επισκέπται, αφού προηγουμένως τον ώρκισαν να μη φανερώση σε κανένα το μυστικόν, του γνωστοποιούν αυτά που έγραψεν ο Καϊσαρ εις τον Πιλάτος και ότι ήλθαν διά να αποκεφαλίσουν τον Λογγίνον μαζί με δύο στρατιώτας. Οταν δε επληροφορήθη ποίοι ήσαν οι δύο άλλοι μελλοθάνατοι, οι οποίοι επρόκειτο να αποθάνουν μαζί του-λέγω αυτους που επροτίμησαν τον Χριστόν αντί να είναι πληρωμένα όργανα των Ιουδαίων[(*)] – ειδοποίησε να έλθουν γρήγορα πάλιν κοντά του αυτοί οι άνδρες, οι οποίοι προ ολίγου. έφυγαν, ώστε να απολαύσουν μαζί του τα πλέον πολύτιμα αγαθά.

[(*)] Επρόκειτο περί στρατιωτών, που ήσαν εις την υπηρεσίας του Αγίου Λογγίνου, όταν ούτος έφερεν ακόμη το αξίωμα του Εκατοντάρχου και παρευρίσκετο εις την Σταύρωσιν και την Ανάστασιν του Κυρίου. (Βλ. εν τώ ημετέρω «Μεγάλω Συναξαριστή» τόμος Ι' σ. 354).

ΥΠΟΘΕΣΙΣ Μ΄ (Να αγαπούμε και να ευεργετούμε τους εχθρούς μας)

Την πρώτης και δευτέραν ήμέραν λοιπόν έφιλοξένησε τους απεσταλμένους του Πιλάτου: αφού δε τους παρέλαβε την επομένην ημέραν, τους έφερεν εις ένα αγρόν, όπου έπερίμενες εκείνους που έστειλε να καλέσουν. Μόλις δε έμαθαν, ότι αυτοί πλησιάζουν, φανερώνεται αμέσως εις τους ανθρώπους του Πιλάτου: εγώ είμαι ο Λογγίνος, τον οποίον ζητείτε!

Οι απεσταλμένοι κατ' αρχάς δεν έπίστευον· διότι πώς να πιστεύσουν ότι αυτός είναι εκείνος που επρόκειτο να μαρτυρήση, όταν τον έβλεπον να αντιμετωπίζη με τόσην χαράν τον κίνδυνον;

Οταν πλέον έβεβαιώθησαν, ότι πραγματικά αυτός ήτο και δεν τους έμενε καμμία αμφιβολία, το έφεραν βαριά και ήσθάνοντο ισχυράς τάς τύψεις της συνειδήσεώς των.

-Ώ! κακότυχον δείπνον! – έλεγαν - Ώ φοβερά φιλοξενία! Πώς αποφάσισες, φίλε Λογγίνε, να κάνης αυτό το πράγμα; Διατί εδέχτης στο σπίτι σου εκείνους που ήλθαν να σε φονεύσουν; Θάνατος σου γίνεται αυτή η φιλοξενία και θα θυσιασθής έπειτα από ένα πλούσιον τραπέζι που τους προσέφερες. Εις το πρόσωπον αυτών που έφιλοξένησες, συνήντησες ληστάς. Τι άλλο θα μπορούσες να κάνης, διά να προξενήσης τόσην λύπην εις εκείνους που ήλθαν να σε σφάξουν;

Φύγε λοιπόν γρήγορα διά να λάβης ως μισθόν της φιλοξενίας σου την απαλλαγήν σου από τον θάνατον. Δεν αντέχομεν να βάλωμεν επάνω σου το ξίφος: κοκκινίζομεν από εντροπήν διά την φιλοξενίας που μας προσέφερες εντρεπόμεθα τον άνθρωπος που μας έφιλοξένησε τρέμει το χέρι μας δια τον φόνον ο νους μας δεν τολμά να σκεφθή τον θάνατον του ευεργέτου. Μάς είναι προτιμότερος ο κίνδυνος από τον Πιλάτον, παρά ο έλεγχος της συνειδήσεώς μας. Είμεθα έτοιμοι να τα πάθωμεν όλα, παρά να ανταποδώσωμεν, με τέτοιον τρόπον, την ευεργεσίαν εις τον Λογγίνον. .

Αυτά έλεγον οι στρατιώται, πάρα πολύ λυπημένοι, προς τον Μάρτυρα του Χριστού· δεν ήμπορούσαν όμως να πείσουν τον Λογγίνον. Ο γενναίος με πραγματικήν γενναιότητα τους απήντησε:

– Διατί, αγαπητοί μου, με φθονείτε δια τα μεγάλα αγαθά; Διατί κλαίετε με τόσην λύπην διά τον θάνατόν μου; Ο εδώ θάνατος δεν είναι δι' εμέ θάνατος, αλλά αρχή ζωής: θάνατος πραγματικός δι' εμέ είναι η παραμονή μου εδώ εις την γην, επειδή δεν ευρίσκομαι πλησίον εις τον Δεσπότην μου και δεν απολαμβάνω την μακαριότητα που υπάρχει εκεί.

Ο θάνατος θα μου φέρη το τέλος των κακών αλλά όχι το τέλος της ζωής: απ' εναντίας θα με μεταφέρη προς την πραγματικήν αιωνιότητα.

Ενώ ακόμη ο Λογγίνος έλεγεν αυτά και άλλα περισσότερα και προσπαθούσε να πείση τους ανθρώπους του Πιλάτου να εκτελέσουν ό,τι διετάχθησαν, έρχονται και οι στρατιώται που κατεδικάσθησαν μαζί του εις θάνατον. Μόλις τους είδεν ο Λογγίνος με χαρούμενο το πρόσωπον τους χαιρετά με το δεξί του χέρι, τους αγκαλιάζει και φιλεί γλυκά τους οφθαλμούς των.

– Χαίρετε, στρατιώται του Χριστού – τους λέγει – και κληρονόμοι της Βασιλείας διότι δι' ημάς ήνοιξε πλέον η πύλη του Ουρανού και οι "Αγγελοι είναι έτοιμοι να παραλάβουν τας ψυχάς μας και να τας οδηγήσουν ενώπιον του Μονογενούς Γιού του Θεού.

Έπειτα απευθυνόμενος προς τους στρατιώτας: εμπρός – τους είπεν - εκτελέσατε αυτά που διετάχθητε.

Μετά ταύτα, αφού εφόρεσε καθαράν στολήν, την οποίαν του έφεραν από το σπίτι του, χαρούμενος, ώς να επήγαινεν εις γάμον, έγονάτισε μαζί με τους συντρόφους του: ώ καλοτυχισμένος θάνατος! ετελείωσαν τον αγώνα και αφού τους απεκεφάλισαν, κατετάχθησαν εις τους χορούς των Μαρτύρων.

Δ'. Εν τω βίω της Αγίας Θεοδώρας

ΤΙΝΕΣ τῶν μοναχῶν των τὴ ἁγία Θεοδώρα συνασκουμένων, βασκανίας κέντρω βληθέντες, ὡς ἐώρων τὴν μακαρίαν εἰς ἄκρον ἀρετῆς ἥκουσαν, λάθρα τῆς τοῦ προεστῶτος γνώμης, εἰς ἓν τί τῶν ἀσκητηρίων ταύτην ἐκπέμπουσιν ἐπιστολὴν ἔγχειρισαντες, τὸ φαινόμενον μὲν ὡς τί τῶν ἐπειγόντων ἔχουσαν καὶ τέλους δεόμεγον ὀξυτέρου, τὸ δ' ἀληθὲς συσκευὴ ἦν, ἔπει καὶ νυκτὸς διεπράττετο, καταβρῶμα γενέσθαι ταύτην θηρίων ἔρημος γὰρ ἡ ὁδὸς ἐκείνη καὶ θηρίων μόνον τροφὸς ἀλλ' εἰς μάτην ἡ ἐπιβουλὴ τὸ ἀντικειμένω, καὶ τουναντίον μᾶλλον ἢ αὐτὸς ἐτεχνάζετο.

Πλανωμένη γὰρ καθ' ὁδὸν τὴ ὁσία προσέρχεται τὸ θηρίον νεύσει Θεοῦ, καὶ γίνεται ταύτης ἀπλανὴς ὁδηγός, ἕως ἀγαγὸν τὴ μονὴ παρέστησε, πρὸς ἣν καὶ ἔτυχεν ἐκπεμφθεῖσα μᾶλλον δὲ οὐδ' οὕτως ἀπέστη. Εἰσελθούση γὰρ καὶ αὐτὸ συνεισήει, κακείνης πρὸς τὸ ἐγχειρίσαι τὸ προεστώτι τὴν ἐπιστολὴν ἀπελθούσης, ὁ θὴρ τῷ πυλωρῷ ἐπήει καὶ ὅσον οὔπω διασπᾶν αὐτὸν ἔμελλεν, εἰ μὴ βοήσαντα ἐκεῖνον, καὶ συνδρομῆς γενομένης, ἐπιστραφεῖσα ἡ Μακαρία, καὶ ὃς τὶς εἴη ὁ θόρυβος διαγνοῦσα,

καταλαμβάνει τὸν ἄνδρα βρῶσιν ἤδη τοῦ θηρίου γινόμενον. Εὐθὺς οὖν ἐκείνη τοῦ φάρυγγος αὐτοῦ δραξαμένη, διαφθορᾶς τὸν ἄνθρωπον ἀπαλλάττει ἐλαίω δὲ ὑπαλείφουσα τὰ βλαβέντα μέρη καὶ Χριστοῦ τὸ ὄνομα προσεπάδουσα, τοῦτο μὲν ὡς τὸ πρότερον ὑγια ἀποδείκνυσι, τὸ δὲ θηρίον πεσεῖν τὲ καὶ διαρραγῆναι παραχρῆμα ποιεῖ.

Ταῦτα ἐκείνη μὲν λαθεῖν ἤβουλετο καὶ οὐδὲν μετὰ τὴν ἐπάνοδος ἐφανέρου τοϊς Μοναχοὺς οἱ τυχόντες δὲ τῆς εὐεργεσίας, ἅμα πρωΐ, αὐτάγγελοι τοῦ πραχθέντος γίνονται, εὐχαϊς Θεοδώρου, λέγοντες, χαλεποῦ θανάτου ρύεται ἄνθρωπος, καὶ θηρίου φάρυγξ ἠμὶν χαρίζεται τὸν εἶς βρῶσιν ἤδη ληφθέντα, ὧν καὶ τοὺς λόγους καὶ προεστῶς τοῦ φροντιστηρίου καταπλαγεῖς, τὶς ὃς ἐκεῖσε τοῦτον ἀπεσταλκεν, ἄπορουμενος διηρώτα. Ὡς δὲ ἦσαν ἅπαντες ἔξαρνοι, τὴν μακαρίαν προσβλέψας, τὶς οὗτος, ἔφη, Θεόδωρε, ὃς ἐπὶ προφανεῖ κινδύνω ἀωρὶ σὲ τῶν νυκτῶν κατήπειγε τὰ ἐκεῖσε καταλαβεϊν; Καὶ θέα μου ψυχῆς εὐθείας ἀναπλάσμα, καὶ τὸ ἄτυφον γὰρ ἑαυτη περιποιουμένη, καὶ τοῖς ἀδελφοὺς φυλάττουσα τὸ ἀνέγκλητον ὕπνο, εἶπε, τότε τοὺς ὀφθαλμοὺς τοὺς ἔνδον τὲ καὶ τοὺς ἔξω βαρυνομένη, μὴ εἰπεῖν ἔχειν ἄρτι τοὺς ἀποστείλαντας ἐξ ὀνόματος.

Ερμηνεία

ΜΕΡΙΚΟΙ Μοναχοί από εκείνους οι οποίοι ήσκούντο μαζί με την αγίαν Θεοδώραν έπληγώθησαν από το κεντρί του φθόνου εναντίον της Αγίας, επειδή έβλεπον την μακαρίαν εκείνην γυναίκα να φθάνη εις το έπακρον της αρετής. Την στέλλουν λοιπόν, κρυφά από τον προεστώτα, να μεταφέρη μίαν επιστολήν εις ένα ασκητήριον, η οποία, τάχα, ήτο επείγουσα και έπρεπε να έχουν ταχείαν απάντησιν εις την πραγματικότητα όμως ήτο ένα τέχνασμα αφού άλλωστε έγένετο εν καιρώ νυκτός, διά να φαγωθη από τα άγρια θηρία. Ο δρόμος εκείνος ήτο έρημος και έτρεφε μόνον θηρία. 'Απεδείχθη όμως ματαία ή πονηρία του διαβόλου και μάλλον το αντίθετον έγινεν από ό,τι εκείνος εμηχανεύθη.

Καθώς δηλαδή περιεπλανάτο εις τον δρόμον ή Οσία, την πλησιάζει, με την θέλησιν του Θεού, ένα θηρίον και της γίνεται αλάθητος οδηγός, έως ότου την έφερεν έξω από το Μοναστήρι, εις το οποίον είχεν αποσταλή, χωρίς ούτε τότε να απομακρυνθή. "Οταν λοιπόν εισήλθεν εις το Μοναστήρι η Οσία, εμβήκε μαζί της και το θηρίον και ενώ εκείνη επήγε να επιδώση την επιστολής της εις τον Προεστώτα, το θηρίον επετέθη εναντίον του θυρωρού, έτοιμος να τον κατασπαράξη φοβηθείς τότε εκείνος έβαλε τις

φωνές και έμαζεύθησαν πολλοί. Αμέσως η Μακαρία έγύρισεν οπίσω και αντελήφθη από τον θόρυβον τί εγίνετο τρέχει τότε και προλαμβάνει τον άνθρωπον την ώραν που ήρχιζε να τον τρώγη το θηρίον.

Το αρπάζει αμέσως από τον λαιμόν και έτσι έσωσε τον άνθρωπον από τον θάνατον. Αφού δε ήλειψε με έλαιον τα πληγωμένα μέλη του σώματος και επεκαλέσθη το όνομα του Χριστού, εθεράπευσε τον θυρωρόν και τον έκαμε καλά, όπως και πρώτα, ενώ το θηρίον έπεσεν αμέσως εις την γην και έσκασεν.

Όλα αυτά εκείνη ήθελε να μείνουν άγνωστα και δι' αυτό, μετά την επιστροφής της, δεν εφανέρωσε τίποτα εις τους Μοναχούς. Εκείνοι όμως που ευηργετήθησαν, έρχονται πρωϊ - πρωί και αναφέρουν μόνοι των το περιστατικός έλεγαν, δηλαδή, ότι εσώθη ένας άνθρωπος με τας ευχάς του Θεοδώρου και ότι ο λάρυγξ ενός θηρίου μας έχάρισεν εκείνον, τον οποίον είχεν ήδη συλλάβει διά να τον καταβρογχθίση. Μόλις ήκουσεν αυτά ο Προϊστάμενος του Ησυχαστηρίου κατεπλάγη και, γεμάτος απορίαν, ερωτούσε ποίος είναι εκείνος που έστειλεν εκεί την Θεοδώραν.

Επειδή δε όλοι ήρνούντο, εκοίταξε καλά την μακαρίαν και της είπε:

- Ποίος είναι αυτός, που σε υπεχρέωσε, με φανερον κίνδυνον της ζωής σου, να υπάγης αργά μέσα εις την νύκτα εκεί;

Και βλέπε τώρα το απεικόνισμα της τελείας και αδόλου ψυχής: επειδή ήθελε να φυλάξη και την ταπείνωσιν, αλλά ούτε και τους αδελφους να κατηγορήση, απήντησε πως δεν ήμπορούσε να ενθυμηθή το όνομα αυτών, που την έστειλαν, επειδή τότε από την νύκτα ήσαν βαρειά τα μάτια της και ζαλισμένη η ιδία από την υπνηλίαν.

Ε'. Εν τω Γεροντικώ

ΔΙΗΓΗΣΑΤΟ περὶ τοῦ Ἀββᾶ Μωτίου ὁ μαθητὴς αὐτοῦ Ἰσαάκ, ὅτι πρώτον ᾠκοδομησεν ὁ γέρων Μοναστήριον εἰς τὴν Ἡρακλᾶν ὡς δὲ ἀνεχώρησεν ἐκεῖθεν, ἀπῆλθεν εἰς ἕτερον τόπον καὶ ᾠκοδομησεν ἐκεῖ πάλιν, καὶ κατ' ἐνέργειας τοῦ διαβόλου εὑρέθη ἐκεῖ ἀδελφὸς τὶς ἔχθραινων αὐτῷ καὶ θλίβων αὐτόν. Καὶ ἀναστᾶς κακείθεν ὁ γέρων ἀνεχώρησεν εἰς τὴν ἰδίαν κώμην, καὶ ἐποίησεν ἑαυτῷ Μοναστήριον καὶ ἐνέκλεισεν ἑαυτόν.

Μετὰ δὲ χρόνον ὥρμησαν οἱ γέροντες τοῦ τόπου, ὅθεν ἐξῆλθε, λαβόντες καὶ τὸν ἀδελφόν, ὃς εἶχε πρὸς αὐτὸν τὴν λύπην, καὶ ἀπήρχοντο παρακαλέσαι αὐτόν, ἕνα

ὑποστρέψη εἰς τὴν μονὴν αὐτοῦ. Ὡς δὲ ἤγγισαν, ὅπου ἦν ὁ ἀββᾶς Σώρης, ἀφήκαν τὰ μηλωτάρια αὐτῶν ἐγγὺς αὐτοῦ καὶ τὸν ἀδελφὸν τὸν ἔχοντα τὴν λύπην, καὶ ἦλθον πρὸς τὸν ἀββᾶς Μώτιον, καὶ ὡς ἔκρουσαν, βάλλει ὁ γέρων τὸ κλιμάκιον καὶ παρακύπτει καὶ γνωρίσας αὐτοὺς λέγει ποῦ τὰ μηλωτάρια ὑμῶν; Οἱ δὲ εἶπον ἰδοὺ ὧδε μετὰ τοῦδε τοῦ ἀδελφοῦ.

Ὡς δὲ ἤκουσε τὸ ὄνομα τοῦ ἀδελφοῦ του λυπήσαντος αὐτόν, ὁ γέρων ἀπὸ χαρᾶς ἔλαβε πέλεκυς καὶ κατέστρεψε τὴν θύραν, καὶ ἐξῆλθε τρέχων ὡς πρὸς τὸν ἀδελφόν. Καὶ ἰδὼν αὐτόν, ἔβαλεν αὐτῷ μετάνοιαν πρῶτος, καὶ ἤσπασατο αὐτόν, καὶ εἰσηνεγκεν αὐτὸν εἰς τὸ κελλίον αὐτοῦ καὶ ἐπὶ τρεῖς ἡμέρας εὔφρανες αὐτούς, καὶ αὐτὸς μετ' αὐτῶν, ὅπερ οὐκ εἶχε συνήθειαν ποιεῖν. Καὶ ἀναστᾶς ἐπορεύθη μετ' αὐτῶν καὶ μετὰ ταῦτα Ἐπίσκοπος γέγονεν ἦν γὰρ σημειοφόρος καὶ τὸν μαθητὴν αὐτοῦ του ἀββᾶν Ἰσαάκ, ὁ μακάριος Κύριλλος ἐποίησεν Ἐπίσκοπον.

2. Εἶπεν ὁ ἀββᾶς Ποιμήν: ἡ πονηρία τὴν πονηρίαν οὐδαμῶς ἀναιρεῖ" ἀλλ' ἐὰν τὶς σὲ κακοποιήση, εὖ ποίησον αὐτῷ, ἵνα διὰ τῆς ἀγαθοποιΐας ἀνέλης τὴν πονηρίαν.

3. Φιλοχριστὸς τὶς παραδοθεῖς εἰς μαρτύριον ὑπὸ τῆς ἑαυτοῦ δούλης, ἀπαγόμενος ἐπὶ τὸ τελειωθῆναι, εἶδε τὴν δούλην αὐτοῦ τὴν παραδοῦσαν αὐτὸν καὶ λαβῶν δν ἐφόρει δακτύλιον χρυσοῦν, ἔδωκεν αὐτὴ λέγων" εὐχαριστῶ σοὶ ὅτι τοιούτων ἀγαθῶν μοὶ πρόξενος γέγονας.

4. "Ἔλεγον περὶ ἀδελφοῦ τινὸς γειτνιῶντος μεγάλο γέροντα, ὅτι εἰσερχόμενος εἰς τὸ κελλίον τοῦ γέροντος ἔκλεπτεν ἔβλεπε δὲ ὁ γέρων καὶ οὐκ ἤλεγχεν αὐτόν, ἀλλ' εἰργάζετο περισσὸν λέγων, ὅτι τάχα χρείαν ἔχει ὁ ἀδελφός. Εἶχε δὲ πολλὴν θλῖψιν ὁ γέρων μετὰ ἐνδείας εὑρίσκων τὸν ἄρτον αὐτοῦ. Εἶτα μέλλοντους τελευτᾶν, ἔκυκλωσαν αὐτὸν οἱ ἀδελφοὶ καὶ ἰδὼν τὸν κλέπτοντα αὐτόν, λέγει ἔγγισον μοὶ καὶ κατεφίλησε τὰς χεῖρας αὐτοῦ λέγων" εὐχαριστῶ ταῖς χερσὶ ταύταις, ὅτι δὶ' αὐτῶν ὑπάγω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δὲ κατανυγεῖς καὶ μετανοήσας ἐγένετο καὶ αὐτὸς δόκιμος Μοναχός, ἀπὸ τῶν πράξεων ὧν εἶδε τοῦ μεγάλου γέροντος.

5. Εἶπε γέρων: ἐὰν ἀκούσης περὶ τινὸς μισοῦντος σε καὶ λοιδοροῦντος, πέμψαι ἢ δὸς αὐτῷ μικρᾶν εὐλογίαν κατὰ τὴν δύναμίν σου, ἵνα ἔχης παρρησίαν εἰπεῖν ἐν τῇ ὥρᾳ τῆς κρίσεως ἄφες ἡμίν, δέσποτα, τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν.

6. Ἀδελφὸς ὁδεύων καὶ πλανηθεῖς, ἠρώτησε τίνας ὡς τὲ μαθεῖν τὴν ὁδὸν οἱ δέ, κακοῦργοι ὄντες, ἀπεπλάνησαν αὐτὸν εἰς ἐρήμους τόπους ἐπακολουθήσαντος δὲ ἑνὸς ὡς τὲ ἀποσυλῆσαι αὐτόν, καὶ παρακελευομένου διελθεῖν διώρυγα, ὡς διήρχοντο, κροκόδειλος ἐπέδραμεν ἐπὶ τὸν λῃστήν. Ὁ δὲ ἀδελφὸς ἰδὼν τὸ θηρίον ἐπὶ τὸν

κακοῦργον ὁρμῆσαν οὐχ ὑπερεῖδεν, ἀλλ' ἔβοησε πρὸς τὸν λῃστήν, σημαίνων τὴν τοῦ θηρίου ὁρμὴν καὶ φυγῶν ἐκεῖνος εὐχαρίστει τῷ ἀδελφῷ, θαυμάσας τὴν ἀγάπην αὐτοῦ.

7. Εἶπε γέρων: ἐὰν λάβῃς μνήμην τοῦ θλίψαντός σε, ἢ ἀτιμάσαντος, ἢ ζημιώσαντος, μεμνῆσθαι αὐτοῦ ὀφείλεις ὡς ἰατροῦ πεμφθέντος ὑπὸ Χριστοῦ, καὶ ἔχειν αὐτὸν ὡς εὐεργέτην αὐτὸ γὰρ τοῦτο τὸ θλίβεσθαι σὲ ἐν τούτοις δηλοῖ ὅτι νοσεῖ σου ἡ ψυχὴ εἰ μὴ γὰρ ἐνόσεις, οὐκ ἂν ἔπασχες. Ὀφείλεις οὖν εὐχαριστεῖν τῷ ἀδελφῷ, καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὅτι δι' αὐτοῦ γιγνώσκεις τὴν νόσον σου, καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ ὡς φάρμακα ἰατρικά, πεμφθέντα σοὶ ὑπὸ τοῦ Ἰησοῦ. Εἰ δὲ λύπη κατὰ τοῦ ἀδελφοῦ, δυνάμει λέγεις τῷ Ἰησοῦ' οὐ θέλω δέξασθαί σου τὰ φάρμακα, ἀλλὰ βούλομαι ἐν τοῖς τραύμασί μου σαπῆναι.

Ὁ βουλόμενος οὖν ἰαθῆναι ἐκ τῶν τραυμάτων αὐτοῦ των ψυχικῶν, ὀφείλει ὑπομεῖναι τὰ ἐπιφερόμενα ὑπὸ τοῦ ἰατροῦ, οἷα ἂν καὶ εἰσίν. Οὐδὲ γὰρ ὁ νοσῶν σωματικῶς ἡδέως ἔχει τὸ τέμνεσθαι ἢ καίεσθαι ἢ καθάρσιον πίνειν, ἀλλὰ καὶ μετὰ ἀηδίας μέμνηται αὐτῶν. "Ὅμως πείσας ἑαυτὸν ὅτι ἀδύνατον ἔστιν αὐτὸν ἄλλως ἀπαλλαγῆναι τῆς νόσου εἰ μὴ διὰ τούτων, φέρει αὐτὰ γενναίως εὐχαριστῶν τῶν ἰατρῷ, καὶ εἰδῶς ὅτι διὰ μικρᾶς ἀηδίας ἀπαλλαγήσεται πολυχρονίου ἀσθενείας.

Καυτὴρ ἔστι τοῦ Ἰησοῦ καὶ ἀτιμάζων σε ἢ λοιδορῶν σε, ἀλλ' ἀπαλλάττει σὲ κενοδοξίας. Καθάρσιον τοῦ Ἰησοῦ ἔστιν ὁ ἐπιφέρων σοὶ ζημίαν ἢ ὕβριν, ἀλλ' ἀπαλλάττει σὲ πλεονεξίας. Εἰ δὲ φεύγεις πειρασμὸν ἐπωφελῆ, φεύγεις ζωὴν αἰώνιον" τὶς γὰρ ἐδωρήσατο τῷ Ἁγίῳ Στεφάνω τοιαύτην δόξαν, οἵαν προξένησαν αὐτὸ οἱ λιθάσαντες αὐτόν;

8. Γέγονε τὶς Πατριάρχης ὀνόματι Ἀλέξανδρος, κατὰ τινὰ πόλιν καλουμένην Θεούπολιν εἷς δὲ τῶν νοταρίων αὐτοῦ, κλέψας τὸ χρυσίον, καὶ εἶχεν εἰς τά της

Ἐκκλησίας ἀναλώματα, ἔφυγε καὶ πλανηθεῖς, περιπίπτει βαρβάροις Αἴγυπτιοις ἀνημέροις, οἱκαι λαβόντες ἀπ' αὐτοῦ το χρυσίον ἀπάγουσιν αὐτὸν πρὸς τὰ ἔσχατά της χώρας αὐτῶν. Ὁ δὲ Πατριάρχης τοῦτο μαθῶν, ἀποστείλας ὠνήσατο αὐτὸν ὀγδοήκοντα καὶ πέντε νομίσμασι, καὶ ἐπανελθόντι οὕτως αὐτὸ ἔχρησατο εὐσπλάγχνως καὶ φιλανθρώπως, ὡς τὲ καὶ τίνας τῶν τῆς πόλεως οικητόρων ἔκπληττομενους εἰπεῖν, μηδὲν εἶναι ἐπωφελέστερον τοῦ εἰς τὸν Πατριάρχης ἐκεῖνος ἐξαμαρτάνειν.

9. Διηγήσατο ὁ μακάριος Ζωσιμᾶς λέγων, ὅτι γέρων τὶς ἔγειτνιαζε Κοινοβίῳ τινί: ἦν δὲ πάνυ ἀγαθὸς καὶ πραότατος διὸ καὶ οἵ του Κοινοβίου ὑπερηφάπων αὐτῶν καὶ ἐσέβοντο. Καὶ τὶς δὲ ἀδελφὸς ὤκει πλησίον του γέροντος. Ἐν μιᾷ οὖν ἀποντος αὐτοῦ, ὁ ἀδελφὸς ἐνεργηθεῖς ὑπὸ τοῦ ἐχθροῦ ἀπελθῶν ἤνοιξε τὴν κέλλαν τοῦ γέροντος, καὶ εἰσελθῶν ἔλαβε πάντα τα σκεύη αὐτοῦ καὶ τὰ βιβλία καὶ ἀπῆλθε.

ΥΠΟΘΕΣΙΣ Μ΄ (Να αγαπούμε και να ευεργετούμε τους εχθρούς μας)

Μετὰ δὲ βραχὺ ἐπανελθῶν ὁ γέρων, ὡς εἶδε τὸ κελλίον αὐτοῦ ἀνεωγμένον, καὶ εἰσελθῶν οὐχ εὗρε τὰ σκεύη αὐτοῦ, ἀπῆλθε πρὸς τὸν ἀδελφὸν ἀναγγείλαι αὐτὸ τὸ συμβάν. Στᾶς δὲ ἔξωθέν της κέλλης αὐτοῦ καὶ φωνήσας τὸν ἀδελφόν, ὡς εἶδε τὰ ἴδια σκεύη ἐν τῷ μέσῳ τῆς κέλλης κείμενα (οὔπω γὰρ ἔτυχεν ὁ ἀδελφὸς συστείλει αὐτά), μὴ θέλων ἐλέγξει ἢ καταισχύναι αὐτόν, προφασισάμενος χρείαν τινὰ ἀναγκαίαν, ἤγουν ὡς ὅτι ὑπὸ τῆς γαστρὸς ἐνύγη, ὑπεχώρησε τῆς κέλλης τοῦ ἀδελφοῦ καὶ ἔμεινεν ὥραν ἐκανήν, ἕως τὰ σκεύη ἐκ μέσου ποιήση ὁ ἀδελφός. Εἶτα ὑποστρέψας ἤρξατο λέγειν τῷ ἀδελφῷ περὶ τινὸς ἄλλου πράγματος, μὴ μνησθεῖς ὅλως περὶ τῆς κέλλης ἢ τῶν σκευῶν αὐτοῦ, ὧν ἀπώλεσε.

Μετὰ δὲ τίνας ἡμέρας ἐγνωρίσθησαν τὰ σκεύη τοῦ γέροντος, καὶ λαβόντες αὐτὸν τινὲς γνωστοί του γέροντος ἔβαλον εἰς φυλακήν, ἀγνοοῦντος τοῦ γέροντος. Ὁ δὲ γέρων ἀκούσας περὶ τοῦ ἀδελφοῦ ὅτι εἰς φυλακήν ἐστι, τὴν δὲ αἰτίαν μὴ εἰδῶς δι' ἣν ἐβέβλητο ὁ ἀδελφὸς εἰς τὴν φυλακήν, ἀπελθῶν πρὸς τὸν ἡγούμενος τοῦ ἔγγιστα Κοινοβίου (ἦν γὰρ καὶ αὐτῶ καὶ πάσι τοῖς ἀδελφοῖς αἰδέσιμος καὶ ἀνὴρ διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς, ὡς προείρηται), λέγει αὐτῶ" Ποίησον ἀγάπης καὶ δὸς μοὶ ὀλίγα ᾠὰ καὶ ὀλίγα καθαρά. Ὁ δὲ ἔφη αὐτὴ παρέβαλον σοὶ τινές, ἀββᾶ; Καὶ ἀπεκρίθη ὁ γέρων: ναί. Κελεύσαντος οὖν τοῦ ἡγουμένου, ἐδόθη αὐτῶ ὅσα ἤθελε καὶ λαβῶν ὁ γέρων τὰ τὲ ψωμία καὶ τὰ ᾠά, ἀπῆλθεν εἰς τὴν φυλακὴν ἐν ἢ ἦν ὁ ἀδελφὸς καὶ εἰσῆλθεν εἰς αὐτόν.

"Ο δὲ ἰδὼν τὸν γέροντα, δραμῶν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ λέγων, συγχώρησον μοὶ διὰ σὲ γὰρ εἰμι ὧδε, ὅτι ἔκλεψά σου τὰ σκεύη καὶ ἰδοὺ τὸ βιβλίον σου παρὰ τῶδέ ἐστι, καὶ τὸ μάτιόν σου παρὰ τῶδε, καὶ ἐξῆς κατέλεγε πάντα. Ὁ δὲ γέρων φησὶ πρὸς αὐτὸν πληροφορηθήτω ἡ καρδία σου, τέκνον, ὅτι οὐ διὰ ταῦτα εἰσῆλθον ὧδε οὐδὲ ἔμαθον ὅλως ὅτι δι' ἐμὲ ὧδε εἰ, ἀλλ' ἀκούσας ὅτι ἔβληθης εἰς φυλακήν, τὸ δὲ διὰ τί ἀγνοῶν καὶ λυπηθεῖς, διὰ τὴν σὴν λύπην ἦλθον ποιῆσαι σοὶ παράκλησιν, καὶ ἰδοὺ ἴδε τὰ ᾠὰ καὶ τὰ καθαρά, καὶ διὰ σὲ ἤνεγκα. 'Άλλ' ἐπεῖ ἔμαθον ὅτι δι' ἐμὲ κατέχει ὧδε, πάντα ποιήσω ἕως ού, βοηθεῖα Θεοῦ, ἐκβάλω σὲ ἐκ τῆς φυλακῆς. Καὶ ἀπελθῶν, παρεκάλεσε τίνας τῶν ἐνδόξων του κόσμου (ἦν γὰρ καὶ τοῖς τοιούτοις γνωστὸς ὁ γέρων διὰ τὴν αὐτοῦ ἀρετὴν) καὶ ἀποστείλαντες ἐξέβαλον τὸν ἀδελφὸν ἐκ τῆς φυλακῆς.

Ερμηνεία

Ο ΙΣΑΑΚ διηγείτο διά τον διδάσκαλόν του, τον 'Αββάν Μώτιον, ότι ο Γέροντάς του έκτισε πρώτα Μοναστήριον εις την Ηρακλάν. Μόλις ανεχώρησεν απ' εκεί, επήγεν εις άλλον τόπον και έκτισε πάλιν εκεί κατά διαβολικήν όμως ενέργειαν ευρέθη εκεί κάποιος αδελφός, ο οποίος τον εχθρεύετο και τον έστενοχώρει. Και ανεχώρησε και απ' εκεί ο Γέρων εις το χωρίον του και έκαμε διά τον εαυτόν του ένα Μοναστήρι ασκητήριον και έκλείσθη μέσα εις αυτό.

ΥΠΟΘΕΣΙΣ Μ΄ (Να αγαπούμε και να ευεργετούμε τους εχθρούς μας)

Μετά αρκετον χρόνον οι Γέροντες του τόπου από τον οποίον ανεχώρησεν, έβγήκαν και, αφού επήραν και τον αδελφόν, που είχεν έχθραν εναντίον του, επήγαν να τον παρακαλέσουν να επιστρέψη είς το Μοναστήριόν του. "Οταν επλησίασαν εκεί όπου ήτο ο 'Αββάς Σώρης, άφησαν εκεί κοντά τα επανωφόριά τους, μαζί με τον αδελφόν που είχε την λύπην και ήλθαν εις τον 'Αββάν Μώτιον. Μόλις εκτύπησαν την θύραν του ασκητηρίου, ανέβηκεν ο Γέρων μίαν μικράν σκάλαν και έσκυψε να ίδη προς τα έξω αμέσως τους ανεγνώρισε και τους είπεν:

– Πού είναι τα επανωφόρια σας; – Τα έχομεν αφήσει εκεί, μαζί με τον τάδε αδελφόν.

Καθώς ήκουσεν ο Γέρων το όνομα του αδελφού, ο οποίος τον είχε λυπήσει, επηρε χαρούμενος ένα τσεκούρι, κατέστρεψε την θύραν τού ασκητηρίου και έβγήκε τρέχων να συναντήση τον αδελφόν. Μόλις τον είδε, του έβαλε πρώτος μετάνοιαν, τον ήσπάσθη και τον οδήγησε μέσα είς το κελλί του. Εν συνεχεία, επί τρείς ημέρας τους επεριποιήθη και ηύφράνθη και αυτός μαζί των, πράγμα που δεν συνήθιζε να το κάμη. Κατόπιν επήγε μαζί των και αργότερα έγινεν Επίσκοπος, διότι έκαμνε θαύματα. Ο μακάριος Κύριλλος έκαμεν Επίσκοπον και τον μαθητής του Ισαάκ.

2. Ο Αββάς Ποιμήν είπε: Ποτέ ή πονηρία δεν εξαφανίζει την πονηρίαν· αλλά αν κάποιος σε κακοποιήση, ευεργέτησέ τον, διά να εξαφανίσης την πονηρίαν με την ευεργεσίαν.

3. Κάποιος φιλόχριστος παρεδόθη εις το μαρτύριον από την δούλην του καθώς λοιπόν τον οδηγούσαν δια να θανατωθή, είδε την δούλην, η οποία τον παρέδωσε, και αμέσως έβγαλε το χρυσόν δακτυλίδι, που εφορούσε και της το έδωσε.

– Σε ευχαριστώ – της είπε – διότι μου επροξένησες τέτοια αγαθά.

4. Διηγούντο διά κάποιον αδελφόν, ο οποίος έγειτόνευε με ένα μεγάλον Γέροντα, τα εξής: Εισήρχετο εις το κελλί του Γέροντος και έκλεπτεν: ο Γέρων το έβλεπεν αυτό, αλλά δεν τον ήλεγχεν. Εργάζετο περισσότερον και έλεγεν: ίσως ο αδελφός έχει ανάγκην. Έστενοχωρείτο πολύ Ο Γέρων, διότι με δυσκολίαν εξοικονομούσε τον άρτον του. Όταν επρόκειτο να αποθάνη, έμαζεύθησαν γύρω του οι αδελφοί: μόλις είδεν ο Γέρων εκείνον, ο οποίος τον έκλεπτε του λέγει:

– Πλησίασε με και κατεφίλησε τα χέρια του. Ευχαριστώ αυτά τα χέρια -- συνέχισε – διότι με την βοήθειάν των πηγαίνω εις την Βασιλείαν των Ουρανών.

Με τα λόγια αυτά συνεκινήθη βαθειά ο αδελφός εκείνος και μετενόησεν. "Υστερα έγινε και δόκιμος Μοναχός παραδειγματισθείς από τας καλές πράξεις, που έκαμεν ο μεγάλος Γέρων.

5. "Ένας Γέρων είπεν: αν ακούσης ότι κάποιος σε μισεί ή σε υβρίζει, στείλε ή δώσε εις αυτόν μικράν ευλογίαν, όσην ημπορείς, διά νά έχης το θάρρος να είπης κατά την ώραν της Κρίσεως: συγχώρεσε, Δέσποτα, τα σφάλματά μας, όπως και ημείς εσυγχωρήσαμεν εκείνους που μας είχαν λυπήσει (Ματθ. στ΄, 12).

6. Ένας αδελφός οδοιπορούσε και έχασε τον δρόμον ηρώτησε λοιπόν κάποιους να του τον δείξουν. Εκείνοι όμως, επειδή ήσαν κακούργοι, τον παραπλάνησαν προς ερημικούς τόπους. Ένας από τους κακούργους τον ηκολούθησε, διά να τον ληστεύσης εις κάποιο λοιπόν σημείον τον παρακινούσε να περάσουν μίαν διώρυγα, οπόταν έξαφνα ένας κροκόδειλος ώρμησεν εναντίον του ληστού. Μόλις ο αδελφός είδε το θηρίον να ορμά δεν έμεινεν αδιάφορος, αλλ' εφώναξε προς τον ληστήν, διά να του φανερώση την επίθεσιν του θηρίου.

Ο ληστής έφυγε γρήγορα και εγλύτωσε. Μετά από αυτό ηυχαρίστησε τον αδελφόν επειδή εθαύμασε την αγάπην του.

7. Ένας Γέρων είπεν: αν ενθυμηθής εκείνον που σε έστενοχώρησεν ή σε προσέβαλεν ή σε έζημίωσε, πρέπει να τον θεωρήσης ως ιατρον τον οποίον σου έστειλεν ο Χριστός και να τον θεωρής ως ευεργέτην διότι αυτό, δηλαδή η λύπη, την οποίαν δοκιμάζεις όταν τον ενθυμείσαι, φανερώνει ότι η ψυχή σου είναι άρρωστη. Αν δεν ήσουν άρρωστος, δεν θα υπέφερες. Πρέπει λοιπόν να ευχαριστής τον αδελφόν και να εύχεσαι δι' αυτόν, επειδή απ' αυτόν έμαθες την ασθένειάν σου και να δέχεσαι την συμπεριφοράς του ως φάρμακα θεραπευτικά, τα οποία σου έστειλεν ο Ιησούς. "Αν πάλιν λυπείσαι εναντίον του αδελφού, είναι ωσάν να λέγης εις τον Ιησούν δεν θέλω να δεχθώ τα φάρμακά σου, αλλ' επιθυμώ να σαπήσω από τας πληγάς μου.

Εκείνος λοιπόν που θέλει να θεραπευθή από τα ψυχικά του τραύματα, οφείλει να υπομένη αυτά που του δίδει ο ιατρός, οποιαδήποτε και αν είναι. Διότι ούτε και εκείνος που είναι άρρωστος σωματικά, ευχαριστείται να του κόπτουν τις σάρκας του ή να τον καυτηριάζουν ή να πίνη καθάρσιον: απ' εναντίας αηδιάζει, όταν τα ενθυμήται. Επειδή όμως έπείσθη ότι είναι αδύνατον να απαλλαγή με άλλον τρόπον από την αρρώστιαν παρά μόνον με τα φάρμακα αυτά, τα υποφέρει με γενναιότητα

και ευχαριστεί τον ιατρόν γνωρίζει ότι με την μικράν αυτήν αηδίαν θα απαλλαγή από πολυχρόνιον ασθένειαν.

Καυτήριον του Ιησού Χριστού είναι εκείνος που σε προσβάλλει, ή σε υβρίζει, αλλά σε απαλλάσσει από την κενοδοξίαν. Καθαρτικόν του Ιησού είναι εκείνος που σου προξενεί ζημίαν ή σε υβρίζει, αλλά σε απαλλάσσει από την πλεονεξίαν. Αν λοιπόν αποφεύγης ένα ωφέλιμον πειρασμόν, είναι ωσάν να αποφεύγης την αιώνιον ζωήν ποίος άλλος έχάρισεν εις τον Άγιον Στέφανον τόσον μεγάλην δόξαν, από όσην του επροξένησαν εκείνοι που τον έλιθοβόλησαν;

8. Κάποιος, ονομαζόμενος Αλέξανδρος, έγινε Πατριάρχης εις την Θεούπολιν[(*)]. Ένας από τους γραμματείς του έκλεψε τα χρυσά νομίσματα τα οποία είχε δια τα έξοδα της Εκκλησίας και έφυγεν. Αυτός αφού περιεπλανήθη, έπεσεν εις τα χέρια άνημέρων βαρβάρων Αίγυπτίων, οι οποίοι του επήραν το χρυσάφι και τον οδήγησαν εις τα βάθη της χώρας των. Μόλις το έμαθεν αυτό ο Πατριάρχης, έστειλε και τον εξηγόρασε με ογδόντα πέντε νομίσματα. "Οταν επέστρεψεν οπίσω, τον μετεχειρίσθη τόσον ευσπλαγχνικά και φιλάνθρωπο, ώστε μερικοί από τους κατοίκους της πόλεως να ειπούν κατάπληκτοι: δεν υπάρχει περισσότερον ωφέλιμον πράγμα από το να διαπράττη κανεις αμαρτίας προς εκείνον τον Πατριάρχην.

9. Ο Μακάριος Ζωσιμάς διηγήθη την εξής ιστορίαν: Ένας Γέρων έγειτόνευε με κάποιο Κοινόβιον. Ητο πάρα πολύ καλός και πράος: δι' αυτό και οι Κοινοβιάται τον υπεραγαπούσαν και τον έσέβοντο. Κοντά εις τον Γέροντα κατοικούσε και κάποιος αδελφός. Μίαν ημέραν λοιπόν, κατά την οποίαν απουσίαζεν ο Γέρων, ο αδελφός, παρακινούμενος από τον διάβολον, επήγε και άνοιξε το κελλί του Γέροντος, εισήλθεν εις αυτό, επήρεν όλα τα σκεύη και τα βιβλία και έφυγε.

Μετ' ολίγον επέστρεψεν ο Γέρων. Είδεν ανοιγμένο το κελλί του, εισήλθε και δεν εύρήκε τα σκεύη αυτού. Έφυγε λοιπόν αμέσως και μετέβη προς τον αδελφόν, διά να του αναγγείλη αυτό που συνέβη. Έστάθη έξω από το κελλί του και εφώναξε τον αδελφόν. Μόλις όμως είδε τα πράγματά του είς το μέσον του κελλιού (διότι ο αδελφός δεν είχε προφθάσει να τα συμμαζεύση) και επειδή δεν ήθελε να τον ελέγξη, ή να τον εντροπιάση, επροφασίσθη κάποιαν ανάγκην, δηλαδή πονόκοιλον· έτσι έφυγες από το

[(*)] Θεούπολις ωνομάσθη υπό του Ιουστινιανού η Αντιόχεια, όταν ανωκοδομήθη μετά την καταστροφής της (βλ. και υποσημείωσιν α' της σελ. 492 του Α' τόμου του «Ευεργετινού»). Εις ταύτην έγινε πατριάρχης κατά το 695–702 και 'Αλέξανδρος Β'. Δεν δυνάμεθα όμως να είπωμεν μετά βεβαιότητος εάν εις την υπόθεσιν ταύτην πρόκειται περί του ανωτέρω Πατριάρχου Αντιοχείας.

κελλί του αδελφού και έμεινεν αρκετήν ώραν παράμερα, μέχρις ότου πάρη τα πράγματα από την μέσην ο αδελφός. Κατόπιν επέστρεψε και ήρχισε να λέγη εις τον αδελφόν δι' άλλα πράγματα, χωρίς να κάμη καθόλου λόγον διά το κελλί ή τα σκεύη που έχασε.

Μετ' ολίγας ημέρας ανεγνωρίσθησαν τα σκεύη του Γέροντος από κάποιους γνωστούς εκείνοι συνέλαβαν τον αδελφόν που τα έκλεψε, χωρίς να το γνωρίζη ο Γέρων, και τον έβαλαν εις την φυλακήν. Μόλις επληροφορήθη ο Γέρων, ότι ευρίσκεται εις την φυλακήν ο αδελφός, και χωρίς να γνωρίζη την αιτίαν, διά την οποίαν έφυλακίσθη, επήγεν εις τον Ηγούμενον του γειτονικού Κοινοβίου (διότι και ο Ηγούμενος και όλοι οι άδελφοι τον έσέβοντο, διά το μέγεθος της αρετής του, όπως ελέχθη προηγουνως) και του λέγει: κάμε αγάπης και δώσε μου όλίγα αυγά και όλίγα παξιμάδια.

– Σε επεσκέφθησαν ξένοι, Αββάς τον έρωτά ο Ηγούμενος. – Μάλιστα, απήντησεν ο Γέρων.

Ο Ηγούμενος διέταξε τότε και του εδόθησαν όσα ήθελε. Αφού λοιπόν ο Γέρων επήρε τα παξιμάδια και τα αυγά, επήγεν εις την φυλακήν, όπου ήτο κλεισμένος ο αδελφός και εισήλθεν εις αυτήν.

Μόλις τον είδεν ο αδελφός έτρεξε και έπεσεν εις τα πόδια του.

– Συγχώρεσέ με, του λέγει· διότι εξ αιτίας σου ευρίσκομαι εδώ, επειδή σου έκλεψα τα πράγματα. Το βιβλίον σου ευρίσκεται εις τα χέρια του τάδε και το ιμάτιόν σου εις τον τάδε και εν συνεχεία τα είπεν όλα.

Ο Γέρων τότε του απήντησεν:

- Ας ησυχάση, τέκνον μου, η καρδία σου, διότι δεν ήλθα εδώ δι' αυτά. Ούτε και έμαθα καθόλου ότι δι' εμέ ευρίσκεσαι εδώ ήκουσα ότι έφυλακίσθης, χωρίς να γνωρίζω το διατί. Και επειδή ελυπήθην διά την στενοχωρίαν σου, ήλθα εδώ να σε παρηγορήσω ολίγον νά, ιδε και τα αυγά και τα παξιμάδια που έφερα δια σέ. 'Αφού όμως τώρα επληροφορήθηκα, ότι εξ αιτίας μου κρατείσαι εδώ, θα κάμω το πάν, μέχρις ότου, με την βοήθειαν του Θεού, σε βγάλω έξω από την φυλακήν.

Πράγματι δε έφυγε και παρεκάλεσε μερικούς από τους ισχυρούς του κόσμου (διότι και εις αυτούς ήτο γνωστός ο Γέρων διά την αρετήν του) και εκείνοι έστειλαν και απεφυλάκισαν τον αδελφόν.

ΥΠΟΘΕΣΙΣ ΜΑ'
(Δεν πρέπει να μισώμεν κανένα άνθρωπον)

Οτι ου δεί τινα άνθρωπον μισείν.

Οτι δεν πρέπει να μισώμεν κανένα άνθρωπον.

Α΄. Εν τω Γεροντικώ

ΑΔΕΛΦΟΣ παρέβαλε τὸ ἀββᾶ Ποιμένι καὶ συγκαθεζομένων τινῶν καὶ ἄλλων, ἐπήνεσε τινὰ ἀδελφόν, εἶπων ὅτι μισοπόνηρός ἐστι. Καὶ λέγει αὐτῶ ὁ ἀββᾶς Ποιμήν: τί ἐστι μισοπονηρία; Ὁ δὲ ἀδελφὸς σπόρησε καὶ οὐχ εὗρεν ἀποκριθῆναι αὐτό. Ἀναστᾶς δὲ μετενόησε τὸ γέροντα λέγων εἶπε μοὶ 'Ἀββᾶ, τί ἐστι μισοπονηρία; Καὶ ἀπεκρίθη ὁ γέρων" μισοπονηρίαν ἐκεῖνος κατώρθωσεν, ὅστις τὰς ἁμαρτίας αὐτοῦ ἐμίσησε καὶ τὸν πλησίον ἐδικαίωσε.

Ερμηνεία

ΕΝΑΣ αδελφός έπεσκέφθη κάποτε τον Αββάν Ποιμένα καθώς δε εκάθηντο με μερικούς άλλους, επήνεσε κάποιον αδελφόν. Είναι –είπε – μισοπόνηρος.

- Τι είναι μισοπονηρία; τον έρωτά ο Αββάς Ποιμήν.

Ο αδελφός τα έχασεν από την ερώτησιν αυτήν, και δεν εύρήκε κατάλληλον απάντησιν. Αμέσως τότε εσηκώθη, έβαλε μετάνοιαν εις τον Γέροντα και του είπε:

-Αββά, τι είναι μισοπονηρία; Και ο Γέρων απήντησε:

– Την μισοπονηρίαν κατώρθωσε να εφαρμόση εκείνος που εμίσησε τας αμαρτίας του και εδικαίωσε τον πλησίον του.

Β'. Του Αγίου Διαδόχου

ΤΗι θεοφιλεῖ ψυχὴ πολλὰ μὲν τὴν ἀρχὴν διενοχλεῖ πάθη, πλέον δὲ πάντων ὁ θυμὸς καὶ τὸ μῖσος. Τοῦτο δὲ πάσχει οὐ τοσούτον διὰ τοὺς ἐνεργοῦντας ταῦτα δαίμονας, ὅσον διὰ τὴν οἰκείαν προκοπήν. Ἕως μὲν γὰρ ἡ ψυχὴ τῷ τοῦ κόσμου φρονήματι συνεπάγεται, κὰν ὅπως ἂν ἴδῃ τὸ δίκαιον παρὰ τινῶν καταπατούμενον, ἀκίνητος καὶ

ἀτάραχος μένει" τῶν γὰρ ἰδίων ἐπιθυμιῶν φροντίζουσα, εἰς τὸ δίκαιον οὐκ ἀφορᾷ τοῦ Θεοῦ. "Ὅτε δὲ τῶν ἔαυτης ἐπάνω ἄρξεται γίνεσθαι παθῶν, οὔτε ἐν ὀνείρῳ τὸ δίκαιον ἰδεῖν ἀθετούμενον φέρει, διὰ τὲ τὴν τῶν παρόντων καταφρόνησιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, ἀλλὰ χολᾶ κατὰ τῶν κακούργων καὶ ταράττεται, ἕως ὅτε ἴδῃ τοὺς ὑβριστὲς τῆς δικαιοσύνης εὐσεβεῖ λογισμῶ τῷ ταύτης ἀπολογουμένους ἀξιώματι.

Διὰ τοῦτο οὖν τοὺς μὲν ἀδίκους μισεῖ, τοὺς δὲ δικαίους ὑπεραγαπᾷ συνάρπακτον γὰρ πάντως τὸ ὄμμα τῆς ψυχῆς γίνεται, ὅταν τὸ ἑαυτῆς παραπέτασμα, τὸ σῶμα, λέγω, εἰς λεπτότητα πολλὴν διὰ τῆς ἔγκρατειας ἐξυφάνη' πλὴν κρεῖττόν ἐστι πολύ του μισεῖν τοὺς ἀδίκους, τὸ κλείειν τὴν αὐτῶν ἀναισθησίαν. Εἰ γὰρ κακείνοι μίσους ὑπάρχουσιν ἄξιοι, ἀλλὰ τὴν φιλόθεον ψυχὴν ὁ λόγος οὐ θέλει ὑπὸ μίσους ὄχλεισθαι, ἐπειδὴ μίσους ἔμπαροντος τὴ ψυχὴ οὐκ ἐνεργεῖ ἡ γνῶσις.

Ερμηνεία

ΤΗΝ ψυχήν που αγαπά τον Θεόν ενοχλούν εις την αρχήν πολλά πάθη περισσότερον δε από όλα ο θυμός και το μίσος. Υποφέρει δε αυτό, όχι τόσον εξ αιτίας των δαιμόνων, που τα ενεργούν, αλλά διά την ιδικήν της προκοπήν. Διότι εφ' όσον ακόμη η ψυχή παρασύρεται από το κοσμικον φρόνημα, έστω και να ιδή να καταπατήται το δίκαιον από μερικούς, αυτή παραμένει ακίνητος και ατάραχος· διότι φροντίζει διά τάς ιδίας έπιθυμίας και δεν προσέχει εις το δίκαιον του Θεού. Όταν όμως αρχίση να γίνεται ανωτέρα από τα πάθη της, ούτε εις το όνειρόν της δεν ανέχεται να βλέπει ότι καταπατείται το δίκαιον του Θεού, διότι έχει πλέον καταφρονήσει τα παρόντα και αγαπά μόνον τον Θεόν: απ’ εναντίας στενοχωρείται και ταράσσεται κατά των κακούργων, μέχρις ότου ίδη τους υβριστής της δικαιοσύνης να απολογούνται με ευσεβείς σκέψεις ενώπιον του αξιώματός της.

Διά τούτο τους μεν αδίκους μισεί, υπεραγαπά δε τους δικαίους διότι το βλέμμα της ψυχής συναρπάζεται εξ ολοκλήρου, όταν κάνη πολύ λεπτόν, με την έγκράτειαν, το παραπέτασμά της, δηλαδή το σώμα. Ωστόσον είναι πολύ καλύτερον, αντί να μισώμεν τους αδίκους, να κλαίωμεν δια την αναισθησίαν των. Διότι αν και είναι άξιοι μίσους εκείνοι οι άδικοι, αλλά το λογικόν δεν θέλει να ενοχληται από το μίσος ή φιλόθεος ψυχή, επειδή όταν το μίσος κυριεύση την ψυχήν, δεν ενεργεί μέσα της η γνώσις του Θεού.

Γ'. Του 'Αββά Ισαάκ

ΜΗ μισήσης τον αμαρτωλόν πάντες γάρ εσμεν υπεύθυνοι και εάν διά τόν Θεόν κινή κατ' αυτού, κλαύσον υπέρ αυτού και μη μισήσης αυτόν, αλλά τας αμαρτίας αυτου μίσησον υπέρ δέ αυτού εύξαι, ίνα ομοιωθής τα Χριστώ, ός ουκ ήγανάκτει κατά των αμαρτωλών, αλλ' υπερηύχετο, έκλαυσε δε και υπέρ της Ιερουσαλήμ. Και ημείς δε εν πολλοίς υπό του διαβόλου καταγελώμεθα, και διατί τον καθ' ημάς κατά γελασθέντα υπό του κοινού εχθρού σισήσομεν και βδελυξόμεθα; Ει δε διά τούτο μισείς τον αμαρτωλόν, ότι ουκ έστι δίκαιος κατά σέ, εκ τούτου δεικνύεις ότι και συ αμαρτωλός εί, μή έχων αγάπην δ δε της αγάπης έστερημένος, εστέρηται του Θεού. ήπερ ο Θεός έστιν η αγάπη.

Μή ούν μίσει ή καταδίωκε τον αμαρτωλόν, αλλά διά της συμπαθείας γενού κήρυξ της αγαθότητος του Θεού, ός ανάξιόν σε όντα κυβερνά και ουκ απορρίπτει ουδέ βδελύσσεται, ουδε την εκδίκησιν επάγει των πολλών και μεγάλων σου όφλημάτων. Μίμησαι ούν και συ κατά το δυνατόν την αυτού εύσπλαγχνίαν και αγαθότητα και γενού οικτίρμων προς τον ομόδουλον, ίνα τη μικρά συμπαθεία την μεγίστην παρά Θεού αντικομίση συμπάθειαν. . εικος.

Ερμηνεία

ΝΑ μη μισήσης τον αμαρτωλόν, διότι όλοι είμεθα υπεύθυνοι. Και αν παρακινήσαι εναντίον του από ζήλον Θεού, να κλαύσης διά τον αμαρτωλόν και να μη τον μισήσης, αλλά να μισήσης τας αμαρτίας του. Να προσευχηθής δι' αυτόν, διά να ομοιάσης με τον Χριστόν, ο Οποίος δεν αγανακτούσεν εναντίον των αμαρτωλών, αλλά ηύχετο περισσότερον δι' αυτούς και έκλαυσε διά την Ιερουσαλήμ (Ματθ. κγ', 37). Και ημείς εξαπατώμεθα, εις πολλές περιπτώσεις, από τον διάβολον διατί λοιπόν να μισήσωμεν και να αποστραφώμεν εκείνον που εξηπατήθη και εγελάστηκεν από τον κοινόν μας εχθρόν; "Αν μισής τον αμαρτωλόν δι' αυτό, ότι τάχα δεν είναι, κατά την γνώμην σου, δίκαιος, δεικνύεις με αυτό ότι και συ είσαι αμαρτωλός, επειδή δεν έχεις αγάπην εκείνος δε που έχει αποστερηθή την αγάπην, έχει χάσει και τον Θεόν, διότι ο Θεός είναι κυρίως αγάπη.

Μη μισης λοιπόν και μη καταδιώκης τον αμαρτωλόν, αλλά με την συμπάθειάν σου προς αυτόν γίνε κήρυξ της αγαθότητος του Θεού, ο Οποίος, αν και είσαι ανάξιος, σε κυβερνά και δεν σε παραπετα ούτε σε αποστρέφεται λόγω των πολλών και μεγάλων σου αμαρτημάτων. Μιμήσου λοιπόν και σύ, όσον ήμπορείς, την ευσπλαγχνίαν Του και

την αγαθότητά Του και γίνε οικτίρμων προς τον σύνδουλόν σου, δια να κερδίσης από τον Θεόν την μεγίστην συμπάθειάν Του, με την μικράν ιδικήν σου συμπάθειαν.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄
(Πόσο ολέθρια είναι η μνησικακία)

Ὅτι ὀλέθριον ἡ μνησικακία καὶ οὐ μόνον πᾶσαν ἐργασίας πνευματικῆς ἀχρειοί, ἀλλὰ καὶ τὴν τοῦ Θεοῦ ἀποστρέφει συμπάθειαν, καὶ πῶς δεῖ κατ' αὐτῆς ἵστασθαι.

Ότι η μνησικακία είναι ολέθριον πράγμα και όχι μόνον καταστρέφει οποιανδήποτε πνευματικής εργασίας, αλλά αποκλείει και την συμπάθειας του Θεού και πώς πρέπει να την αντιμετωπίζωμεν.

Α'. Εν τω Μαρτυρίω του Αγίου Νικηφόρου

ΑΝΗΡ ΤΙΣ ἱερεὺς Σαπρίκιος ὄνομα φίλον εἶχεν εἰς τὰ μάλιστα τὸν μακάριον Νικηφόρον, λαϊκὸν ὄντα. Τοσαύτη δὲ ἀμφοτέροις ἦν ἡ ἀγάπη, ὡς δοκεῖν ἑκάτερον ἐν τῇ τοῦ ἑτέρου ψυχὴ ζῆν" φθόνω δὲ τοῦ ἐχθροῦ πρᾶγμα τί συμπεσόν, πᾶσαν ἐκείνην τὴν φιλίαν διέλυσε καὶ εἰς φανεραν ἔχθραν αὐτοὺς ἐξήγαγε καὶ τοσούτον, ὡς μηδὲ ὑπομένειν ἑκάτερον τοῖς ἰδίοις ὀφθαλμοῖς προσβλέψαι τὸν ἕτερον, ἀλλ' εἰ ποὺ αὐτὸ συναντήσοι, ἀποστρέφειν τὰς ὄψεις καὶ τὴν θέαν αὐτὴν βδελυττόμενον. Καὶ γὰρ πεφύκασιν αἱ μεγάλαι φιλίαι, πρὸς ἀπέχθειαν ἐκτραπεῖσαι, ἀνάλογον ἐκ τῆς ἐναντίας γνώμης ἐπιδείκνυσθαι καὶ τὸ μῖσος. 'Ἀλλ' ὁ μακάριος Νικηφόρος, ἡ ἀγαθὴ καὶ ἐπιεικὴς καὶ συμπαθεστάτη ψυχή, ταχέως τοῦ πάθους ἀνενεγκῶν, καὶ τὸν αἴτιον αὐτοῦ, ὃς τὶς εἴη, μὴ ἀγνοήσας, τὸ τῆς ἀγάπης καλὸν θερμῶς αὖθις καὶ σπουδαίως ἀνεκαλεῖτο, πρῶτα μὲν διὰ τινῶν γνωρίμων τα φίλω διαπρεσβευόμενος καὶ ἑαυτῷ ἐπιρρίπτων τὴν αἰτίαν τοῦ σφάλματος, καὶ συγγνώμην θερμῶς ἐξαιτούμενος. Ἔπειτα ὡς ἐκεῖνος ἀκαμπὴς ἦν καὶ ἀμείλικτος καὶ τὴν ἔχθραν διέλυεν οὐδαμῶς, καὶ ταῦτα καὶ ἱερεὺς ὢν καὶ θύτης, καὶ μαθητὴς τοῦ εἰρηνικοῦ τὲ καὶ ἀμνησικάκου Χριστοῦ, καὶ μετὰ τῶν ἄλλων καὶ περὶ ἄμνησικακιας ἀεὶ τὸν ὑπ' αὐτὸν διδάσκων λαόν, αὐτὸς ἐκεῖνος ὁ γλυκὺς Νικηφόρος τῷ Σαπρικίῳ ἐν ἐπιτηδείῳ καιρῷ προσελθῶν, καὶ πεσῶν πρὸς τοὺς ἐκείνου ποσί, καὶ δάκρυσι θερμοῖς ἱκέτευεν ἀφεῖναι αὐτὴ τὴν ἔχθραν καὶ τὴν προτέραν φιλίαν ἀναλαβεῖν.

Ἀλλ' ὁ Σαπρίκιος μηδὲν πρὸς ταῦτα παθῶν ἢ καθυφεῖς τῆς ὀργῆς, καίτοι ἐκεῖνος τὴν τοῦ σκανδάλου παρασχῶν πρόφασιν, διωσάμενος τοῦτον εὐθὺς ἀντιπαρῆλθε, μήτε λόγου μήτε προσρήσεως ἢ κὰν ψιλοῦ βλέμματος μεταδοὺς τῶν φίλω.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄ (Πόσο ολέθρια είναι η μνησικακία)

Οὕτως οὖν ἐχόντων αὐτῶν πρὸς ἀλλήλους καὶ τοῦ μὲν παντὶ τρόπῳ ἀνακαλουμένου τὴν προτέραν φιλίαν, τοῦ δὲ τὸ μῖσος μὴ διαλύοντος, διωγμὸς κατὰ Χριστιανῶν αὖθις ἠγείρετο Ἰουλιανοῦ βασιλεύσαντος καὶ προστάξαντος πάντας τους ὑπ' αὐτὸν Χριστιανούς, εἰ μὴ ἐξόμνυνται τὴν εὐσέβειαν, κολάζεσθαι σφόδρα καὶ ἀναιρεῖσθαι.

Τοῦ οὖν τοιούτου προστάγματος καὶ τὴν πόλιν καταλαβόντος, ἐν ᾗ κατώκουν ἄμφω Νικηφόρος τὲ καὶ Σαπρίκιος, ὁ Σαπρίκιος διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ἐπισημότερος ὤν, κρατηθεῖς εὐθύς, δίκας ὑπὸ τοῦ ἡγεμόνος ἐπράττετο καὶ τὴν εὐσέβειαν ἐξόμνυσθαι ἔβιαζετο. Ὡς δὲ ἐκεῖνος γενναίως ἔνιστατο καὶ τὴ ἀσεβεῖα συνθέσθαι ὅλως οὐκ ἐπείθετο, ὁ ἡγεμὼν ἀπογνοὺς πάσης πειθοῦς, ἐχώρει πρὸς τιμωρίας. Καὶ πρῶτα μὲν ἐμβάλλει κοχλία τινὶ χαλεπῶ τὸν Σαπρίκιον, οὗτος δὲ μηχανήμασι καὶ τέχναις περιελκόμενος καὶ στρεφόμενος, ἔδοκει μὲν πάσιν ὑπολύσαι τὸν τόνον αὐτῶ τῆς ἐντάσεως, ἢ γοῦν ἀλλὰ πᾶν αὐτῶ δαπανῆσαι τὸ σῶμα καὶ ἀναλώσαι, καὶ τέλος βιαιότατα τῆς παρούσης αὐτὸν ἀποστερῆσαι ζωῆς. Ἐπει δὲ καὶ πρὸς τὸ σφοδρὸν ἐκεῖνο τῆς βασάνου διεκαρτέρει καὶ οὐδὲ ὅλως ὑφίετο τῆς ὁμολογίας, πᾶσαν ἐλπίδα μεταβολῆς καὶ διώκτης ἀπαγορεύσας, τὴν τοῦ θανάτου κατ' αὐτοῦ δίδωσι ψῆφον, ξίφει αὐτὸν ἀναιρεθῆναι προστάξας.

Ὁ μὲν οὖν ἤγετο τὴν ἐπὶ θανάτω Νικηφόρος δὲ ταῦτα μὴ ἀγνοήσας, ἀλλὰ γνοὺς τὸν Σαπρίκιον τὴν ἐσχάτην τρῖβον. ἀνύοντα, καὶ νῦν αὐτοῦ μάλιστα καιρὸν ἔσεσθαι νομίσας τοῦ ποθουμένου πράγματος τῆς διαλλαγῆς, ἅπτεται τῶν ἐκείνου ποδῶν ἀθρόον ἐπιφανεῖς, καὶ θερμοτατα δεῖται καὶ ἐκετεύει μὲ τὸν φίλον καταλιπεῖν ἀσυγχώρητον, ἀλλὰ συγγνώμην νείμαι τὰ ἁμαρτήματα. Καὶ ὁ μὲν οὗτος ἱκέτευε τῶν ἐκείνου ποδῶν δάκρυα θερμὰ καταχέων' ὁ δέ, ὢ ψυχῆς φιλανθρώπου καὶ ἀνημέρου! οὐδ' ἐρριμμένη πρὸς τοὺς πασὶν ἐπεστράφη τὸ φίλω, οὐδὲ πάθει τοσούτω καὶ ὀδυρμοῖς ἐπεκλάσθη, ἀλλὰ κηρῶ μνησικακίας τὰ ὦτα φραξάμενος, συντομώτερον ἔτι μᾶλλον εἴχετο τῆς πορείας, τὰς συμπαθεῖς του φίλου δεήσεις καὶ ἀνακλήσεις ἀντιπαρελθεῖν ἐπειγόμενος.

Ὁ δὲ θαυμαστὸς Νικηφόρος μηδ' οὕτως ἀπαγορεύσας, τὴν ἐπιτομωτέραν τραπόμενος καὶ κατατείνας ἑαυτόν, ἢ ποδῶν εἶχε πρὸς τὴν πορείαν, προϋπαντᾷ πάλιν ἀνὰ τὴν πόλιν αὐτῶ τὰς αὐτᾶς ἢ καὶ περιπαθεστέρας ἱκετηρίας, οὐ γλώττη καὶ χείλεσιν, ἀλλὰ γυμνὴ καθάπερ τὴ ψυχὴ ποιούμενος καὶ μέλεσι πάσι, καὶ σχήμασι, καὶ πλουσία δακρύων ἐπιρροή, τὸν ἔλεον ἐκκαλούμενος. Ὁ δὲ κωφὸς ἦν ἔτι πρὸς ταῦτα λίθω παντάπασιν ἔοικως καὶ οὕτω δυσμενῶς καὶ ὀργίλως ἔχων, καὶ τὴ θυμῶ καθάπερ ἐξεστηκῶς, τὸν τῆς τελειώσεως τόπον κατέλαβεν.

Ἐπειδὴ δὲ χεῖρες δημίων το ξίφος ἐπανεπείγοντο, καὶ ὑποσχεῖν ὅσον οὔπω ἔμελλε τὸν αὐχένα Σαπρίκιος, ὑπὲρ κεφαλῆς τὲ ἦσαν οἱ στέφανοι καὶ λαμπρῶς μεταβῆναι πρὸς τὸν ἀγωνοθέτην ηὔτρεπιστο, τὸ μὲν γόνυ κλίναι πρὸς τὴν ἐκτομὴν ὑπὸ τῶν δημίων

ἐπέσκηπτο, ὁ δὲ δεινῶς τὴν ψυχὴν τῷ τῆς μνησικακίας σκότῳ πεπληρωμένος, καὶ τῶν ἐν χερσίν, ὡς πὲρ ἐπιλαθόμενος καὶ ἀγνοῶν ἐν οἷς εἴη, τὴν αἰτίαν ἤρωτά της ἀναιρέσεως, οἵα τὶς ἐξεστηκῶς καὶ φρενῶν ἔρημος. Τῶν δὲ ἀποκριναμένων ὅτι βασιλικῶν ἀλογήσας ἐπιταγμάτων, θύσαι τοὺς ἐκείνων οὐκ ἐπείσθης θεούς, ὢ τῶν ἐμῶν κακῶν! ὢ τοῦ χαλεποῦ της μνησικακίας πτώματος! ἕνα των κατεχόντων αὐτὸν ἀπίστων ἀνομολογεῖ ἑαυτὸν καὶ Σαπρίκιος καὶ ὑπὸ τοϊς ἁπάντων ὀφθαλμοϊς ἀναίδην ἐξόμνυται τὴν εὐσέβειαν.

Τοῦτο ὁ θεῖος Νικηφόρος ἰδών, μεῖζον τὴν ψυχὴν ὀδυνᾶται καὶ θερμοτερον ἔτι μᾶλλον προσελιπάρει Σαπρίκιον, μή, ἀδελφέ, λέγων, καὶ πάτερ, μὴ θελήσης προδοῦναι Θεόν, ὅς σε καὶ εἰς τὸ εἶναι παρήγαγε, καὶ πρὸς δν ἐπιστρέψαι μέλλεις δὶ' ἀναλύσεως, μὴ δ' εὐσεβείας καθυβρίσαι θεσμα μηδὲ ὁμολογίαν ἣν ὑπὸ Θεῶ καὶ 'Ἀγγέλοις πεποίησαι. Αἰδέσθητι τοὺς προτέρους διὰ Χριστὸν ἄθλους τὰς χαλεπᾶς ἐκείνας τοῦ κοχλίου περιτροπῆς, τὴν καινοτάτης τοῦ σώματος κάκωσιν" τίμησαν τὸ μέγα της ἱερωσύνης ἀξίωμα" μὴ κακόν. ἀρχέτυπον γένη τοῖς ἄλλοις καὶ ἀσεβείας - πόδειγμα" μὴ δέομαί σου τοῦ φίλου καὶ γόνυ κάμπτω καὶ ποδῶν ἅπτομαι. Μὴ ψεύση τὴν ὑπὲρ τῆς Τριάδος ὁμολογίαν, ἤδη σοὶ καὶ διὰ χειρὸς τὰ βραβεῖα, μονονοὺ ὑπὲρ κεφαλῆς καὶ τῆς ἀθλήσεως στέφανοι.

Ταῦτα ὁμοὺ τὲ πρὸς τὸν φίλον ἐδεῖτο καὶ τὴν ψυχὴν διεκόπτετο ἐπει δὲ πλεῖον ἔτι μᾶλλον ἡ ἀπονοια Σαπρικία καὶ ἡ φαραωνίτις ἐκείνη καρδία ἔσκληρυνετο πλέον, καὶ τούτοις οὐκ ἐμαλάσσετο, εἵλετο γὰρ τῆς εὐσεβείας ἀποστῆναι μᾶλλον ἢ μνησικακίας μεταβαλεῖν. Σφοδρότερον δὲ καὶ χρηστὸς Νικηφόρος τῷ ὑπὲρ εὐσεβείας καὶ τοῦ φίλου ζῆλο τηκόμενος, καὶ οὐκ ἔχων λοιπὸν καὶ δράσειεν, ἑαυτὸν ἀντεισάγει τὴ μαρτυρία, τὴν ἴσην ὁμολογίαν ἐπιδεικνύς, τὸν ἴσον θάνατον ἐκκαλούμενος, καὶ τὸν αὐχένα ὑπετίθει καὶ τὸ ξίφος ἐζήτει, καὶ τὰς τῶν δημίων χεῖρας λίαν καθ' ἑαυτοῦ νεανικῶς ὅπλιζεν.

Ἀλλ' ἐκείνους ἐπεῖχε τὴν κατ' αὐτοῦ τέως ὁρμὴν τὸ μηδέπω τὰ κατ' αὐτὸν ἀκουστὰ θέσθαι τῷ ἡγεμόνι, μηδ' ἐντετάλθαι τούτοις περὶ αὐτοῦ. Ὡς δὲ διὰ τινὸς τῶν ἐκεῖ συνειλεγμένων δρομαίως παρ' αὐτὸν ἄφιγμενου, ἀνηγγέλθη ταῦτα τῷ ἡγεμόνι, ὁ μὲν ἐπὶ τὸν μάρτυρα μετάγει τὴν ψῆφον. Κομισθείσης δὲ τῆς καταδίκης τοῖς δημίοις ἐν γραμματείοις, τὴν διὰ ξίφους καὶ καλὸς Νικηφόρος τελείωσιν δέχεται, ὄλιγου καιροῦ καὶ πόνου βασιλείαν οὐράνιον ὤνησαμενος, καὶ νικηφόρος μᾶλλον ἀναφανεῖς ἐκ τοῦ πράγματος ἢ τοῦ ὀνόματος.

Οὕτως οὐ σωμάτων ἆθλοι καὶ πόνοι καὶ κακοπάθειαι τοσούτον οἰκειώσαι Θεῶ δύνανται, ὡς ψυχῆς συμπάθεια καὶ φιλανθρωπία καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη, τὸ πάντων ἀγαθῶν κεφάλαιον, ἃ καὶ παρ' αὐτοῦ καλῶς ἡμίν του κοινοῦ δεσπότου καὶ διδασκάλου νενομοθέτηται.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄ (Πόσο ολέθρια είναι η μνησικακία)

Ερμηνεία

ΚΑΠΟΙΟΣ ιερεύς, ο Σαπρίκιος, είχε πολύ στενός φίλον τον μακάριον Νικηφόρον, ο οποίος ήτο λαϊκός. Τόση δε αγάπη υπήρχε μεταξύ των δύο, ώστε ο καθένας τον να νομίζω ότι εζούσεν εις την ψυχήν του άλλου. Από φθόνον όμως του σατανά συνέβη κάποιο γεγονός, που διέλυσεν όλην εκείνην την φιλίας και τους έφερεν εις ανοικτής έχθραν, ώστε να μη θέλη ο ένας να αντικρύση τον άλλον και αν κάπου συνηντώντο, ο καθένας των εγύριζεν αλλού το πρόσωπόν του, ωσάν νά εσιχαίνετο ο ένας να κοιτάξη τον άλλον. Διότι πραγματικά έτσι γίνεται όταν αι μεγάλαι φιλίαι μεταπέσουν εις έχθραν, τότε, λόγω της μεταβολής της γνώμης, η μεγάλη αγάπη μετατρέπεται εις άσπονδον μίσος.

Αλλά και μακάριος Νικηφόρος, αυτή η αγαθή και πλημμυρισμένη από επιείκειαν και συμπάθειαν ψυχή, συνήλθε γρήγορα από το πάθος δι' αυτό, αν και δεν αγνοούσε τον αίτιον του πάθους, όποιος και αν ήτο, έπεδίωκε πάλιν με επιμονήν και θερμότητα ψυχής να αποκαταστήση την ώραιότητα της αγάπης. Αρχικώς λοιπόν έστειλε προς τον φίλον του μερικους γνωστούς διά να τους συμφιλιώσουν· διά να επιτύχη δε το διάβημα, επέρριπτεν εις τον εαυτόν του την αιτίαν της παρεξηγήσεως και έζητούσεν ειλικρινά συγγνώμην. Εκείνος όμως παρέμενεν άκαμπτος, σκληρός, δεν διέλυε καθόλου την έχθραν, αν και ήτο ιερεύς και μαθητής του ειρηνικού, πράου και αμνησικάκου Χριστού, προσέφερε την αναίμακτον θυσίαν, και εδίδασκε πάντοτε το ποίμνιόν του, μεταξύ άλλων, και την αμνησικακίαν κατόπιν αυτού ο ίδιος ο γλυκύς Νικηφόρος επλησίασεν εις κατάλληλος στιγμήν τον Σαπρίκιον, έπεσεν εις τα πόδια του και με θερμά δάκρυα τον έπαρακαλούσε να συγχωρήσουν ο ένας τον άλλον και να γίνουν πάλιν, όπως και προηγουμένως, φίλοι.

Αλλ' ο Σαπρίκιος, χωρίς να συγκινηθή καθόλου από αυτά, ή να αφήση την οργήν, αν και ο ίδιος ήτο η αιτία του σκανδάλου, αφού τον έσπρωξε πάρα πέρα, επροσπέρασε γρήγορα χωρίς καν να ομιλήση, ή να κοιτάξη με ένα απλόν βλέμμα τον φίλον του.

Ενώ λοιπόν έτσι είχαν τα πράγματα μεταξύ των και ο μεν ένας επροσπαθούσε, με κάθε τρόπον, να αποκαταστήση μεταξύ των την προηγουμένην φιλίαν, και ο άλλος δεν διέλυε το μίσος, ηγέρθη νέος διωγμός εναντίον των χριστιανών από τον Ιουλιανόν. αυτός, μόλις επήρεν εις τα χέρια του την βασιλείαν, διέταξε να βασανίζονται σκληρά και να φονεύωνται όλοι οι Χριστιανοί που ευρίσκοντο υπό την εξουσίας του, αν δεν ήρνούντο την χριστιανικήν πίστιν.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄ (Πόσο ολέθρια είναι η μνησικακία)

Οταν λοιπόν έφθασεν αυτή η διαταγή και εις την πόλιν, όπου έκατοικούσαν και οι δύο, ο Νικηφόρος και ο Σαπρίκιος, συνελήφθη αμέσως ο Σαπρίκιος, ως περισσότερον επίσημος διά το αξίωμα της ιερωσύνης που έφερε, εδικάσθη από τον Ηγεμόνα, και επιέζετο να αρνηθή την ευσέβειαν. Επειδή όμως εκείνος αντεστέκετο γενναίως και δεν επείθετο να δεχθή την ασέβειαν της ειδωλολατρείας, ο ηγεμών απηλπίσθη, ότι θα ήδύνατο να τον μεταπείση και επροχώρησεν εις τιμωρίας. Και πρώτα - -πρώτα κλείει τον Σαπρίκιον μέσα εις ένα φοβερόν κοχλίαν(*). Ο κοχλίας αυτός έσύρετο και έστριφογύριζε με διαφόρους μηχανισμούς, ώστε να φαίνεται εις όλους ότι θα διέλυε τον Σαπρίκιον με το τέντωμά του, ότι θα έλυωνε όλον του το σώμα και ότι, τέλος, θα τον έθανάτωνε βιαιότατα. Επειδή όμως έκαμνεν υπομονήν εις εκείνο το φοβερόν βασανιστήριον και με κανένα τρόπον δεν ήρνείτο την ομολογίας του, απογοητευμένος πλέον ο διώκτης, απεφάσισε να τον θανατώση και διέταξε να τον εκτελέσουν με ξίφος.

Κατόπιν αυτού ο Σαπρίκιος οδηγείτο εις τον θάνατον. Ο Νικηφόρος, ο οποίος όλα αυτά τα εγνώριζεν, όταν είδεν ότι ο Σαπρίκιος έβάδιζε τον τελευταίον δρόμον, ενόμισεν ότι αυτός ήτο ο καταλληλότερος καιρός δια να πραγματοποιήση τον πόθον του, δηλαδή την συμφιλίωσιν. Έμφανίζεται λοιπόν έξαφνα, αγκαλιάζει τα πόδια του και θερμότατα παρακαλεί και ικετεύει να μη εγκαταλείψη ασυγχώρητον τον φίλον, αλλά να τον συγχωρήση διά το σφάλμα του. Και ο μέν Νικηφόρος με επιμονην τον ικέτευε και έβρεχε με θερμά δάκρυα τα πόδια του Σαπρικίου: αλλ' εκείνος, ώ άφιλάνθρωπος ψυχή! ούτε εγύρισε να κοιτάξη τον φίλον του, έτσι καθώς ήτο ριγμένος εις τα πόδια του, ούτε εμαλάκωσεν από τόσην συγκίνησιν και τόσους οδυρμούς. Έφραξε με το κερί της μνησικακίας τα αυτιά του και έκαμε ταχυτέραν την πορείας του, δια να προσπεράση βιαστικά τον φίλον του με τα συμπαθητικά του παρακάλια.

Ο αξιοθαύμαστος όμως Νικηφόρος ούτε και τότε απηλπίσθη: ηκολούθησεν αμέσως άλλον συντομώτερον δρόμον και αφού έτρεξεν όσον ήμπορούσεν γρηγορότερα, τον προφθάνει πάλιν εις την πόλιν. Επαναλαμβάνει λοιπόν και πάλιν θερμοτέρας τας παρακλήσεις προς αυτόν: όχι μόνον με την γλώσσαν και τα χείλη, αλλ' ώς να είχε γυμνώσει την ψυχήν του, έζητούσε την ευσπλαγχνίαν του και με τα μέλη του και με χειρονομίας και με άφθονα τα δάκρυα. Ο Σαπρίκιος όμως έμενε τελείως

(*) Ο κοχλίας ήτο μηχανή χρησιμοποιουμένη διά τον βασανισμός εγκληματιών και καταδίκων, οι οποίοι προσεδένοντο επ' αυτού και διά της περιστροφής του κοχλίου ετεντώνοντο τα διάφορα μέλη των, προξενουμένων ούτω εις τους βασανιζομένους τρομερών πόνων.

κωφός προς όλα αυτά και ωμοίαζε πρός πέτραν. Έτσι εξωργισμένος και θυμωμένος, ωσάν αφηρημένος, έφθασεν εις τον τόπον της εκτελέσεως.

Και ενώ τα χέρια των δημίων ύψωναν το ξίφος και εντός ολίγου ο Σαπρίκιος θα έσκυβε τον αυχένα, επάνω δε από την κεφαλήν του ευρίσκοντο οι στέφανοι και προήτοιμάζετο να μεταβή προς τον 'Αγωνοθέτην, συνέβη κάτι το τρομερόν οι δήμιοι τον εβίαζαν να γονατίση, διά να τον αποκεφαλίσουν και εκείνος, σκοτεινιασμένος από την μνησικακίαν, έφαίνετο ώσαν να μη εγνώριζε μεταξύ ποίων ευρίσκετο και ωσάν να ελησμόνησε διατί τον συνέλαβον, ήρώτα να μάθη, σαστισμένος και με χαμένα τελείως τα λογικά του, διατι επρόκειτο να τον εκτελέσουν!

–Επειδή περιεφρόνησες – απήντησαν εκείνοι – τα βασιλικά προστάγματα και δεν επείσθης να θυσιάσης εις τους θεούς μας!

Και τότε, ώ συμφορά μου! ώ της φοβεράς πτώσεως της μνησικακίας! Ο Σαπρίκιος ομολογεί ότι είναι και αυτός άπιστος, όπως εκείνοι, οι οποίοι τον εκρατούσαν και αρνείται χωρίς εντροπήν έμπρός εις τα μάτια όλων, την χριστιανικήν ευσέβειαν!

Μόλις είδέν αυτό ο θείος Νικηφόρος εσπάραξεν η ψυχή του ακόμη περισσότερον και έπαρακαλούσεν ακόμη θερμότερα τον Σαπρίκιον.

– Μή – του έλεγεν - αδελφέ και πατέρα, μή θελήσης να προδώσης τον Θεόν, που σε εδημιούργησε και προς τον οποίον πρόκειται, μετά τον θάνατον, να επιστρέψης. Μή προσβάλης τους νόμους της ευσεβείας, ούτε την ομολογίας που έδωσες ενώπιον Θεού και 'Αγγέλων. Να σεβασθής τα προηγούμενα μαρτύρια που υπέστης δια τον Χριστόν τα φοβερά γυρίσματα του κοχλίου, την πρόσφατον σωματικής κάκωσιν. Να τιμήσης το μεγάλο αξίωμα της ιερωσύνης. Να μη γίνης κακόν υπόδειγμα δια τους άλλους και παράδειγμα ασεβείας. Σε παρακαλώ, φίλε μου, γονατιστός και τα πόδια σου φιλώ. Μή διαψεύσης την ομολογίαν σου διά της Αγίας Τριάδα, τώρα που έχεις πλέον είς τα χέρια σου τα βραβεία και σχεδόν επάνω εις την κεφαλήν σου ευρίσκονται τα στεφάνια του αθλητού.

Αυτά έπαρακαλούσε τον φίλον του με σπαραγμόν ψυχής. Επειδή όμως όλον και περισσότερον έμεγάλωνεν η αναισθησία του Σαπρικίου και έσκληρύνετο η φαραωνιτική εκείνη καρδία δεν έμαλάκωνε με τα λόγια αυτά διότι ο Σαπρίκιος επροτίμησε να αρνηθή την ευσέβειαν, παρά να αποβάλη την μνησικακίαν. Τότε ο καλός Νικηφόρος έφούντωσεν από σφοδρόν ζήλον χάριν της ευσεβείας και του φίλου του και επειδή πλέον δεν είχε τίποτα να κάμη, ρίπτεται εις το μαρτύριον, ομολογεί τον

Χριστόν και τοποθετεί τον λαιμός του κάτω από το ξίφος του δημίου, επιζητών τον ίδιον με τον Σαπρίκιον θάνατον: έτσι με γενναιότητα όπλιζε τα χέρια των δημίων εναντίον του.

Οι δήμιοι όμως συνεκράτησαν την ορμήν των εναντίον του Νικηφόρου, διότι ακόμη δεν είχεν ακούσει τίποτε δι' αυτόν ο ηγεμών και ούτε τους είχε δώσει σχετικών διαταγήν. Μόλις όμως ανεφέρθησαν αυτά είς τον ηγεμόνα από κάποιον, ο οποίος ήλθε τρέχων, από τους συγκεντρωμένους εις τον τόπον του μαρτυρίου, αμέσως ο ηγεμών μετατρέπει την καταδικαστικής απόφασιν εναντίον του Νικηφόρου. "Οταν δε η διαταγή της καταδίκης, γραμμένη εις επιστολήν, εκομίσθη εις τους δημίους, ο καλός Νικηφόρος υπέστη τον μαρτυρικός θάνατον διά ξίφους. Και έτσι μέσα εις όλίγον χρόνον και με ολίγον κόπον εκέρδισε την ουράνιον βασιλείαν, αναδειχθείς όχι εκ του ονόματος, αλλ' εκ των πραγμάτων νικηφόρος.

'Από αυτά συνάγομεν το συμπέρασμα ότι δεν ήμπορούν να συμφιλιώσουν με τον Θεόν τόσον οι σωματικοί αγώνες και οι κόποι, όσον η συμπάθεια της ψυχής και η φιλανθρωπία και η προς τον πλησίον αγάπη, η οποία είναι το κεφάλαιον όλων των καλών. Αυτά δε όλα έχουν νομοθετηθή από τον Δεσπότην μας και διδάσκαλον.

Β'. Εν τω Γεροντικώ

ΕΙΠΕΝ ὁ ἀββᾶς Μακάριος ἐὰν μνησθῶμεν τῶν ὑπὸ τῶν ἀνθρώπων ἐπαγομένων κακῶν, ἀναιροῦμεν ἀφ' ἡμῶν τὴν δύναμιν τῆς τοῦ Θεοῦ μνήμης. Ἐὰν δὲ μὴ μιμνησκώμεθα τῶν κακῶν, ὧν πάσχομεν, ὑπὸ τῶν δαιμόνων ἐσόμεθα ἄτρωτοι.

2. Εἶπε γέρων, ὅτι ὁ κλέπτων ἢ ὁ ψευδόμενος ἢ ὁ ἄλλην ἁμαρτίαν ποιῶν, πολλάκις εὐθὺς μετὰ τὸ τελέσαι τὴν ἁμαρτίαν στεγάζει καὶ μέμφεται ἑαυτόν, καὶ ἔρχεται εἰς μετάνοιαν. Ὁ δὲ μνησικακίαν ἔχων ἐν τῇ ψυχῇ, εἴτε ἐσθίει, εἴτε καθεύδει, εἴτε περιπατεῖ, ὡς πὲρ ὑπὸ ἰοῦ κατεσθίεται, καὶ τὴν ἁμαρτίαν πάντοτε ἀχώριστον ἔχει, καὶ ἡ εὐχὴ αὐτοῦ κατάρα αὐτὴ γίνεται, καὶ ὅλος ὁ κόπος αὐτοῦ ἀπρόσδεκτος γίνεται, κὰν τὸ αἷμα αὐτοῦ ἐκχύση διὰ τὸν Χριστόν. Α. 3. Ἀδελφὸς ἐπηρεασθεῖς ὑπὸ τινὸς ἀπῆλθε πρὸς τινὰ γέροντα εἰς τὰ κελλία καὶ λέγει αὐτῷ Πάτερ, ἀδελφὸς τὶς ἐπηρέασε μὲ καὶ θλίβει μὲ ὁ δαίμων ἕως οὐ ἀνταμύνωμαι αὐτὸν κάγω. "Ἔφη αὐτὴ ὁ γέρων" ἄκουσόν μου, τέκνον, καὶ ὕπαγε εἰς τὸ κελλίον σου καὶ ἡσύχασον, δεόμενος τοῦ Θεοῦ ἐκτενῶς ὑπὲρ τοῦ ἀδικήσαντός σε . ἀδελφοῦ, καὶ συντόμως τοῦ πάθους ἀπαλλαγήσει.Ἐποίησεν οὖν ὁ ἀδελφὸς καθ' & ὑπέθετο αὐτὸ ὁ γέρων καὶ εἴσω ἑβδομάδος ἐξήλειψεν ὁ Θεὸς τὴν ὀργὴν

ἀπ' αὐτοῦ, διὰ τὴν βίαν ἣν ἔβιασατο ἑαυτόν, καὶ τὴν ὑπακοὴν ἣν ἐπεδείξατο πρὸς τὸν γέροντα.

4. Δύο τινὲς ἀδελφοὶ ἐν καιρῷ διωγμοῦ κρατηθέντες, ἤχθησαν εἰς τὸ μαρτυρῆσαι καὶ βασανισθέντες ἅπαξ ἐβλήθησαν εἰς φυλακήν. Γέγονε δὲ τὶς ἐξ ἐπηρείας δαιμονικῆς μεταξὺ αὐτῶν ἀμφιβολία καὶ παροξυσμός. Ὁ οὖν εἷς μεταμεληθεῖς συντόμως ἔβαλε μετάνοιαν τῷ ἀδελφῷ λέγων συμβαίνει ἡμᾶς αὔριον τελειωθῆναι: λύσωμεν τὴν κατ' ἄλληλων ἔχθραν καὶ ποιήσωμεν ἀγάπην καὶ δὲ ἄλλος οὐκ ἐπείθετο.

Τὴ οὖν ἑξῆς ἀχθέντες πάλιν εἰς τὸ δικαστήριον βασανίζονται καὶ ὁ μὴ δεξάμενος τὴν μετάνοιαν, ἀπὸ πρώτης προσβολῆς ἠττήθη. Λέγει οὖν αὐτῷ ὁ ἄρχων διὰ τί χθές, τοσαύτα βασανισθεῖς, οὐκ ἐπείσθης μου; Ὁ δὲ ἀποκριθεῖς εἶπε: διότι χθὲς μὲν πρὸς τὸν ἀδελφός μου ἀγάπην εἶχον, καὶ ἥ του Θεοῦ χάρις ἐνεδυνάμου μέ, νῦν δὲ ἔμνησικακησα αὐτῷ, καὶ διὰ τοῦτο ἐγυμνώθην τῆς τοῦ Θεοῦ μου σκέπης καὶ παρακλήσεως.

Ερμηνεία

Ο ΑΒΒΑΣ Μακάριος είπεν: αν ενθυμούμεθα τα κακά που μας προξενούν οι άνθρωποι, καταστρέφομεν μέσα μας την δύναμιν της μνήμης του Θεού. Αν όμως δεν ενθυμούμεθα τα κακά που υποφέρομεν, τότε θα παραμείνωμεν ανίκητοι από τους δαίμονας.

2. Ενας Γέρων είπεν: ο κλέπτης, ή αυτός, που λέγει ψέματα, ή αυτός, που κάμνει άλλην αμαρτίαν, πολλές φοράς, αμέσως μόλις διαπράξη την αμαρτίαν, αναστενάζει, κατηγορεί τον εαυτόν του και έρχεται είς μετάνοιαν εκείνος όμως, που διατηρεί μνησικακίαν εις την ψυχήν του, είτε τρώγει, είτε κοιμάται, είτε περιπατεί, κατατρώγεται όπως ο σίδηρος από την σκουριάν, έχει πάντοτε αχώριστον σύντροφος την αμαρτίαν, η ευχή του γίνεται κατάρα, δεν γίνεται δεκτός καθόλου ο κόπος του, έστω και αν χύση το αίμα του δια τον Χριστόν.

3. Ένας αδελφός ήνωχλήθη από κάποιον και αμέσως επήγεν εις ένα Γέροντα, που έμενεν εις τα κελλία.

- Πάτερ – του λέγει – κάποιος αδελφός με ηνώχλησε και ο δαίμων με πειράζει διά να τον εκδικηθώ και εγώ.

- Ακουσέ με, τέκνον μου – απήντησεν ο γέρων – πήγαινε εις το κελλίον σου, ησύχασε, και να προσεύχεσαι θερμά εις τον Θεόν διά τον αδελφόν, ο οποίος σε ήδίκησεν· έτσι θα απαλλαγής σύντομα από το πάθος.

Ο αδελφός έκαμεν όπως τον συνεβούλευσεν ο Γέρων και μέσα εις μίαν εβδομάδα ο Θεός έσβησεν από την ψυχήν του την οργήν, διότι εβίασε τον εαυτόν του και έδειξεν υπακοήν εις τον Γέροντα.

4. Δύο αδελφοί συνελήφθησαν εν καιρώ διωγμού και οδηγήθησαν διά να βασανισθούν αφού λοιπόν την πρώτην ημέραν τους υπέβαλαν εις μαρτύριον, τους έρριψαν εις την φυλακήν. Από ενέργειας του πειρασμού όμως συνέβη μεταξύ των μία παρεξήγησις και ολίγον εψυχράνθησαν. Ο ένας από αυτούς μετεμελήθη και έβαλε μετάνοιαν εις τον άλλον.

– Αύριον πρόκειται να μας θανατώσουν – του είπε – ας διαλύσωμεν λοιπόν την έχθραν μας και ας αγαπήσωμεν. Αλλά ο άλλος δεν επείθετο.

- Την επομένην ημέραν ωδηγήθησαν και πάλιν εις το Κριτήριον και υπεβλήθησαν εις νέα βασανιστήρια τότε εκείνος που δεν εδέχθη την μετάνοιαν του αδελφού, ενικήθη με την πρώτην προσβολήν.

– Διατί χθές - τον έρωτά ο άρχων – ενώ υπέστης τόσα βασανιστήρια, δεν επείσθης εις τα λόγια μου;

- Διότι χθές – απήντησεν ο αδελφός - ήμουν αγαπημένος με τον αδελφός μου και με έδυνάμωσεν η Χάρις του Θεού. Σήμερα όμως του εκράτησα μνησικακίαν και διά τούτο απογυμνώθηκα από την σκέπην του Θεού και την ενίσχυσίν Του.

Γ'. Αντιόχου του Παντέκτου

ΩΣΠΕΡ γέφος ὑποδραμὸν σκοτίζει τὸν ἥλιον, οὕτω τὸν νοῦν λογισμὸς μνησικακίας ἓν γὰρ μνησικάκου ψυχὴ ἀλώπεκες κατασκηνώσουσι, καὶ ἐν τεταραγμένῃ καρδία θηρία ἄγρια ἐμφωλεύσουσιν, ἤγουν οἱ πονηροὶ καὶ ἄλαστορες δαίμονες.

Ερμηνεία

ΟΠΩΣ το σύννεφον σκοτεινιάζει τον ήλιον έτσι και ο μνησίκακος λογισμός σκοτίζει τον νούν εις την ψυχήν τού μνησικάκου θα κατασκηνώσουν αλεπούδες και εις την αναστατωμένην καρδίαν θα κάμουν φωλεάν τα άγρια θηρία, δηλαδή οι πονηροί και καταραμένοι δαίμονες.

Δ'. Του Αββά Ησαΐου

ΕΑΝ ἀδελφὸς κακοποιήση σε καὶ καταλαλήση τὶς κατ' αὐτοῦ ἐπί σου, φύλαξον τὴν καρδίαν σου, ἵνα μὴ ἡ κακία ἀνακαινισθῆ ἐν σοῖ μνήσθητι δὲ τῶν ἁμαρτιῶν σου ἐνώπιόν του Θεοῦ, ὅτι θέλεις νὰ συγχωρήση αὐτᾶς, καὶ μὴ ἀνταποδῶς τὸ πλησίον σου. Ἐὰν ἀκούσης, ὅτι εἶπε τὶς κατά σου λόγον, καὶ συναντήσης αὐτὸν εἶς τινὰ τόπον ἢ παραβάλῃ σου, ποίησον τὸ πρόσωπόν σου εἰς αὐτὸν χαρωπὸν καὶ ἀγαθόν, κατὰ τὴν δύναμίν σου, μηδὲν δὲ εἴπῃς αὐτῶ ὧν ἤκουσας γέγραπται γάρ' ὃς μνησικακεῖ, παράνομος.

Ἐὰν ἡσυχάζῃς ἐν τῷ κελλίῳ σου καὶ μνησθῆς τινὸς κακοποιήσαντός σε, ἀνάστηθη καὶ εὔξαι τῷ Θεῷ ἐν ὅλῃ καρδία σου, ἵνα συγχωρηθῆ αὐτῶ, καὶ ὁ λογισμὸς τῆς ἀνταποδόσεως ἀπέρχεται ἀπό σου. Μὴ θελήσης ἀκούσαι βλάβην λυπήσαντός σε, ἵνα μὴ ἐν τῇ καρδίᾳ σου ἀνταποδώσης αὐτῶ.

Ερμηνεία

ΑΝ ένας αδελφός σου κάμη κακόν και τον κατηγορήση κάποιος ενώπιόν σου, προφύλαξε την καρδίαν σου διά να μη ανανεωθή μέσα σου η κακία: να ενθυμηθής αμέσως τας αμαρτίας της οποίας έχεις κάμει εις τον Θεόν και αι οποίαι θέλεις να σου συγχωρηθούν και μη επιδιώξης να ανταποδώσης το κακόν εις τον πλησίον σου. "Αν ακούσης ότι κάποιος είπε κάτι εναντίον σου και τον συναντήσης σε κάποιο μέρος ή σε επισκεφθή, φρόντισε, όσον ήμπορείς, το πρόσωπόν σου να είναι χαρούμενον και να φανερώνη καλωσύνην . Να μη τού είπης δε τίποτα από όσα ήκουσες, διότι η Αγία Γραφή λέγει: «όποιος μνησικακεί, παραβαίνει τον νόμον του Θεού» (Παροιμ. κα', 24).

Αν ησυχάζης εις το κελλίον σου και ενθυμηθής κάποιον, ο οποίος σου έκανε κακόν, σήκω και προσευχήσου εις τον Θεόν, με όλην σου την καρδίαν να τον συγχωρήση ο Θεός και αμέσως θα φύγη από επάνω σου ο λογισμός της εκδικήσεως. Μή θελήσης να ακούσης ότι έπαθε κάτι κακόν εκείνος που σε έλύπησε, διά να μη δοκιμάσης ευχαρίστησιν και έτσι τον εκδικηθής μέσα εις την καρδίαν σου.

Ε'. Του Αββά Μάρκου

ΚΑΚΙΑ ἐν λογισμοὺς μελετωμένη θρασύνει καρδίαν, ἀναιρουμένη δὲ δι' ἐγκρατείας καὶ ἐλπίδος συντρίβει αὐτήν.

Ερμηνεία

Η ΚΑΚΙΑ την οποίαν μελετά κανείς εις την σκέψιν του, αποθρασύνει την καρδίαν όταν όμως την καταπολεμά με την έγκράτειαν και την ελπίδα, τότε την συντρίβει.

ΣΤ'. Του Αγίου Μαξίμου

Η ΛΥΠΗ τὴ μνησικακία συνέζευκται, ὅταν ὁ νοῦς τὸ προσωπος τοῦ ἀδελφοῦ μετὰ λύπης ἔνοπτριζεται, δηλονότι μνησικακίαν ἔχῃ πρὸς αὐτὸν ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον, διότι πᾶς μνησίκακος παράνομος.

Ἐὰν μὲν σὺ μνησικακῇς τινι, προσεύχου ὑπὲρ αὐτοῦ καὶ ἵστας τὸ πάθος τῆς κινήσεως, χωρίζων τὸ πάθος διὰ τῆς εὐχῆς καὶ τὴν λύπην ἐκ τῆς μνήμης τοῦ κακοῦ, οὗ πὲρ σοὶ ἐποίησεν ἀγαπητικὸς δὲ γενόμενος καὶ φιλάνθρωπος, παντελῶς ἐκ τῆς ψυχῆς τὸ πάθος ἐξαφανίζεις. Ἐὰν δὲ ἄλλος σοὶ μνησικακῇ, χαριστικὸς γενοὺ πρὸς αὐτὸν καὶ ταπεινός, καὶ καλῶν συνδιαιτῶ, συναναστρέφου τὲ καὶ συναυλίζου, καὶ ἀπαλλάττεις αὐτὸν τοῦ πάθους.

Ερμηνεία

Η ΛΥΠΗ πηγαίνει πάντοτε μαζί με την μνησικακίαν. Οταν δηλαδή ο νους φέρη εις την σκέψιν την μορφήν του αδελφού και δοκιμάζη λύπην, έχει μνησικακίαν εναντίον του. Ο δρόμος όμως των μνησικάκων οδηγεί εις τον θάνατον, διότι «κάθε μνησίκακος είναι παραβάτης του νόμου του Θεού» (Παροιμ. κα', 24).

Αν αισθάνεσαι μνησικακίαν εναντίον κάποιου, προσευχήσου δι' αυτόν και τότε σταματάς αμέσως την κίνησιν του πάθους προς εκδίκησαν: έτσι με την ευχήν απομακρύνεις το πάθος και χωρίζεις την λύπην από την ενθύμησιν του κακού, που σου έκαναν. Και όταν πλέον αισθανθής αγάπην δι' αυτόν που σου έκανε κακόν και γίνης φιλάνθρωπος, τότε εξαφανίζεις τελείως το πάθος από την ψυχήν σου. Αν πάλιν κάποιος άλλος διατηρή μνησικακίαν εναντίον σου, να γίνεσαι ταπεινός απέναντί του και να του δείχνης καλωσύνην να τον καλής και να τρώγης μαζί του, να συναναστρέφεσαι και να συνομιλής μαζί του και έτσι θα τον απαλλάξης από το πάθος.

Ζ'. Του Αγίου Εφραίμ

ΚΑΠΝΟΣ διώκει μελίσσας καὶ μνησικακία γνῶσιν ἀπὸ καρδίας. Δεήθητι τοῦ Κυρίου καὶ ἔκχεε δάκρυα ἐνώπιόν της ἀγαθότητος αὐτοῦ, καὶ μνησικακία μὴ αὐλιζέσθω ἐν τῇ ψυχῇ σου, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄ (Πόσο ολέθρια είναι η μνησικακία)

Ερμηνεία

Ο ΚΑΠΝΟΣ φυγαδεύει τις μελίσσας και η μνησικακία την γνώσιν από την καρδίαν. Να δέεσαι εις τον Κύριον και να χύνης δάκρυα έμπρος εις την αγαθότητά Του. Η μνησικακία να μη ευρίσκη θέσιν εις την ψυχήν σου και να είσαι ωσαν τα θυμίαμα ενώπιον του Θεού.

ΥΠΟΘΕΣΙΣ ΜΓ'
(Δεν πρέπει να καταρώμεθα κανένα)

Ότι ου δεί τινι έπαράσθαι.

Οτι δεν πρέπει να καταρώμεθα κανένα.

Α'. Γρηγορίου του Διαλόγου

ΕΝ ΤΟΙΣ μέρεσι της Νουρσίας χώρας, δύο τινές Μοναχοί κατώκουν σεμνώς βιούντες, ωνομάζοντο δε Φλωρέντιος και Ευτύχιος. Ο μεν ούν Ευτύχιος των πνευματική ζήλο και δυνάμεως θερμότητι υπεραυξάγων, πολλών ψυχάς τω Θεώ προσενέγκαι διά παραινέσεως ηγωνίζετο. Υστερον δε Μοναστηρίου εν τω τόπω εκείνω δυσωπηθείς παρά των εν αυτώ αδελφών προέστη επί πολλούς χρόνους και πολλούς εν τη της αγίας αναστροφής ασχολία εις τελειότητα προεβίβασε διό και μετά θάνατον παρά Θεού σημείοις τε και τέρασαν εδοξάσθη, του ενδύματος αυτου αυχμού τε λύσιν και άλλας ιάσεις επιτελέσαντος.

Ο δε Φλωρέντιος, τη ακακία και τη προσευχή προσκαρτερών, την παρούσαν ζωήν διήνυε μόνος μετά την του Ευτυχίου εις την μονήν υποχώρησιν, εν τω ευκτηρίω εναπομείνας, εν ώ πρώην κατώκουν αμφότεροι εδέετο δε του παντοδυνάμου Θεού, όπως αυτή βοήθειαν δώση τινά, πρός τό εκείσε αυτόν κατοικήσαι.

Εν μιά ουν μετά την ευχήν προελθών της κέλλης, άρκτον προ των θυρών ευρεν εστωσαν και την κεφαλήν επί γην κλίνουσαν, και φανερώς δεικνύουσαν ότι πρός δουλείαν αυτού παρά Θεού απεστάλη. Γνους δε την αιτίαν και του Θεού άνθρωπος δι' ήν η άρκτος παρών, ηυχαρίστησε τω Θεώ και άπερ είχε τεσσαρα πρόβατα ταύτη παρέδωκε, μή έχων τινά τον βόσκοντα, και εκέλευσεν αυτή λέγων απελθε και ταύτα τα πρόβατα είς βοσκήν εξαγαγε περί δε την έκτην ώραν υπόστρεψον.

Παραλαβούσα ούν ή άρκτος τα πρόβατα, είς βοσκήν εξήγε και πάλιν μετά την ώραν, ήν εκελεύσθη, συν αυτοίς υπέστρεφεν' ότε γάρ νηστεύσαι και δίκαιος ήθελε, περί την ενάτην ώραν υποστρέφειν εκέλευε και απαραβιάστως καθ' ήν εκελεύσθη, κατά ταύτην αεί και υπέστρεφεν. Εν ώ δε διά παντός τούτο έπράττετο και επιμελώς χρόνον ήδη συχνόν τα πρόβατα ή άρκτος εποίμαινε και η του θαύματος φήμη δια

πλάτους διέτρεχε, τέσσαρας άνδρας εκ των μαθητών του ευλαβεστάτου Ευτυχίου και πονηρός υπελθών, και φθόνον αυτοίς εμβαλών διότι ο διδάσκαλος αυτών σημεία ουκ εποίει, ο δε Φλωρέντιος εν τοσούτω θαύματι λαμπρός εφαίνετο, εκίνησεν αυτούς, και ενεδρεύσαντες την άρκτον εφόνευσαν.

Ο ούν Φλωρέντιος ήδη της ώρας ενστάσης καθ' ην υποστρέψαι επετράπη η άρκτος, προσεδόκα αυτήν υποστρέψαι κατά το έθος ώς δε και η εσπέρα παρήν και ή άρκτος εφαίνετο ουδαμώς, ήν εκείνος εκ πολλής ακακίας αδελφόν ωνόμαζε, θλίβεσθαι ήρξατο και ούτω λυπούμενος την νύκτα διενεγκών, τη επαύριον εις τον αγρός επορεύθη, την άρκτον άμα και τα πρόβατα επιζητήσων. Ως δε εύρε ταύτην πεφογευμένην και έρευνήσας έμαθε τους φονεύσαντας, εαυτόν εις θρήνον δέδωκε, των αδελφών μάλλον την πονηρίαν ή της άρκτου τον θάνατον οδυρόμενος.

Ο δε σεβάσμιος Ευτύχιος μαθών το γεγονός και προς εαυτόν τούτον επισπασάμενος, παραμυθεϊσθαι αυτόν επεχείρει. "Ο δε του Θεού δούλος Φλωρέντιος ενώπιον αυτού μεγίστη πόνο συγκινηθείς, ευχόμενος είπεν: Ελπίζω εις τον παντοδύναμον Θεόν, ότι εν τη ζωή ταύτη ενώπιον των ανθρώπων διά την κακίαν αυτών την αντάμειψιν αντιλαμβάνουσιν οι την άρκτον μου μηδέν αυτούς βλάψασαν φονεύσαντες.

Παραχρήμα ούν τη τούτου φωνή και η παρά Θεού εκδίκησις επηκολούθησεν" και οι τέσσαρες Μοναχοί, οι την άρκτον φονεύσαντες, λέπρας νοσήματι περιέπεσον, ώς τε των μελών αυτών είς τέλος σαπέντων, ούτως αυτους τελευτήσαι. Τούτου δε γεγονότος, σφόδρα και του Θεού άνθρωπος Φλωρέντιος εξέστη, φοβηθείς διότι αυτους κατηράσατο και εαυτόν φονευτήν εκείνων εκάλει και ου διέλειπεν εν όλω τω της ζωής αυτού χρόνο περί τούτων θρηνών και του Θεού δεόμενος αφεθήναι αυτό το αμάρτημα. Πιστεύομεν δε ότι τούτου χάριν ο παντοδύναμος Θεός τούτο εποίησεν, ίνα μή του λοιπού και θαυμάσιος ούτος και άκακος ανήρ τολμήση εν ολωδήποτε πόνο ταρασσόμενος την της κατάρας βολίδα τινί επιπέμψαι.

Πέτρος

ΚΑΙ ούτω σφόδρα βαρύ έστι το αμάρτημα τούτο, εάν ποτε ίσως το θυμό σαλευθέντες τινά καταρασώμεθα;

Γρηγόριος

ΥΠΟΘΕΣΙΣ ΜΓ΄ (Δεν πρέπει να καταρώμεθα κανένα)

ΠΕΡΙ του αμαρτήματος τούτου τι με επερωτάς, Πέτρε, εάν βαρύ υπάρχη, οπόταν Παύλος λέγη ότι λοιδοροι βασιλείαν Θεού ου κληρονομήσουσι ; Κατανόησον γάρ οποίον βαρύ αμάρτημα υπάρχει, ότι την κληρονομίαν της βασιλείας του Θεού αποστερεί.

Ερμηνεία

ΕΙΣ τα μέρη της Νουρσίας έμεναν δύο Μοναχοί που εζούσαν με αγιότητα και ένας ωνομάζετο Φλωρέντιος και ο άλλος Ευτύχιος. Ο Ευτύχιος, του οποίου ο πνευματικός ζήλος ηύξανε καθημερινώς όλον και περισσότερος και η δύναμις της ψυχής του εγίνετο θερμοτέρα, ήγωνίζετο να φέρη κοντά εις τον Θεόν, με τας συμβουλές του, περισσοτέρας ψυχάς. "Ύστερα μάλιστα έγινεν Ηγούμενος εις ένα Μοναστήρι της περιοχής, κατόπιν επιμόνων παρακλήσεων των Μοναχών και παρέμεινε πολλά χρόνια με το παράδειγμά του δε ώδήγησε πολλούς εις την τελειότητα. Δι' αυτό και μετά θάνατον ο Θεός τον έδόξασεν. Έκαμε πολλά καταπληκτικα θαύματα: μονάχα με το ένδυμά του έσταμάτησεν ανομβρίαν και πολλοι άρρωστοι εθεραπεύθησαν.

Ο Φλωρέντιος, πάλιν, μετά την αναχώρησιν του Ευτυχίου εις το Μοναστήρι, παρέμεινεν εις το ίδιον ασκητήριον, όπου έκατοικούσαν προηγουμένως και οι δύο. Εξηκολούθησε να είναι άκακος και να προσεύχεται με επιμονήν έτσι έπερνούσε μοναχός του την παρούσαν ζωήν. Παρεκάλει δε τον παντοδύναμον Θεόν να τον βοηθήση να παραμείνη μόνος του εκεί.

Μίαν ημέραν, μετά την προσευχήν, καθώς έβγήκεν έξω από το κελλί, ευρήκεν εμπρός εις την θύραν του να κάθεται μία αρκούδα και να έχη κατεβασμένης προς την γην την κεφαλήν της έδειχνεν ολοφάνερα ότι την έστειλεν ο Θεός διά να τον εξυπηρετη. Μόλις ο άνθρωπος του Θεού έκατάλαβε την αιτίαν, διά την οποίαν ήλθεν η αρκούδα, ηυχαρίστησε τον Θεόν και παρέδωσεν εις αυτήν τα τέσσαρα πρόβατά του , επειδή δεν είχεν άλλον βοσκών, και της παρήγγειλε: πήγαινε – της λέγει – να βοσκήσης αυτά τα πρόβατα και κατά την έκτην ώραν να επιστρέψης.

Πραγματικά η αρκούδα παρέλαβε τα πρόβατα και τα οδηγούσεν εις την βοσκήν και πάλιν την ώραν που διετάχθη, επέστρεφε μαζί με αυτά. "Οταν δε και δίκαιος Φλωρέντιος ήθελε να νηστεύη, την διέτασσε να επιστρέφη κατά την ενάτην ώραν η αρκούδα επέστρεφεν οπωσδήποτε κατά την ώραν που διετάσσετο. Αυτό εγίνετο καθημερινώς και επί αρκετός χρόνον η αρκούδα έβοσκε με επιμέλειαν τα πρόβατα.

Όταν πλέον το θαύμα είχε διαδοθή παντού, τέσσαρες άνδρες από τους μαθητές του ευλαβεστάτου Ευτυχίου, έπειράσθησαν από τον διάβολον. Ο πονηρός, δηλαδή, έβαλε φθόνον εις την ψυχήν των, διότι, τάχα, και διδάσκαλός των δεν έκανε θαύματα, ενώ ο Φλωρέντιος έγινε περίφημος με ένα τόσον μεγάλο θαύμας τους παρεκίνησε λοιπόν εις το κακόν και, αφού παρεφύλαξαν, εσκότωσαν την αρκούδα.

Οταν λοιπόν έφθασεν η ώρα που συνήθως επέστρεφεν η αρκούδα, ο Φλωρέντιος την επερίμενε καθώς όμως έβράδυαζε και δεν εφαίνετο πουθενά η αρκούδα, την οποίαν από την πολλήν ακακίαν του την ώνόμαζεν αδελφόν, ήρχισε να στενοχωρήται και έτσι λυπημένος επέρασεν ολόκληρον την νύκτα. Το πρωί της επομένης ημέρας επήγεν εις τα χωράφια διά να αναζητήση την αρκούδα μαζί με τα πρόβατα. 'Αφού δε την εύρε σκοτωμένην και έρευνήσας προσεκτικά έμαθε τους φονείς, ήρχισε τότε να θρηνή όχι τόσον διά τον θάνατος της αρκούδας, όσον δια την κακίαν των αδελφών.

Μόλις έμαθε το γεγονός ο σεβάσμιος Ευτύχιος, τον εκάλεσε κοντά του και αφού τον αγκάλιασε, επροσπαθούσε να τον παρηγορήση. Ο δούλος του Θεού Φλωρέντιος όμως, συνεπαρμένος από τον μεγάλον πόνον, ευχήθηκεν εμπρός εις τον Ευτύχιον: «Ελπίζω εις τον Παντοδύναμον Θεόν, ότι εις αυτήν την ζωήν θα τιμωρηθούν εμπρός εις τους ανθρώπους εκείνοι, οι οποίοι χωρίς να τους βλάψη καθόλου, εσκότωσαν την αρκούδα μου».

Αμέσως με τα λόγια αυτά έφθασεν η τιμωρία από τον Θεόν: οι τέσσαρες δηλαδή Μοναχοί που εσκότωσαν την αρκούδας, προσεβλήθησαν από λέπραν, και εις το τέλος εσάπισαν τα μέλη τους και απέθαναν. "Όταν συνέβη αυτό, ο άνθρωπος του Θεού Φλωρέντιος εταράχθη πάρα πολύ. Έφοβήθηκε, διότι τους έκαταράσθηκε και δεν έπαυσεν εις όλην του την ζωήν να ονομάζη τον εαυτόν του φονέα εκείνων των αδελφών, να θρηνη δι' αυτούς και να παρακαλώ τον Θεόν να του συγχωρήση την αμαρτίαν. Πιστεύομεν ότι επέτρεψεν αυτό ο Παντοδύναμος Θεός, διά να μη τολμήση πλέον ο θαυμάσιος εκείνος άνθρωπος να ρίψη την βολίδα της κατάρας εναντίον κανενός, οσάκις θα εταράσσετο από οποιονδήποτε πόνον.

Πέτρος

ΚΑΙ είναι τόσον βαρύ αυτό το αμάρτημα, αν δηλαδή επάνω εις τον θυμόν μας καταρασθώμεν κάποιον;

Γρηγόριος

ΥΠΟΘΕΣΙΣ ΜΓ΄ (Δεν πρέπει να καταρώμεθα κανένα)

ΔΙΑΤΙ με έρωτάς, Πέτρε, αν είναι βαρύ αυτό το αμάρτημα, όταν ο Παύλος λέγη ότι όσοι κακολογούν δεν θα κληρονομήσουν την Βασιλείαν του Θεού (Α' Κορ. στ', 10); Σκέψου, δηλαδή, πόσον βαρύ αμάρτημα είναι, αφού αποστερεί τον ένοχον από την Βασιλείας του Θεού!

ΥΠΟΘΕΣΙΣ ΜΔ΄
(Να ευλογούμε εκείνους που μας υβρίζουν)

Ὅτι οὐ δεῖ μόνον μὴ ὑβρίζειν τινά, ἀλλὰ καὶ τοὺς ὑβρίζοντας εὐλογεῖν, καὶ οὕτω καταστέλλειν αὐτῶν τὸν θυμόν.

Ότι όχι μόνον δεν πρέπει να υβρίζωμεν κανένα, αλλά και εκείνους ακόμη, οι οποίοι μάς υβρίζουν να εύλογώμεν και έτσι να καταπραύνωμεν τον θυμόν των.

Α'. Εν τω Γεροντικό

ΕΛΕΓΟΝ περὶ τοῦ ἀββᾶ Μακαρίου του Αἰγυπτιου, ὅτι ἀνέβαινε πότε ἐκ τῆς σκήτεως πρὸς τὸ ὄρος τῆς Νιτρίας καὶ ὡς ἤγγισε τῷ τόπῳ, εἶπε τὸ μαθητὴ αὐτοῦ πρόλαβε μικρόν. Προάγων οὖν καὶ μαθητὴς συναντᾷ τινι ἱερεῖ τῶν Ἑλλήνων τρέχοντι καὶ λέγει αὐτῷ μετὰ κραυγῆς ἀΐ, ἀΐ, δαῖμον, ποῦ τρέχεις; Ὀργισθεῖς δὲ ἐκεῖνος ἐντείνει αὐτὸ πληγᾶς πάνυ σφοδρᾶς τὴ ράβδω ἣ κατεῖχε καὶ ἀφεῖς ἡμιθανῆ ἐπορεύετο.

Προβάντι οὖν μικρός, συναντᾷ ὁ Μακάριος τρέχοντι, καὶ λέγει αὐτῷ' σωθείης, σωθείης, καματηρέ. Ὁ δὲ ἀποδεξάμενος τὸν λόγον, ἦλθε πρὸς αὐτὸν καὶ εἶπε τί καλὸν εἶδες ἐν ἐμοί, ὅτι προσηγόρευσας μέ; 'Ἀπεκρίθη ὁ γέρων ὅτι εἶδόν σε κοπιώντα, καὶ οὐκ οἶδᾳς ὡς εἰς κενὸν κοπιᾶς. '"Ἔφη ἐκεῖνος ἐγὼ ἐπὶ τῇ ἀσπασμό σου κατενύγην, καὶ ἔγνων ὅτι τοῦ μέρους τοῦ Θεοῦ εἰ: ἄλλος δὲ κακὸς μοναχὸς ὑπαντήσας μοὶ ὕβρισε μέ, καγῶ ἔδωκα αὐτὴ πληγᾶς εἰς θάνατον καὶ ἔγνω ὁ γέρων ὅτι ὁ μαθητὴς αὐτοῦ ἐστι. Καὶ κρατήσας τοὺς πόδας τοῦ γέροντος καὶ ἱερεύς, ἔλεγεν οὐκ ἀφήσω σε, ἐὰν μὴ ποιήσης μὲ μοναχόν.

Ἦλθον οὖν εἰς τὸν τόπον ὅπου ἔκειτο ὁ μαθητὴς ὥσει νεκρὸς ἀπὸ τῶν πληγῶν, καὶ ἐβάστασαν καὶ ἤνεγκαν αὐτὸν εἰς τὴν Ἐκκλησίαν τοῦ ὅρους. Καὶ ἰδόντες οἱ γέροντες τὸν ἱερέα μετὰ τοῦ ἀββᾶ Μακαρίου ἐξέστησαν καὶ δοξάσαντες τὸν θεόν, ἐποίησαν αὐτὸν μοναχῶν καὶ πολλοί των Ἑλλήνων ἐγένοντο δὶ' αὐτοῦ Χριστιανοί.

2. Ἔλεγεν οὖν ὁ ἀββᾶς Μακάριος, ὅτι ὁ λόγος καὶ κακός, καὶ τὸν καλὸν ποιεῖ κακόν· ὁ δὲ καλὸς λόγος, καὶ τὸν κακὸν ποιεῖ καλόν.

3. Εἶπε τὶς τῶν Πατέρων: ἐὰν ὑβρίση σὲ τὶς, εὐλόγησον αὐτὸν καὶ ἐὰν μὲν δέξηται, καλῶς ἔσται ἀμφοτέροις. Ἐὰν δὲ μὴ δέξηται, αὐτὸς λαμβάνει παρὰ Θεοῦ τὴν ὕβριν, καὶ σὺ τὴν εὐλογίαν.

4. Εἶπε γέρων" τὸν Σταυρὸς τοῦ Χριστοῦ βλέπομεν, καὶ τὰ παθήματα αὐτοῦ ἀναγινώσκομεν, καὶ διατὶ κὰν ὕβριν μόνην μὴ φέρωμεν;

Ερμηνεία

ΔΙΑ ΤΟΝ ΑΒΒΑΝ Μακάριον τον Αιγύπτιον διηγούντο τα εξής: Κάποτε ανέβαινεν από την σκήτην πρός το όρος της Νιτρίας. όταν έπλησίασεν, είπε προς τον μαθητών τους, προχώρησε ολίγον. Ο μαθητής του επροχώρησε πράγματι και συνήντησε κάποιον ειδωλολάτρην ιερέα να τρέχη. Του φωνάζει λοιπόν δυνατά αϊ, αϊ, διάβολε, που τρέχεις; Ώργίσθη με αυτό και είδωλολάτρης ιερεύς και τον εκτύπησε δυνατά με το ραβδί του και αφού τον άφησε μισοπεθαμένον, εξηκολούθησε τον δρόμον του.

Ολίγον πάρα πέρα τον συνήντησεν ο 'Αββάς Μακάριος να τρέχη και του λέγει:

-Ο Θεός μαζί σου, είθε να σωθής, κουρασμένε Γέροντα.

Ο ειδωλολάτρης ιερεύς μόλις ήκουσεν αυτόν τον χαιρετισμόν, έπλησίασε τον 'Αββάς Μακάριον και τον ήρώτησε:

– Τι καλόν είδες εις εμέ και με έχαιρέτησες τόσον καλόκαρδα;

-Επειδή σε βλέπω να κουράζεσαι χωρίς να γνωρίζης ότι αδίκως κοπιάζεις.

Και ο ειδωλολάτρης ιερεύς είπε πάλιν:

-Εγώ έσυγκινήθηκα από τον χαιρετισμός σου και έκατάλαβα ότι είσαι άνθρωπος του Θεού ενώ ένας άλλος κακός καλόγηρος, που με συνήντησε προηγουμένως, με ύβρισε και εγώ τον εκτύπησα μέχρι θανάτου.

Ο Αββάς Μακάριος έκατάλαβεν ότι επρόκειτο για τον μαθητών του. Και ο ειδωλολάτρης ιερεύς αφού αγκάλιασε τα πόδια του Γέροντα του έλεγε:

– Δεν θα σε αφήσω, αν δεν με κάμης μοναχόν.

Εν τω μεταξύ έφθασαν εις τον τόπον όπου ήτο εξαπλωμένος, ωσάν νεκρός, ο μαθητής, μετά τον ξυλοδαρμόν τον εσήκωσαν και τον μετέφεραν εις την Εκκλησίαν

του όρους. Όταν είδαν οι Γέροντες τον είδωλολάτρην ιερέα μαζί με τον Αββάς Μακάριον παραξενεύθηκαν όταν δε έμαθαν και την μεταστροφής του εδόξασαν τον Θεόν και έκαμαν μοναχόν τον πρώην ειδωλολάτρην ιερέα. Εξ αφορμής μάλιστα αυτού και πολλοί ειδωλολάτραι έγιναν Χριστιανοί.

2. Έλεγε λοιπόν ο 'Αββάς Μακάριος, ότι ο κακός λόγος και τον καλόν τον κάνει κακόν ενώ ο καλός ο λόγος και τον κακόν τον κάνει καλόν.

3. Ένας Πατήρ είπεν· αν κάποιος σε υβρίση, ευλόγησε τον και αν μεν το δεχθή, θα είναι καλόν και διά τους δύο άν, πάλιν, δεν το δεχθη, αυτός θα τιμωρηθή από τον Θεόν διά την ύβριν, ενώ συ θα αμειφθής δια την ευλογίαν.

4. Ένας Γέρων είπε: βλέπομεν τον Σταυρόν του Χριστού και διαβάζομεν τα παθήματά Του· διατί λοιπόν να μη υποφέρωμεν ούτε μίαν μόνον ύβριν;

Β'. Του Αββά Ησαΐου

ΕΑΝ εἴπῃ σοὶ τὶς λόγον σκληρόν, μὴ ὑψώσης τὴν καρδίαν σου ἐπ' αὐτόν, ἀλλὰ σπούδασον αὐτῶ βαλεῖν μετάνοιαν πρὸ τοῦ γενέσθαι μέμψιν ἐν τῇ καρδίᾳ σου ἐπεῖ ἡ ὀργὴ μετὰ σπουδῆς ἔρχεται. Ἐὰν τὶς σὲ ὑβρίση, μὴ ἀντείπῃς αὐτῶ, ἕως οὐ σιωπήση καὶ ἐὰν ἔρευνησας σαυτὸν εὕρησης ἃ ἤκουσας ἐν σοῖ παρ' αὐτοῦ, μετανόησον ὡς σὺ ἁμαρτήσας καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ δέχεται ἡμᾶς πάλιν.

Ερμηνεία

ΕΑΝ σου είπη κάποιος σκληρόν λόγον, μη θυμώσης εναντίον του, αλλά φρόντισε γρήγορα να του βάλης μετάνοιαν, πριν να τον κατηγορήσης μέσα εις την καρδίαν σου, επειδή, αν δεν το κάνης, θα σε καταλάβη σύντομα η οργή. Αν κάποιος σε υβρίση, μή του αντιμιλήσης μέχρι να σωπάση. Αν εξετάσης προσεκτικά τον εαυτόν σου και εύρης μέσα σου ότι όσα ήκουσες από αυτόν είναι σωστά, να μετανοήσης ωσάν να αμάρτησες σύ, και η καλωσύνη του Θεού μάς δέχεται πάλιν.

ΥΠΟΘΕΣΙΣ ΜΕ΄
(Δεν πρέπει να ψευδώμεθα, αλλά να λέγωμεν την αλήθειαν)

Ὅτι οὐ δεῖ ψεύδεσθαι, ἀλλὰ ἀληθεύειν.

Ότι δεν πρέπει να ψευδώμεθα, αλλά να λέγωμεν την αλήθειαν.

Α'. Εν τω Γεροντικώ

ΕΡΩΤΗΘΗ ΓΕΡΩΝ: τί ἐστιν ἡ ζωὴ τοῦ μοναχοῦ; Καὶ ἀπεκρίθη: στόμα ἀληθινὸ ν, σῶμα ἅγιον, καρδία καθαρά.

2. Εἶπε γέρων τὸ ψεῦδος, καὶ παλαιὸς ἄνθρωπος τυγχάνει, καὶ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης: ἡ δὲ ἀλήθεια, ὁ νέος ἄνθρωπος καὶ κατὰ Θεὸν κτισθεῖς.

3. Εἶπε πάλιν' ἡ ρίζα τῶν καλῶν ἔργων ἐστὶν ἡ ἀλήθεια, τὸ δὲ ψεῦδος τυγχάνει ὁ θάνατος.

Ερμηνεία

ΗΡΩΤΗΣΑΝ ένα Γέροντα τι είναι η ζωή του μοναχού; Και έκείνος απήντησε: στόμα αληθινόν, σώμα άγιον, καρδία καθαρά.

2. Ένας Γέρων είπε το ψεύδος είναι ο παλαιός άνθρωπος, ο οποίος φθείρεται από τις επιθυμίας της απατηλής αμαρτίας ενώ η αλήθεια είναι ο νέος άνθρωπος, που ανεγεννήθη σύμφωνα με το θέλημα του Θεού (Εφεσ. δ', 21-25).

3. Είπε πάλιν ο ίδιος Γέρων: η ρίζα όλων των καλών έργων είναι η αλήθεια, ενώ το ψεύδος είναι ο θάνατος.

ΥΠΟΘΕΣΙΣ ΜΕ΄ (Δεν πρέπει να ψευδώμεθα, αλλά να λέγωμεν την αλήθειαν)

Β'. Αντιόχου του Παντέκτου

ΩΣΠΕΡ τὸ τοῦ ἀληθινοῦ ἀνδρὸς στόμα ἀπὸ τῆς ἀληθείας ἁγιάζεται, ἤγουν τοῦ Κυρίου, λέγει γὰρ αὐτός, ἐγὼ εἶμαι ἡ ἀλήθεια, οὕτω καὶ ὁ ψευδόμενος μολύνεται ἐκ τοῦ πατρὸς αὐτοῦ του διαβόλου τὸ γὰρ ψεῦδος ἐκ τοῦ πονηροῦ εἶναι σαφῶς ὁ Σωτὴρ ἀπεφήνατο.

Ερμηνεία

ΟΠΩΣ ακριβώς το στόμα του ανθρώπου, που λέγει την αλήθειαν, αγιάζεται από την Αλήθειαν, δηλαδή τον Κύριον, διότι ο ίδιος λέγει: «εγώ είμαι η Αλήθεια» (Ιωάν. ιδ', 6), έτσι και εκείνος που λέγει ψέματα μολύνεται από τον πατέρα του τον διάβολον· διότι το ψεύδος προέρχεται από τον σατανάν, όπως είπε καθαρά και Σωτήρ (Ιωάν. η', 44).

Γ'. Ησαΐου του Αναχωρητού

ΜΗ ἐπαινέσῃς εἰ μὴ ἃ εἶδες ἃ δὲ ἤκουσας, μὴ εἴπῃς ὡς ἰδών. Δίδαξον τὴν γλῶσσαν σου εἰς τοὺς λόγους τοῦ Θεοῦ ἐν γνώσει καὶ τὸ ψεῦδος φεύγει ἀπό σου. Τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων τίκτει τὸ ψεῦδος το δὲ ἀνατρέψαι αὐτὸ ἐν ταπεινώσει, ποιεῖ τὸν φόβον τοῦ Θεοῦ μείζονα ἐν τῇ καρδίᾳ σου. Φύλαξον σεαυτὸν ἀπὸ τοῦ ψεύδους, ὅτι αὐτὸ ἐκδιώκει τὸν φόβον τοῦ Θεοῦ ἀπό σου.

Ερμηνεία

ΝΑ μη επαινέσης, παρά μόνον εκείνα τα οποία είδες: δι' όσα δε ήκουσες, να μη ομιλήσης ωσάν νά είδες αυτά. Δίδαξε την γλώσσαν σου να γνωρίζη τα λόγια του Θεού και να τα λέγη: έτσι το ψεύδος θα φυγαδευθή από σέ. Η αγάπη προς την δόξαν των ανθρώπων γεννά το ψεύδος: όταν όμως το ανατρέψης με ταπείνωσιν, τότε γιγαντώνεται ο φόβος του Θεού εις την καρδίαν σου. Να προφυλαχθής από το ψεύδος, διότι αυτό εκδιώκει τον φόβον του Θεού από μέσα σου.

Δ'. Του Αββά Μάρκου

ΣΤΟΜΑ ταπεινόφρονος λαλήσει ἀλήθειαν, ὁ δὲ ἀντιλέγων αὐτὴ ὅμοιός ἐστι τῷ ὑπηρέτῃ ἐκείνῳ, τὸ ἐπὶ σιαγόνος τὸν Κύριον ραπίσαντι.

ΥΠΟΘΕΣΙΣ ΜΕ΄ (Δεν πρέπει να ψευδώμεθα, αλλά να λέγωμεν την αλήθειαν)

Ερμηνεία

ΤΟ στόμα του ταπεινόφρονος θα λαλήση, την αλήθειαν εκείνος όμως ο οποίος αντιλέγει εις την αλήθειαν ομοιάζει με τον υπηρέτην, που έρράπισε τον Κύριον εις την σιαγόνα (Ιωάν. ιη', 22).

Ε'. Εν τω Γεροντικώ

ΕΙΠΕΝ ὁ ἀββᾶς Ἀνοὺβ ἐξ οὐ τὸ ὄνομα τοῦ μοναχοῦ ἐκλήθη ἐπ' ἐμέ, οὐκ ἐξ. ᾖλθε ψεῦδος ἐκ τοῦ στόματός μου.

2. Εἶπεν ὁ Ἀββᾶς Γρηγόριος τὰ τρία ταῦτα ἀπαιτεῖ ὁ Θεὸς παρὰ παντὸς ἄνθρωπου ἔχοντος τὸ θεῖος Βάπτισμα πίστιν ὀρθὴ καὶ ἀπὸ τῆς ψυχῆς, ἀλήθεια καὶ ἀπὸ τῆς γλῶ ττῆς, καὶ σωφροσύνην ἀπὸ τοῦ σώματος.

Ερμηνεία

Ο ΑΒΒΑΣ Ανούβ είπεν: από τότε που ονομάσθηκα μοναχός, δεν έβγήκεν από το στόμα μου λόγος ψευδής.

2. Ο Αββάς Γρηγόριος είπεν: Ο Θεός απαιτεί από κάθε άνθρωπον, ο οποίος έλαβε το Αγιον Βάπτισμα, αυτά τα τρία πράγματα από την ψυχήν ορθόδοξον πίστιν, από την γλώσσαν αλήθειαν, και από το σώμα σωφροσύνην.

ΣΤ'. Του Αγίου Εφραίμ

ΠΟΙΟΥΝΤΩΝ ποτὲ παρέργιον τῶν ἀδελφῶν ἐν νυκτί, χειμῶνος ὄντος, τὶς αὐτῶν ὄχληθεις ὑπὸ τοῦ ρίγους ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ ἕτερος δὲ διεγόγγυζε κατ' αὐτοῦ. Ἀπέστειλαν οὖν πρὸς αὐτὸν ἀδελφὸν φωνῆσαι αὐτόν. Ὁ δὲ ἀπελθῶν εὗρεν αὐτὸν δεινοπαθοῦντα καὶ λέγει αὐτὸ λέγουσιν οἱ ἀδελφοὶ πῶς ἔχεις; καὶ περὶ τοῦ ἔργου σου μὴ σοὶ μελέτω ἡμεῖς ποιοῦμεν. Ὁ δὲ εἶπε μνησθείη ὑμῶν ἡ ἀγάπη καγῶ ἤθελον συγκοπιᾶσαι ὑμίν, ἀλλ' ἡ ἀσθένειά μου ἐμποδίζει μέ. Καὶ ὑποστρέψας καὶ ἀποσταλεῖς πρὸς τοὺς ἀποστείλαντας αὐτόν, εἶπεν αὐτοῖς λίαν κοπιὰ ὁ ἀδελφός, καὶ εἴρηκε μοὶ ὅτι κάγω ἤθελον συγκοπιᾶσαι ὑμίν, ἀλλ' οὐ δύναμαι. Οὗτος ἔστιν ὁ ἐν τῷ ψεύδει οἰκονομίαν πληρῶν.

Ερμηνεία

ΥΠΟΘΕΣΙΣ ΜΕ΄ (Δεν πρέπει να ψευδώμεθα, αλλά να λέγωμεν την αλήθειαν)

ΚΑΠΟΤΕ, μίαν χεμωνιάτικη νύκτα, μερικοί αδελφοί εκτελούσαν κάποιαν πρόσθετον υπηρεσίαν ένας από αυτούς, επειδή τον επείραξεν ή νυκτερινή παγωνιά, εγύρισεν εις το κελλί του και ένας άλλος εγόγγυζεν εναντίον του.

"Έστειλαν λοιπόν κάποιον άλλον προς τον αδελφόν, διά να τον φωνάξουν. “Ο απεσταλμένος τον ευρήκε να υποφέρη και του λέγει:

– Οι αδελφοί έρωτούν πώς είσαι; Λέγουν δε να μη στενοχωρήσαι δια την υπηρεσίαν σου την κάμνομεν ημείς.

Εκείνος απήντησεν:

– Είθε ο Κύριος να ενθυμηθή την αγάπην σας και εγώ ήθελα να κοπιάσω μαζί σας, αλλά με εμποδίζει η ασθένειά μου.

"Οταν επέστρεψεν ο απεσταλμένος, είπεν εις τους άλλους αδελφούς:

- Ο αδελφός υποφέρει πάρα πολύ και μου είπεν ότι και εγώ ήθελα να κοπιάσω μαζί σας, αλλά δεν ημπορώ. Αυτός είναι εκείνος, που μετεχειρίσθη το ψεύδος κατ’ οικονομίαν, διά να μη κάμη κακόν.

Ζ'. Εν τω Γεροντικώ

ΔΥΟ Γέροντες είχον θλίψιν προς αλλήλους έτυχε δε τον ένα εξ αυτών ασθενήσαι. "Ηλθεν ούν εις αυτόν αδελφός χάριν επισκέψεως. Ο δε γέρων παρεκάλει τον αδελφόν λέγων· λύπην έχομεν εγώ και ο δείνα γέρων, και ήθελον ίνα παρακαλέσης αυτόν όπως φιλιωθώμεν. Απεκρίθη ο αδελφός εκέλευσας, αββά; εγώ παρακαλώ. Και εξελθών ο αδελφός διελογίζετο εν εαυτώ πώς μετέλθη το πράγμα εφοβείτο γάρ μήποτε ουκ ανέξεται ο γέρων της παρακλήσεως ή και πλείων παροξυσμός γένηται.

Κατ' οικονομίαν δε Θεού τις εκ των αδελφών φέρει αυτά πέντε σύκα και ολίγα συκάμινα και λαβών ταύτα ο αδελφός έθετο εν τη ιδία κέλλη και εκλεξάμενος εν συκον και ολίγα συκάμινα, απήνεγκε το γέροντα προς δν έμελέτα απελθείν. Και είπεν Αββά, ταύτα τις ενήνοχε το γέροντα το δείνα ασθενούνται και ως έτυχον εκεί, είπέ μοι δέξαι ταύτα και δος τω δεϊνι γέροντα και έφερον αυτά πρός σε. “Ο δε γέρων, ως ήκουσεν, έστη ενεός επί πολύ. Και είπε ταύτα εμοί έπεμψε; Και απεκρίθη ο αδελφός ναι, 'Αββά. Και απέλαβεν αυτά ο γέρων ειπών καλώς ήκεις. .

ΝΑ μη δώσης προσοχήν εις την γλώσσαν του καταλάλου ούτε να χρησιμοποιήσης την γλώσσαν σου διά να ικανοποιήσης την ακοήν του φιλοπεριέργου, με το να ακούης ευχαρίστως κατηγορίας εναντίον του γείτονος: διαφορετικά θα ξεπέσης από την θεϊκής αγάπης και θα χάσης την αιώνιον ζωήν. Να μη δέχεσαι ύβριν κατά του πνευματικού σου Πατρός, ούτε να δίδης θάρρος εις αυτόν που τον ατιμάζει, δια να μη οργισθή ο Κύριος από τα έργα σου και σε εξολοθρεύση από την γήν των ζώντων. Να κλείνης το στόμα εκείνου που κατηγορεί άλλους εμπρός σου, διά να μη αμαρτήσης διπλά μαζί του θα συνηθίσης δηλαδή και ο ίδιος είς το ολέθριον αυτό πάθος και δεν θα εμποδίζης και εκείνον από του να φλυαρή εναντίον του πλησίον.

Εκείνος που λέγει με απάθειαν κάποιο αμάρτημα του αδελφού του, παρακινείται από δύο αιτίας ή το κάνει για να τον διορθώση, ή διά να ωφελήση κάποιον άλλον. Εκτός από αυτάς τας περιπτώσεις, τότε λέγει το αμάρτημα του αδελφού, είτε εις τον ίδιον είτε εις κάποιον άλλον, διά να τον προσβάλη, ή διά να τον διαπομπεύση, έτσι δεν θα αποφύγη την εγκατάλειψιν του Θεού και θα περιπέση οπωσδήποτε εις το ίδιον ή εις άλλο πταίσμα και αφού θα έλεγχθη και θα χλευασθή από άλλους θα δοκιμάση και αυτός εντροπήν.

Οταν ίδης υπερηφάνους που δεν αντέχουν να επαινούνται οι καλύτεροι από αυτούς, να εμποδίζουν με επιμονήν να διακηρυχθη η αλήθεια και να την περιορίζουν

με πολλούς πειρασμούς και με αδίκους συκοφαντίας, τότε να σκέπτεσαι ότι ο Κύριος ξανασταυρώνεται πάλιν απ' αυτούς και θάπτεται και φυλάσσεται με στρατιώτας και σφραγίδας. Αλλ' όμως η αλήθεια θριαμβεύει, αφού ανατρέψη όλα αυτά τα εμπόδια, διότι λάμπει περισσότερον με την πολεμικήν που της γίνεται και διότι η πολεμική αυτή την κάμνει περισσότερον ισχυρήν ώστε να μη παθαίνη τίποτε από όλα είναι περισσότερον δυνατή επειδή είναι και λέγεται αλήθεια.

Ζ'. Εν τω Γεροντικώ

ΕΙΠΕ Γέρων: ὡς πὲρ ὁ δεχόμενος πῦρ ἐν τῷ κόλπῳ, ὑπ' αὐτοῦ καταφλέγεται, οὕτω καὶ καὶ τὰς τῶν πολλῶν συντυχίας δεχόμενος, τὴν καταλαλιὰν οὐκ ἐκφεύξεται.

2. Εἶπεν ὁ ἀββᾶς Ὑπερέχιος καλὸν φαγεῖν κρέα καὶ πιεῖν οἶνον, καὶ μὴ φαγεῖν ἐν καταλαλιαϊς σάρκας ἀδελφῶν.

3. Εἶπεν καὶ αὐτὸς ψιθυρίσας ὁ ὄφις τὴν Εὔαν τοῦ Παραδείσου ἐξέωσε τούτου οὖν ὅμοιός ἐστι καὶ ὁ καταλάλων τοῦ πλησίον ἀπολλύει γὰρ σὺν τὴ ἑαυτοῦ καὶ τὴν ψυχὴν τοῦ ἀκούοντος.

4. Εἶπε πάλιν ρῆμα πονηρὸν μὴ προφερέτω τὸ στόμα σου ἄμπελος γὰρ ἀκάνθας οὐ φέρει.

5. Ἠρωτήθη γέρων τί ἐστι καταλαλιά; Καὶ ἀπεκρίθη το μὴ γνώναι τὸν Θεὸν ἢ τὴν δόξαν αὐτοῦ, καὶ ὁ φθόνος καὶ πρὸς τὸν πλησίον.

Ερμηνεία

ΕΝΑΣ Γέρων είπεν· όπως εκείνος που δέχεται εις τον κόλπον του φωτιάν κατακαίεται από αυτήν, έτσι και εκείνος που συναναστρέφεται με πολλούς, δεν θα αποφύγη την καταλαλιάν.

2. Ο Αββάς Υπερέχιος είπεν είναι προτιμότερον να φάγης κρέατα και να πιής κρασί, παρά να φάγης, με την καταλαλιάν, τας σάρκας των αδελφών.

3. Είπεν ο ίδιος Αββάς: Με το να ψιθυρίση ο όφις εις την Εύαν, την έδιωξε από τον Παράδεισον. Με αυτόν λοιπόν τον όφιν ομοιάζει και εκείνος, που καταλαλεί εναντίον του πλησίον του· διότι παρασύρει εις την απώλειαν μαζί με τον εαυτόν του και την ψυχήν εκείνου που τον ακούει.

4. Είπε, πάλιν, ο ίδιος το στόμα σου ας μη προφέρη κακόν λόγον: (διότι το αμπέλι δεν βγάζει αγκάθια (Ματθ. ζ', 16).

5. Ήρώτησαν ένα Γέροντα: τι είναι καταλαλιά; Και εκείνος απήντησε: Το να μη σέβεται κανείς τον Θεόν ή την δόξαν Του και ο φθόνος δια τον πλησίον.

Η'. Του Αγίου Εφραίμ

ΑΔΕΛΦΕ, μὴ ἀνέχου τοῦ καταλαλοῦντος, κὰν ἀληθῆ λέγῃ, ἵνα μὴ τοῦ αὐτοῦ ὀλέθρου κοινωνήσης αὐτῶ. Καὶ γὰρ ἐὰν συμβῇ τινὰ ἀληθῶς λέγειν κακὸν τὸν ἥμαρτηκοτα βασιλέα, οὐ φέρει τὶς τῶν παρισταμένων ἀκροάσθαι τῶν λεγομένων κατὰ τοῦ βασιλέως, εἰ δὲ ἀνασχοιτο στῆναι καὶ ἀκούσαι, μία τιμωρία ὁμοίως κατ' ἀμφοτέρων ἔστιν ἐκφερομένη καὶ ὁ μὲν φονεύεται γιὰ τὴν γλώτταν, ὁ δὲ διὰ τὴν ἀκοήν. Ἐξηγεῖται τινὰ ὁ ψεύστης, καὶ κλίνεις τὸ οὖς σου πρὸς αὐτόν, καὶ τὸν θάνατον, δν ἐκφέρει διὰ τοῦ στόματος, ὑποδέχεται ὁ κόλπος τῆς σῆς ἀκοῆς, καὶ τὴν πικρᾶν ζύμην τοῦ ψεύδους λαβῶν, ἐφύρασας αὐτὴν ἐν σεαυτῷ.

Πόθεν ὁ θάνατος εἴσοδον ἔσχεν ἐν τῷ ἀνθρώπῳ; Οὐχὶ δὶ' ἀκοῆς, δὶ' ἧς ἡ Εὔα τὰ τοῦ ὄφεως ἐδέξατο ρήματα; Διὰ ταύτης ἔκτοτε καὶ μέχρι τοῦ νῦν δ ὄλεθρος εἰσέρχεσθαι πέφυκε. Δύναται γὰρ ὁ διάβολος ἀναιρεῖν τὸν σιγώντα διὰ τοῦ λαλοῦντος, καὶ δν οὐ δύναται ἀναιρῆσαι διὰ τοῦ στόματος, ἀναιρεῖ διὰ τοῦ ὠτὸς τῶν δαιμόνων λεγόντων τὴν ἀλήθειαν, οὐκ ἤνεσχετο ὁ Σωτὴρ ἀκούσαι.

Καὶ οἱ Ἀπόστολοι δὲ οὐ κατεδέξαντο ἀκούσαι τοῦ ἐγκωμιάζοντος αὐτοὺς δαίμονος, ἵνα μὴ ἡ πικρὰ φωνὴ καταβληθῆ εἰς τὴν καθαρὰν ἀκοήν, καὶ ἐκ τούτου καὶ εἰς τὸ ψεῦδος ἀπαράδεκτο γένηται πέφυκε γὰρ ὁ δόλιος τὴ ἀληθεῖα τὸ ψεῦδος παραμιγνύναι, καὶ οὕτως ἀπατήσας τοὺς ἁπλουστέρους, εἰς τὸ τῆς ἀπωλείας κατακρημνίζειν βάραθρον. Καὶ ὁ ὄφις ἐσθίων γλυκύτητα, παραχρῆμα μεταβάλλει αὐτὴν εἰς πικρότητα, καὶ ἐὰν μεταπέμψη αὐτὴν εἶς τινά, οὐαὶ τὸ ὑποδεξαμένω.

Οὕτω καὶ ἐκ τῆς ἀληθείας τὸ ψεῦδος πέμπεται κώνειον θανάτου πεπληρωμένον. Ἐν γὰρ τοῖς ἡδυτάτοις αὐτοῦ λόγους πικρία χαλεπὴ καὶ ὀλέθριος ἐγκέκρυπται, λανθάνουσα τοὺς πολλούς. Οὕτω καὶ ὁ Ἰσκαριώτης, ἐν τῷ φιλήματι τοῦ στόματος καὶ ἐν τῇ εἰρηνικῇ γλώττη κρύψας τὸν δόλον, κατεσκεύασε προδοσίας κατὰ τοῦ καρδιογνώστου Δεσπότου. Καὶ εἰ πρὸς τὸν δημιουργῶν τοιοῦτος ὤφθη ὁ ψεύστης, πρὸς σὲ πηλίκος γενήσεται; Παρέδωκεν ἑαυτὸν ὁ Σωτὴρ τῷ θανάτῳ, καὶ οὐ παρέδωκε τὴν ἀκοὴν αὐτοῦ τὴ φωνὴ τοῦ ψεύστου.

ΥΠΟΘΕΣΙΣ ΜΘ΄ (Να μην καταλαλούμε και να μην ανεχόμαστε φιλοκατήγορο)

Ἀνοίξας αὐτοῦ το στόμα, ὄξος μετὰ χολῆς ἐγεύσατο, καὶ τὸ οὗς οὐ παρέσχεν εἰς τὸ δέξασθαι ρήματα τοῦ μιαροῦ. Δέδωκεν αὐτοῦ το στόμα ἕνα φιλήση καὶ προδότης, καὶ ἀπόκρισιν οὐ παρέσχε τὸ ἀπατεώνι. Δίδου τὸ στόμα σου τὰ ψεύστη φιλῆσαι, καὶ μὴ δῶς αὐτὴ τὴν σὴν ἀκοήν. Τὸ μὲν γὰρ φίλημα αὐτὸν κατακρίνει, διὰ δὲ τῆς ἀκοῆς φονεύσει σε ἢ τῶν ρημάτων αὐτοῦ γεῦσις βέλτιον δὲ ποιήσεις, ἐὰν παντελῶς ἐκφύγης τὴν ὀσμὴν καὶ τὸ γεῦμα τοῦ κωνείου.

Διατὶ τὸν μὲν καπνὸν φεύγεις ὀξέως, τοῦ δὲ ψεύστου ἀκούεις ἥδεως; παραιτῇ τὴν δυσωδίαν, καὶ καθέζη παρὰ τὸν κατήγορον; "Ἕκαστος τῶν μελῶν σου οφείλεις δεόντως φυλάξασθαι ἀπὸ τῶν βλαβερῶν. Ἐὰν ἀθῷον σου τὸ σῶμα ὑπάρχη ἀπὸ τῆς πορνείας, φεῖσαι σου τοῦ στόματος ἀπὸ τῆς καταλαλιᾶς μὴ δυνάμενον τὸ στόμα μοιχεύσαι, δύναται ψεύσασθαι καὶ συκοφαντῆσαι, καὶ τὰ αὐτὴ περιβαλεῖν ὀλέθρω. Ἐὰν γὰρ ἕν σου μέλος ὑπεύθυνον ἦ, ὅλος κατάδικος εἰ δὶ' ἐκείνου τοῦ κατακεκριμένου.

Ὁ στρατιώτης ἅπαν το σῶμα πέφρακται ἐν θώρακι σιδηρῷ, ἀλλ' ἐὰν μία των λεπτοτάτων του θώρακος ὀπῶν διακοπεῖσα εἰσοικισμὸν τῷ βάλει παράσχῃ, θάνατον φέρει κατὰ τοῦ γενναίου. Οὕτω καὶ ἐπὶ τῆς τοῦ ὠτὸς θύρας, εἰ εὑρεθῇ τὸ καταλάλω ἀνεωγμένη, ὅλεθρον τῷ ὑποδεξαμένῳ δεινότατον εἰσοικίζεται. Αὕτη δὲ ἡ θύρα τοιαύτη μεγάλη ἐστίν, ὡς τὸν τηλικοῦτον θάνατον δὶ' αὐτῆς χωρῆσαι καὶ εἰσελθεῖν εἰς τὸν κόσμον, ὃς καταπίνων πάσας τὰς γενεᾶς ἀκόρεστος μένει. Ἀποκλειστέον οὖν τὰ ὦτα θυρώμασι καὶ μοχλοῖς, ἵνα μὴ εἰσέλθη κατηγορία μὴ καταφρονήσης καταλαλιᾶς ὡς μιουροῦ τινὸς καὶ μὴ δυναμένου ἀναιρεῖν.

Λεπρὰ γέγονεν ὡς χιῶν ἡ Μαριάμ, καταγνωσθεῖσα ἐν ἐνὶ λόγω κατηγορίας. Καὶ εἰ ἐκείνη Προφήτις οὖσα φρικτὴν δίκην ἔδωκε τῆς γλωσσαλγίας, ἠλίκον ἄρα τῆς τιμωρίας τοὺς διαφόρως ταῖς καταλαλιαις κεχρημένους; Καὶ τὸ ὃν λαλησάσης τῆς Μαριάμ, ἀπεδοκιμάσθη ἡ ἀλήθεια, διότι μετὰ κατηγορίας ἔφρασεν. Ὡσαύτως ἐὰν χρήσηται τὶς τὴ καταλαλιὰ δικαίως, ἡ δικαιοσύνη αὐτοῦ ἀδικίας μεστὴ ἢ γὰρ ἔλεγξον δικαίως ἢ μὴ λάθρα κατηγορήσης. Ἐξουθενεῖται γὰρ ἡ δικαιοσύνη ὅταν συγκεκέρασται αὐτὴ ἥ της δολιότητος φαυλότης. Καὶ ἡ τροφὴ ἀναιρεῖ, ἐὰν ἔχῃ κεκρυμμένον τὸ κώνειον.

Διὰ τῶν φανερῶν τα ἀφανῆ καταμάθωμεν, διὰ Μαρίας ζωγραφουμένην κατίδωμεν τὴν ἀλήθειαν λεπρῶν γὰρ αὐτῆς ὅλον το σῶμα γέγονε προφανῶς ἐπειδὴ πάση τὴ ψυχὴ ἥμαρτεν ἀφανῶς διὰ τῆς βλάβης τῆς φανείσης ἔγνω τὴν βλάβην ἣν ὑπέμεινε λελησθότως. Διὰ τῆς ἀηδεστάτης λέπρας ἔμαθεν ὅσον κακὸν καὶ μεμισμένον ἡ κατηγορία καὶ γέγονε τὸ δρώμενον σῶμα κάτοπτρον ἔνδον ἀοράτου ψυχῆς διὰ τῆς διαφθορᾶς τῆς σαρκὸς ἐδιδάχθη πῶς διαφθείρεται καρδία φιλοῦσα τὴν καταλαλιὰν διὰ τοῦ ἔξωθεν ἀνθρώπου συνῆκε τὸν ἔνδοθεν αὐτῆς ἄνθρωπον, τί πέπονθε.

ΥΠΟΘΕΣΙΣ ΜΘ΄ (Να μην καταλαλούμε και να μην ανεχόμαστε φιλοκατήγορο)

Καθάπερ γὰρ ἐκείνη κατεμερίσθη κατὰ τοῦ ἀδελφοῦ αὐτῆς, οὕτω καὶ ἀπ' αὐτῆς κατεμερίσθη τὸ ἴδιον σῶμα αὐτῆς, ὅπως αὐτὴ δι' ἑαυτῆς μάθη πόσον ἀγαθὸν ἡ ἕνωσις τῆς ἀγάπης γέγονεν ἐν αὐτῇ καὶ ἀντίπαλά τα μέλη, ἐπειδὴ κακείνη ἐναντία τῷ ἀδελφῷ γέγονεν, ὡς ἂν διὰ τῆς ἐναντιωσεώς του σώματος σπουδάση κτήσασθαι πρὸς τὸν πλησίον εἰρήνην τὲ καὶ ὁμόνοιαν.

Ερμηνεία

ΑΔΕΛΦΕ, να μη ανέχεσαι εκείνον που καταλαλεί εναντίον κάποιου άλλου, έστω και αν λέγη την αλήθειαν, διά να μη πάθης και συ την ίδια συμφοράν με εκείνον. Διότι και αν συμβή κάποιος να λέγη την αλήθειαν, ότι είναι κακός ο βασιλεύς, που ήμάρτησε, κανείς από τους παρισταμένους δεν στέκεται να ακούσω τα λεγόμενα εναντίον του βασιλέως αν σταθή και ακούση, μία τιμωρία αναμένει και τους δύο. Ο ένας φονεύεται δι' αυτά που είπε και ο άλλος δι' αυτά που ήκουσε. Κατηγορεί κάποιον ο ψεύστης και συ στήνεις το αυτί εις αυτόν έτσι τον θάνατον που βγάζει από το στόμα του, τον δέχεται η ακοή σου και αφού πάρης το πικρόν προζύμι του ψεύδους, έζύμωσες με αυτό την καρδίαν σου.

Από πού εισήλθεν ο θάνατος εις τον άνθρωπον; Μήπως όχι με την ακοήν, με την οποίαν η Εύα εδέχθη τα λόγια του όφεως; Με αυτήν, από τότε μέχρι και σήμερα, εισέρχεται πάντοτε η καταστροφή. Ημπορεί βέβαια ο διάβολος να θανατώνη αυτόν που σιωπά με εκείνον που ομιλεί και εκείνον που δεν ημπορεί να θανατώση με το στόμα, τον θανατώνει με την ακοήν. Και την αλήθειαν, όταν έλεγαν οι δαίμονες, ο Σωτήρ δεν έδέχετο να την ακούση.

Και οι Απόστολοι δεν εδέχθησαν να τους εγκωμιάζη ο δαίμων, διά να μη ριζώση η φαρμακερή φωνή εις την καθαράν ακοήν και να συνηθίση έτσι να μη παραδέχεται και το ψεύδος. Διότι ο διάβολος ανακατώνει εκ φύσεως το ψεύδος με την αλήθειαν, διά να εξαπατήση έτσι τους απλουστέρους και να τους ρίψη εις το βάραθρον της καταστροφής. Και ο όφις ενώ τρώγει γλυκείαν τροφήν, αμέσως την μεταβάλλει σε δηλητήριον, και αν την διοχετεύση σε κάποιον, αλλοίμονον εις εκείνον που θα την δεχθή.

Έτσι και από την αλήθειαν ο διάβολος παρασκευάζει το ψεύδος και το στέλλει γεμάτο με θανατηφόρον δηλητήριον. Μέσα δηλαδή είς τα γλυκόλογα του είναι κρυμμένη φοβερή και καταστρεπτική πικρία, την οποίαν οι περισσότεροι δεν την προσέχουν. Έτσι και ο Ισκαριώτης μέσα εις το φίλημα και την ειρωνικήν γλώσσαν

έκρυψε το δόλωμα, με το οποίον επέτυχε να προδώση τον καρδιογνώστην Δεσπότην. Και αν ο ψεύστης εφάνη τέτοιος απέναντι του Δημιουργού, είς εσένα θα φανή διαφορετικός; Ο Σωτήρ παρεδόθη εις τον θάνατον, αλλά δεν παρέδωσε την ακοήν του εις την φωνήν του ψεύστου.

Ανοιξε το στόμα του και εδοκίμασε ξίδι με χολήν δεν προσέφερεν όμως τα ώτα του διά να ακούση τα λόγια του ακαθάρτου. Έδωσε το στόμα του να το φιλήση ο προδότης και δεν έδωσεν απόκρισιν εις τον απατεώνα. Να δίδης το στόμα σου να το φιλήση ο ψεύστης, αλλά μη προσέξης εις τα λόγια του. Διότι το φίλημα τον καταδικάζει, αν δεχθής όμως και τον ακούσης θα σε φονεύση η γεύσις των λόγων του. Θα κάνης πολύ καλά, αν αποφύγης ολότελα και την οσμήν και την γνώσιν τού δηλητηρίου.

Διατι αποφεύγεις γρήγορα μεν τον καπνόν, τον δε ψεύστην τον ακούς ευχάριστα; Αποφεύγεις την δυσωδίαν και κάθεσαι κοντά εις τον κατηγορον; '"Έχεις υποχρέωσιν να φυλάξης προσεκτικά κάθε μέλος σου από ό,τι είναι επιβλαβές. Αν το σώμα σου έχη διατηρηθή καθαρόν από την πορνείαν, φύλαξε το στόμα σου από την καταλαλιάν. Το στόμα δεν ήμπορεί να μοιχεύση, ημπορεί όμως να είπη ψέματα, να συκοφαντήση και να σου προξενήση την ιδίαν καταστροφήν. Διότι αν είναι ένα μέλος σου υπευθυνον (δι' αμαρτίαν), είσαι ολόκληρος καταδικασμένος, ένεκα του μέλους εκείνου που έχει κατακριθή.

Ο στρατιώτης έχει φραγμένον ολόκληρον το σώμα του με σιδερένιον θώρακα αλλά αν μία πάρα πολύ μικρή τρύπα ανοίξη περισσότερον και αφήση δρόμον διά να περάση το βέλος, τότε φέρνει τον θάνατον εις τον γενναίον. Έτσι συμβαίνει και με την θύραν της ακοής: αν ευρεθή ανοικτή διά τον κατάλαλον, προξενεί τρομακτικής καταστροφήν εις εκείνον που δέχεται την κατάκρισιν. Αυτή δε η θύρα της ακοής είναι τόσον πολύ μεγάλη, ώστε να χωρέση και να εισέλθη από αυτήν εις τον κόσμον ο απέραντος αυτός θάνατος (των Πρωτοπλάστων), που καταπίνει όλας τας γενεάς και ακόμη μένει αχόρταγος. Πρέπει λοιπόν να κλείσης τα αυτιά σου με σύρτας και μάνταλα, διά νά μή εισέλθη κατηγορία εναντίον συνανθρώπου του. Μή περιφρονήσης την καταλαλιάν ότι τάχα είναι κάτι μικρόν και δεν ήμπορεί να βλάψη.

ΥΠΟΘΕΣΙΣ ΜΘ΄ (Να μην καταλαλούμε και να μην ανεχόμαστε φιλοκατήγορο)

Η Μαριάμ[(*)] έγινε κατάλευκος από την λέπραν, ωσάν το χιόνι, έπειδή ετιμωρήθη δι' ένα μονάχα λόγον. Και αν εκείνη, που ήτο και προφήτις ετιμωρήθη φρικτά διά την έκ ζηλοτυπίας καταλαλιάν της, πόσον μεγάλη θα είναι η τιμωρία εκείνων που απερίσκεπτα κατακρίνουν; Και μολονότι είπε την αλήθειαν η Μαριάμ, δεν ελήφθη υπ' όψιν , αλλ' ετιμωρήθη, επειδή ωμίλησε με διάθεσιν κατακρίσεως. Έτσι και αν σωστά ακόμη κατακρίνη κανείς, η δικαιοσύνη του αυτή είναι γεμάτη από αδικίαν· διότι ή πρέπει να ελέγξης δίκαια, ή να μη τον κατηγορήσης κρυφά όταν δεν θα είναι εμπρός. Διότι εξευτελίζεται η δικαιοσύνη όταν ανακατευθή με την φαυλότητα της πανουργίας. Και η τροφή σκοτώνει, αν έχη κρυμμένο το δηλητήριον.

Ας κατανοήσωμεν από αυτά τα φανερά, εκείνα που δεν φαίνονται, και ας διακρίνωμεν την αλήθειαν ζωγραφισμένην εις την περίπτωσιν της Μαριάμ ολόκληρον το σώμα της εγέμισεν από λέπραν, επειδή ήμάρτησε, χωρίς να φαίνεται, με όλην της την ψυχήν. Έτσι με την βλάβης που εφάνηκε, έμαθε την βλάβης που υπέστη χωρίς να το καταλάβη. Με την αηδιαστικήν λέπραν έμαθε πόσον μισητον κακόν είναι η κατάκρισις και το βλεπόμενον σώμα έγινεν ο καθρέπτης του εσωτερικού της ψυχής που δεν φαίνεται. Με την ζημίαν της σαρκός εδιδάχθη πόσον ζημιώνεται η καρδία που αγαπά την κατάκρισιν από τον έξω άνθρωπον εννόησε τι έπαθεν ο εσωτερικός της άνθρωπος.

Διότι όπως εκείνη εξεχώρισε από τον αδελφός της όταν τον κατέκρινε, έτσι και το σώμα της εξεχώρισεν από την ίδιαν (με την τιμωρίαν), διά να πληροφορηθή από τον εαυτόν της πόσο καλόν είναι η ένωσις της αγάπης. Έγιναν αντίπαλα εις αυτήν τα μέλη της, επειδή και εκείνη έγινεν αντίπαλος του αδελφού της, ώστε από την εναντίωσιν αυτήν του σώματος να φροντίση να αποκτήση την ειρήνης και την ομόνοιαν προς τον πλησίον.

[(*)] Μαριάμ καλείται εν τη Παλαιά Διαθήκη η αδελφή του Μωϋσέως και του Ααρών. Αύτη ήτο προφήτης και οδηγός των γυναικών του Ισραήλ, αι οποίαι έψαλλον προς τον Θεόν τον ύμνος της ευχαριστίας μετά την εν τη Ερυθρά θαλάσση πανωλεθρίαν των Αιγυπτίων, των καταδιωκόντων τους Ισραηλίτας εξ Αιγύπτου μεταναστεύοντας (Εξοδ. ιε' 20,21). Πιθανώς αύτη ήτο και η κομίσασα εις τον Νείλον και παραφυλάξασα το σπάρτινσον κάνιστρον ή κιβώτιον, εις το οποίον ήτο το βρέφος Μωϋσής (Εξοδ. 6' 4,5, Αριθ. κστ, 59. Μιχ. στ', 4). Διά δε την κατά του Μωϋσέως ζηλοτυπίας αυτής ετιμωρήθη διά προσκαίρου λέπρας (Αριθ. ιβ'. Δευτερ. κδ' 9). Απέθανε δε και ετάφη εν Κάδης (Αριθ. κ',).

ΥΠΟΘΕΣΙΣ Ν'
(Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Πῶς δεῖ τοὺς συνόντας ἀδελφοὺς διορθούσθαι ἀλλήλους ἔν τισι σφαλλομένους, καὶ πότε μὲν καὶ ἐν ποίοις σφάλμασι σιωπᾶν χρή, πότε δέ το καὶ ἐν ποίοις λαλεῖν καὶ μὴ ἀποκρύπτειν.

Πώς πρέπει οι αδελφοί, που μένουν μαζί, να διορθώνουν ο ένας τον άλλον, όταν περιπίπτουν εις διάφορα σφάλματα: πότε δε και διά ποΐα σφάλματα πρέπει μεν να σιωπούν, πότε δε και είς ποία πρέπει να ομιλούν και να μη τα αποκρύπτουν.

Α'. Εκ του Αγίου Βαρσανουφίου - Ερωταποκρίσεις

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων.

α' Ἐπειδὴ βάλλω τὸν λόγον μου πρὸς τὸν ἀββᾶν, ἤγουν ἀπαγγέλλω τὰ τῶν ἀδελφῶν σφάλματα παρ' ἐκείνου ἐπιτραπεῖς, ἤσθομην τινὰς θλιβομένους τί οὖν ποιήσω, μὴ κάθημαι βλαπτόμενος; "Ο μὲν γὰρ λογισμὸς οὐ κατακρίνει μὲ τὸ σκοπὸ προσέχων, ὅτι οὐ κατὰ πάθος λέγω, φοβοῦμαι δὲ μήπως εἰς ζῆλον προκόψῃ τὸ πρᾶγμα καὶ σαλεύση μέ.

Καὶ ἀπεκρίθη ὁ γέρων.

Ἐὰν καθαρὰ καρδία καὶ δι' ὠφέλειας ψυχῆς καὶ ἐκκοπὴν πὰ- θούς, καὶ μὴ ψηφήσης ρήματα ἀνθρώπων" τὸ γὰρ μεσᾶσαι, ἤγουν ἀναγγείλαι πρὸς τὸν ἀββᾶν ἄνευ πάθους, καλὸν ἐστιν οὐ πάσι γὰρ δίδοται τὸ λαλῆσαι τῷ ἀββᾷ οὐδὲ συμφέρει. Σὺ οὖν ἐὰν κατὰ Θεὸν λαλῇς, ἀφ' ἑαυτοῦ οὔτε λαλεῖς οὔτε ποιεῖς τὸ ἀγαθόν, ἀλλ' ὁ Θεὸς ἔστιν ἐν πάσι, καὶ τὸ ἀγαθόν του Θεοῦ ζῆλον οὐ γεννᾷ ἀλλ' εἰ καὶ φαίνεται πρὸς ὥραν, ταχὺ σβέννυται.

β' Καὶ εἶπεν ὁ ἀδελφός. Καὶ ἄλλος δὲ τὶς ἐὰν ὀφείλῃ καὶ εἴπῃ τῷ ἀδελφῷ, ὀφείλει πληροφορῆσαι αὐτὸν τὸν ἀδελφόν, ὅτι οὐχὶ μισῶν, ἀλλὰ ἀγαπῶν αὐτὸν εἶπεν, ἢ σιωπήσει;

Ἔφη ὁ γέρων.

ΥΠΟΘΕΣΙΣ Ν΄ (Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Κατὰ κενοδοξίαν αὐτὸν θέλει πληροφορῆσαι, ὡς ἵνα μὴ φανῇ κατάλαλος, ἀλλὰ φαίνεται παρὰ τοὺς ἀνθρώποις δίκαιος πρόσχη οὖν εἰς τὴν καρδίαν αὐτοῦ, καὶ μάθη εἰ κατὰ Θεὸν καὶ θέλων ὠφελῆσαι τὸν ἀδελφὸν εἶπε τὸ 'Ἀββᾶ, καὶ εἰ εὕρη οὕτως, ἀφήσει τὸ πᾶν τῷ Θεῷ, κακεῖνος πληροφορεῖ τὴν καρδίαν τοῦ ἀδελφοῦ ὡς οἶδεν. Ἐὰν δὲ αὐτὸς ὁ ἀδελφὸς εἴπῃ αὐτῷ, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἄλλου, & ἔμαθεν εἴποντι περὶ αὐτοῦ τῷ Ἀββᾷ, καὶ λυπᾶται περὶ τούτων, τότε ὀφείλει μετὰ ταπεινώσεως πληροφορῆσαι αὐτὸν λέγων· ὁ Θεὸς οἶδεν, ἀδελφέ, ἀγαπῶν σε καὶ θέλων σου τὴν ὠφέλειαν ταῦτα ἐλάλησα.

Εἶπε γὰρ μοὶ εἰ κατὰ ἄλλον τινὰ τρόπον ταῦτα εἶπον, τί ὠφελούμης ἀπὸ τούτων; οὐ φοβοῦμαι τὴν ἀπόφασιν τὴν λέγουσαν, ὅτι ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν; Μεμνημένος οὖν τοῦ λέγοντος, ὅτι ζήτησαν τὸν πλησίον σου ὡς ἑαυτόν, ἐζήτησα σὲ διορθωθῆναι διὰ τὸν λέγοντας ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη. Παρακαλῶ σε, ἐὰν καὶ αὐτὸς ἴδῃς μου πταῖσμα, ἔλεγξον μὲ καὶ σύ, ἵνα κὰν οὕτως αἰσχυνόμενος μετανοήσω περὶ τοῦ πταίσματος. Ἐὰν δὲ οὐχ ὡς θέλων διορθωθῆναι τὸν ἀδελφόν, ἀλλ' ὡς διαβάλλων αὐτὸν εἴπῃ, ὀφείλει πρώτον καταγνώναι ἑαυτοῦ καὶ δεηθῆναι τοῦ Θεοῦ συγχωρῆσαι αὐτῷ.

Ἔπειτα, εἰ οἶδεν ἀκριβῶς ὅτι ἠσθάνθη ὁ ἀδελφός, ὀφείλει ἀπελθεῖν μετὰ ταπεινώσεως καὶ βαλεῖν αὐτῷ μετάνοιαν, ὁμολογῶν, συγχώρησον μοί, ἀδελφέ, ὅτι ἔχλευασθην ὑπὸ τῶν δαιμόνων, καὶ κατελάλησά σου καὶ εὔξαι ὑπὲρ ἐμοῦ, ἵνα συγχωρήση μοὶ ὁ Κύριος, καὶ δώη μοὶ καιρὸν μετανοίας, ὅτι πλανῶμαι. Οὐκ ἔστι γὰρ δυνατὸν διὰ πλάσματος καὶ ψεύδους πληροφορῆσαι τινὰ τῶν ἀδελφῶν, ἀλλ' ἐν ταπεινώσει διὰ τῆς ἀληθείας. Ἐὰν δὲ οὐκ ἔγνω ὁ ἀδελφός, αὐτῷ μὲν μηδὲν εἴπῃ, ἕνα μὴ βάλῃ αὐτὸν εἰς λογισμούς, ὀφείλει δὲ τῷ Θεῷ μετανοῆσαι περὶ τοῦ ἰδίου σφάλματος καὶ ἐξαγορεύσαι αὐτὸ τὸ 'Ἀββᾶ.

γ' Ὁ αὐτὸς ἤρωτησε τὸν αὐτὸν γέροντα λέγων.

Ἐὰν ἀδελφὸς ἔρωτηση περὶ τινὸς λόγου ἢ πράγματος, καὶ οἶδα αὐτὸ ἀκούσας ἢ καὶ πειραθεῖς, ἀποκριθῶ αὐτῷ ἢ οὔ; Ἐὰν δὲ μὴ ἐρωτηθῶ, ἴδω δὲ πρᾶγμα μὴ καλῶς γινόμενον, ἄρα καλὸν ἀναμνῆσαι τὸν ποιοῦντα ἅπαξ ἢ οὔ;

Ἀπεκρίθη ὁ γέρων.

Φύλαξόν του μὴ εἰπεῖν κατὰ κενοδοξίαν, ἀλλὰ κατὰ ταπείνωσιν καὶ φόβον Θεοῦ καὶ περὶ πάντων, ὧν ἠρώτησας, εἶπε καὶ ὑπομνησον, χρείας γενομένης, εἰς τὸ Κοινόβιόν σου μέντοι καὶ οὐκ ἀλλαχοῦ" καὶ γὰρ οἳ τοῦ Κοινοβίου ὡς ἐν σῶμᾳ εἰσίν, ἐὰν δὲ εὑρεθῆς ἀλλαχοῦ, ἀφ' ἑαυτοῦ μηδὲν εἴπῃς, ἀλλ' ἐὰν ἐρωτηθῆς, εἶπε μετὰ ταπεινώσεως.

δ' Ἔφη ὁ ἀδελφός.

ΥΠΟΘΕΣΙΣ Ν΄ (Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Ἐὰν ἴδω τὴν καρδίαν μου ἡδυνομένην τὴ κενοδοξία ἐν τῷ λέγειν ἢ τότε μὲν οὐχ ἡδυνομένην, προκατανοῶ δὲ ὅτι μέλλει μοὶ γίνεσθαι ὕστερον, ἄρα καλόν ἐστι σιωπῆσαι ἢ οὖ;

Ἀπεκρίθη ὁ γέρων. Τὸ εἰπεῖν τί ποτὲ τινι μετὰ ταπεινώσεως, τοῦτο ἐστι τὸ μὴ λέγειν ὡς διδάσκοντα, ἀλλ' ὡς ἀκούσαντα παρὰ τοῦ ἀββᾶ ἢ τῶν Πατέρων. Ἐὰν οὖν ἔχῃ ὠφέλειαν τὸ πρᾶγμα ἐν τῷ εἰπεῖν τῷ ἀδελφῷ, καὶ πολεμεῖ ἡ κενοδοξία ἐμποιοῦσα ἡδύτητα, πρόσεχε σεαυτῷ, ὅτι ἐμποδίσαι βούλεται τὴ ὠφελεῖα τοῦ ἀδελφοῦ, καὶ ἐὰν ἀκούσῃς αὐτῆς οὐδέποτε ἐάσει ὠφεληθῆναι τινὰ ἀδελφὸν διά σου. Ἐπιτίμησον οὖν τὴ κενοδοξία, καὶ καταφρόνησον αὐτῆς καὶ μεθ' δ εἴπῃς τῶν ἀδελφῶ, μετανόησον τὸ Θεῶ λέγων" συγχώρησον μοί, Κύριε, ὅτι κενοδόξως ἐλάλησα. Ὁμοίως ποίησον, καὶ [ὅταν ἡ κενοδοξία] ὕστερον ἔρχεται.

ε' Ἔφη ὁ ἀδελφός.

Πῶς, πάτερ, ἐπέτρεψας μοί, ἐὰν ἴδω πρᾶγμα παραλόγως, καὶ πρὶν ἐρωτηθῶ, ἵνα λέγω, τῶν Πατέρων λεγόντων πρὸ ἐρωτήσεως μὴ ἀποκρίνασθαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἀδελφέ, πρὸς τὸ μέτρον τοῦ ἀνθρώπου λαλούσιν οἱ γέροντες. "Ἔστιν οὖν καιρὸς ἐνῷ τὸ ὑπηρετεῖ, τὸ ἀνθρώπω ἁρμόζει, νέω ὄντι δηλονότι καὶ ἀτελεῖ, καὶ ἐν τούτῳ τῷ καιρῷ ἔργα ὀφείλει δείξαι διακονίας. Καὶ ἔστι καιρός, ὅταν καὶ αὐτὸς ἔλθη εἰς τὸ διακονείσθαι, καὶ ἄλλα ἐστὶ τὰ ἔργα τοῦ μέτρου τούτου τὰ γὰρ τέλεια, τοῖς τελείοις εἴρηται, τὰ δὲ ἄλλα, τοῖς ὑπὸ νόμον οὔσιν" ὑπὸ παιδαγωγὸς γὰρ ἀκμῆς ἐξετάζονται.

στ' Ἠρώτησεν ὁ ἀδελφός.

Ποιεῖ τὶς μέσον πρᾶγμα μὴ ἔχον ἁμαρτίαν, ἐγὼ δὲ διὰ θέλημα ἐμὸν θλίβομαι εἰς αὐτόν, ἄρα σιωπήσω καὶ μὴ ἀναπαύσω τὴν καρδίαν μου ἢ εἴπω ὡς μετὰ ἀγάπης, καὶ μὴ μείνω ταρασσόμενος; Ἐὰν δὲ ἄλλους θλίβῃ τὸ πρᾶγμα, καὶ οὐκ ἐμέ, εἴπω διὰ τοὺς ἄλλους; εἰ μὴ τί δοκεῖ τοῦτο ἐργολάβημα;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν ἢ πρᾶγμα μὴ ἔχον ἁμαρτίαν, ἀλλὰ μέσον, καὶ λαλήσης διὰ τὸ ἀναπαύσαι τὴν καρδίαν σου, ἥττημα σοί ἐστι, ὅτι ἀπὸ ἀσθενείας οὐκ ἠδυνήθης βαστᾶσαι, ἀλλὰ μέμψαι σεαυτὸν καὶ σιώπα ἐὰν δὲ ἄλλους θλίβῃ, εἶπε τὸ ἀββᾶ σου, καὶ ἡ αὐτὸς λέγει αὐτῶ ἢ λέγει σοὶ τί δεῖ εἰπεῖν αὐτῶ, καὶ σὺ ἀμεριμνεῖς.

ζ' Εἶπεν ὁ ἀδελφός.

ΥΠΟΘΕΣΙΣ Ν΄ (Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Ἐὰν οὖν οὐ δι' ἑαυτόν, ἀλλὰ διὰ τὸ θλίβεσθαι ἄλλους θέλω εἰπεῖν τῷ ἀββᾷ, ὑπονοῶ δὲ ὅτι ταράσσεται ὁ ἀδελφός, τί ποιήσω; εἰ δὲ καγῶ σὺν ἐκείνοις ἐκ τοῦ πράγματος θλίβομαι, εἴπω διὰ τὴν ἀνάπαυσιν ἐκείνων ἢ σιωπήσω διὰ τὸ μὴ πληροφορῆσαι ἑαυτόν;

Ἀπεκρίθη ὁ γέρων.

Περὶ τῆς ταραχῆς τοῦ ἀδελφοῦ, ἐὰν εἴπῃς τὸ ἀββᾶ, σὺ πρᾶγμα οὐκ ἔχεις, ὅταν χρεία εἰπεῖν. Εἰ οὖν σὲ τὸ πρᾶγμα οὐ θλίβει, διὰ τοὺς ἄλλους εἶπε τῷ Ἀββᾷ εἰ δὲ καὶ σὺ ὁμοίως ἐκείνοις ἐν τούτῳ θλίβῃ, κὰν μέλῃ σου περὶ ἐκείγων, ἀλλὰ γὲ διὰ σεαυτὸν μόνον καὶ τὸ μὴ πληροφορῆσαι σου τὸ πάθος βίασαι μὴ εἰπεῖν.

η' Λέγει ὁ ἀδελφός.

Ἀλλ' ὁ λογισμὸς λέγει μοί, ὅτι ἐὰν ταραχθῆ ὁ ἀδελφός, ἐχθρός μου γίνεται, ἔχων ὅτι κατελάλησα αὐτοῦ πρὸς τὸν Ἀββᾶν.

Ἀπεκρίθη ὁ γέρων.

Οὗτος ὁ λογισμὸς πονηρός ἐστι θέλων ἐμποδίσει τὴ διορθώσει τοῦ ἀδελφοῦ, ὡς προεῖπόν σου" μὴ οὖν ἀκούσης αὐτοῦ, ἀλλὰ εἶπε, κατὰ Θεὸν μέντοι καὶ μὴ κατά καταλαλιὰν καὶ γὰρ κατὰ τῶν ἰατρῶν γογγύζουσιν οἱ θεραπευόμενοι ἄρρωστοι, ἀλλ' οἱ ἰατροὶ οὐ φροντίζουσί του πρὸς τὸ παρὸν γογγυσμοῦ, εἰδότες ὅτι ὕστερον εὐχαριστούσιν αὐτοῖς.

θ' Ἠρώτησεν ὁ ἀδελφός.

Ἐὰν βλέπω τὸν λογισμόν, ὅτι οὐ διὰ τὴν ὠφέλειαν θέλω εἰπεῖν, ἀλλὰ σκοπῶ τοῦ διαβαλεῖν τὸν ἀδελφόν, εἴπω ἢ σιωπήσω;

Ἀπεκρίθη ὁ γέρων.

Νουθέτησον τὸν λογισμὸς κατὰ Θεὸν εἰπεῖν καὶ μὴ κατὰ διαβολὴν ἐὰν δὲ γικᾶται τὴ καταλαλιά, καὶ οὕτως εἶπε ὁμολογῶν τῷ Ἀββᾷ τὴν σὴν καταλαλιάν, ἕνα ἀμφότεροι θεραπευθέντες, ὁ μὲν ἀπὸ τοῦ πταίσματος, σὺ δὲ ἀπὸ τῆς καταλαλιᾶς.

ι' Ἔφη ὁ ἀδελφός. .

Ἐὰν δὲ μὴ συγχωρῇ μοὶ ὁ λογισμὸς ὁμολογῆσαι τῷ Ἀββᾷ, ὅτι σκοπὸ τοῦ καταλαλῆσαι τοῦ ἀδελφοῦ λέγω, τί ποιήσω; εἴπω ἢ οὖ;

Ἀπεκρίθη ὁ γέρων.

Μηδὲν εἴπῃς αὐτὸ καὶ ὁ Κύριος φροντίζει" οὐ χρεία γὰρ σὲ μετὰ βλάβης ψυχῆς εἰπεῖν, καὶ ὁ Θεὸς ὡς θέλει φροντίζει τῆς διορθώσεως τοῦ ἀδελφοῦ.

ια' Ἠρώτησεν ἀδελφός.

Καὶ αὐτὸς δὲ δ σφαλεῖς ἀδελφός, περὶ οὐ ἐγὼ ἢ ἄλλος τὶς εἶπε τῷ 'Ἀββᾷ, πῶς ὀφείλει διακείσθαι πρὸς τὸν εἰπόντα περὶ αὐτοῦ του Ἀββᾶ;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν πιστὸς καὶ κατὰ Θεὸν ζῶν ἤ, εἰ καὶ κατ' ἔχθραν εἶπεν ὁ εἰπῶν περὶ αὐτοῦ, ἐκεῖνος μέντοι ὀφείλει λογίσασθαι, ὅτι θέλων ὁ ἀδελφὸς ὠφελῆσαι μὲ ταῦτα εἶπε, καὶ πληρούται εἰς αὐτὸν τὸ εἰρημένον· «ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ αὐτοῦ ἐκβάλλει τὰ ἀγαθὰ» καὶ ταῦτα ἐνθυμούμενος, πλεῖον ὀφείλει τὸν ἀδελφὸν ἀγαπᾷς καὶ εὐχαριστεῖν αὐτῷ. Ὁ οὖν οὕτως ἀναστρεφόμενος, ταχὺ προκόπτει κατὰ Θεόν.

ιβ' Ἠρώτησεν ὁ ἀδελφός.

Καὶ τοὺς ἀδελφοὺς δὲ τοὺς ὄντας μετ' ἐμοῦ ἐν τῇ διακονίᾳ τοῦ νοσοκομείου, ἐὰν σφαλῶσι, πῶς αὐτοὺς διορθώσωμαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν προτυπώσῃς τὸ θέλημα τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ σου, οὐ ταράττη, ἀλλ' ἔξιν ποιεῖς ὡς οἱ Πατέρες ἐὰν δὲ μὴ προσέχῃς καὶ συναρπαγῆς ὡς ἄνθρωπος, εἶπε τῷ Θεῷ μετανοῶν" συγχώρησον μοί, δέσποτα, καὶ ἐλέησον μὲ» καὶ εἶπε τοῖς μετά σου βλέπετε, ἀδελφοί, ὅτι ἐκ τούτων κατακρινόμεθα καὶ ἀπολλομεν τὰς ψυχᾶς ἡμῶν πρόσεχε δὲ μὴ κράζεις πάνυ ἐν τῷ λέγειν αὐτοῖς, ἀλλ' ἔκανως εἰς ἀκοὴν ὠτίου, καὶ ἐὰν συντριβῆς ἐν τούτοις, ἔρχεται ἡ κατὰ Θεὸν κατάστασις.

ιγ΄ Εἶπεν ὁ ἀδελφός.

Παρακαλῶ σε, Πάτερ, εἰπὲ μοὶ πῶς ὀφείλει εἶναι ὁ τρόπος τῆς διορθώσεως καὶ πότε δεῖ μωροποιεῖν, ἤγουν μωρῶν ἑαυτὸν ποιεῖν, καὶ παραβλέπειν τὸ γινόμενον καὶ ἐὰν ἡττηθῶ ἐν τῷ πράγματι, ἤτοι συναρπαγῶ καὶ ταραχθῶ, τί ὀφείλω ἐμαυτῶ δεσμὸς ὁρίσαι, τουτέστιν ἐπιτίμιον;

Ἀπεκρίθη ὁ γέρων.

Πρὸς τοὺς ἀνθρώπους ἀεὶ ποίει ἐὰν ἴδῃς ὅτι συνετός ἐστι καὶ δέχεται, ἤτοι καὶ κατά σου ἐν τὴ διακονία ὑπὸ σὲ ταχθεῖς ἀδελφός, λέξον αὐτῶ ἀδελφέ, ἐὰν ἀμελῶς ποιῶμεν τὸ ἔργον τοῦ Θεοῦ, ἀπώλεια ψυχῆς ἔστιν ἄρτι καλῶς ἐγένετο τοῦτο; σπούδασαν ἀπὸ τοῦ νῦν. Ἐὰν δὲ ἢ ἀσύνετος, εἶπε αὐτῶ' ὅτι πίστευσον, ἀδελφέ, χρείαν ἔχεις παιδευθῆναι οὕτως ἀμελεῖς; ἐὰν εἴπω τῷ Ἀββᾷ, ἤτοι τῷ προεστώτι, καλῶς σὲ παιδεύσει.

ΥΠΟΘΕΣΙΣ Ν΄ (Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Περὶ δὲ τοῦ μωροποιεῖν, πρὸς τὸ σφάλμα ποίει" εἰ μὲν ἢ μικρόν, μωροποίησον' εἰ δὲ μέγα, μηδαμῶς τοῦτο ποιήσῃς μὴ βάλῃς δὲ δεσμὸν κατά σου περὶ τῆς ἥττης, μηδὲ πάλιν καταφρονήσῃς, ὅταν ἔρχῃ εἰς αὐτήν, παρακάλεσον δὲ τὸν Θεὸν συγχωρῆσαι σοί, εἰ δὲ καταφρονήσεις, ἀμέλεια γίνεται.

ιδ' Ἔφη ὁ ἀδελφός.

Ἐὰν δὲ σφαλέντος τινὸς τῶν σὺν ἔμοι ἀδελφῶν, ἢ αὐτῶν τῶν ἀρρώστων, θέλων διορθώσασθαι αὐτόν, μετὰ ταραχῆς εἴπω τὸν λόγον, ἄρα ὀφείλω βαλεῖν αὐτῷ μετάνοιαν; Ἐὰν δὲ καὶ ὀργισθεῖς ἀπέλθῃ τοῦ νοσοκομείου τί ποιήσω; Καθόλου δὲ ἐπὶ ποίοις ἁμαρτήμασι δεῖ βάλλειν μετάνοιαν; ὅτι ἡ ὑπερηφανία καὶ τὸ δικαίωμα τὸν νοῦν σκοτίζουσι, καὶ οὐ συγχωρούσι μέμψασθαι ἑαυτόν, καὶ βαλεῖν τῷ ἀδελφῷ μετάνοιαν. Εἰ δὲ βάλῃ τὶς, ἢ κενοδοξία πάλιν ἀκολουθεῖ, φυσιούσα τὸν ποιήσαντα τὴν μετάνοιαν, ὡς καλὸν ἔργον ποιήσαντα.

Ἀπεκρίθη ὁ γέρων.

Μετὰ ταραχῆς μηδὲν λαλήσῃς: τὸ κακὸν γὰρ καλὸν οὐ γεννᾷ ἤγουν το ἀπὸ τεταραγμένης καρδίας λαλούμενον, οὐκ ἀναπαύει τὸν ἀκούοντα, οὐδὲ διορθούται αὐτόν, ἀλλὰ μακροθύμησον, ἕως οὐ παύσηται ὁ λογισμὸς τῆς ταραχῆς, καὶ τότε λάλησον εἰρηνικώς, κὰν μὲν πεισθῇ, ἰδοὺ καλῶς, εἰ δὲ μή, εἰπὲ αὐτῷ' εἰ θέλεις, λέγω τῷ 'Αββα, καὶ εἰ τί δοκιμάζει ποιοῦμεν καὶ οὕτως ἀναπαύῃ. Ἐὰν δὲ ὀργισθεῖς ἀπέλθῃ, εἶπε τῷ 'Ἀββᾷ, καὶ ἐπιτιμᾷ αὐτῷ μὴ βάλῃς δὲ αὐτῷ μετάνοιαν, ἐπεῖ παρέχεις αὐτῷ ὑποψίαν, ὅτι ἀληθῶς ἥμαρτες, οὕτω λαλήσας αὐτὸ καὶ πολεμεῖ σὲ πλέον.

Ἐπὶ δὲ τῶν λοιπῶν ἀδελφῶν, ἤτοι τῶν μὴ ὄντων ὑπὸ σὲ ἓν τὴ αὐτὴ διακονία, πρὸς καὶ βλέπεις τὴν ἁμαρτίαν, ποίει μετὰ σπουδῆς ἐὰν μὲν ἢ μέγα το σφάλμα καὶ ἐσφάλης, βάλε τῷ ἀδελφῷ μετάνοιαν ἐὰν δὲ μικρὸν ἔστιν, εἶπε πρὸς αὐτὸν στόματι καὶ τὴ μετανοῖα τῆς καρδίας συγχώρησον μοί, ἀδελφέ, σφόδρα δὲ φυλάττου τὴν ὑπερηφανίαν καὶ τὸ δικαίωμα, ἐπεῖ οὐκ ἐῶσι προκόψαι τὸν ἄνθρωπον. "Ἔστι δὲ καὶ ἀπὸ κενοδοξίας βαλεῖν μετάνοιαν καταφρονῶν οὖν τῶν τριῶν τούτων, βάλε ὅπου χρῆ μετὰ ταπεινώσεως καὶ φόβου Θεοῦ καὶ διακρίσεως εἰς ταῦτα ποίησον τὴν δύναμίν σου, καὶ ὁ Θεὸς βοηθεῖ σοί, εὐχαις τῶν αὐτοῦ "Ἁγίων Πατέρων, ὢ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ερμηνεία

ΕΝΑΣ αδελφός ήρώτησεν ένα Γέροντα:

Ο Αββάς μου έδωσεν εντολήν να του φανερώνω τα σφάλματα των αδελφών. Έκατάλαβα όμως ότι αυτό στενοχωρεί μερικούς αδελφούς. Τι να κάμω λοιπόν διά να

μη ζημιώνομαι; Ο μεν λογισμός μου δεν με κατακρίνει, διότι λαμβάνει υπ' όψιν τον σκοπόν, επειδή δεν τα λέγω εις τον 'Αββάν από πάθος φοβούμαι όμως μήπως αυτό το πράγμα με οδηγήση εις υπερβολήν και με ζημιώση.

Ο Γέρων του απήντησε:

Αν αυτό, που κάμνεις, το κάμνεις από καθαράν καρδίαν, διά ψυχικήν ωφέλειαν και διά την εκκοπήν των παθών, τότε να μη λάβης υπ' όψιν τα λόγια των ανθρώπων, αφού δεν ζημιώνεσαι· διότι το να φανερώσης εις τον 'Αββάν τα σφάλματα των αδελφών, χωρίς εμπάθειαν, είναι καλόν. Δεν έχουν όλοι την δυνατότητα να ομιλήσουν εις τον 'Αββάν ούτε και συμφέρει. Συ λοιπόν, αν όμιλής κατά Θεόν, ούτε ομιλείς ούτε ενεργείς από τον εαυτόν σου, αλλ' εις όλα είσαι όργανον του Θεού και το κατά Θεόν αγαθόν δεν γεννα ζηλοτυπίαν ή φθόνον και αν προς στιγμην εκδηλωθή εις την ψυχήν, γρήγορα εξαφανίζεται.

2. Ο αδελφός ήρώτησε πάλιν εκ νέου:

- Αν κάποιος άλλος είπη εις τον αδελφόν (δι' αυτό που γίνεται με τον Αββάν), πρέπει να τον πληροφορήση αυτόν τον αδελφόν, ότι , από αγάπης προς αυτόν και όχι από μίσος το είπεν, ή να σιωπήση;

Ο Γέρων απεκρίθη:

- Από κενοδοξίαν θέλει να τον πληροφορήση, διά να μη θεωρηθή κατάλαλος, αλλά να θεωρήται δίκαιος από τους ανθρώπους. Ας εξετάση λοιπόν προσεκτικά την καρδίαν του, διά να διαπιστώση αν ενήργησε κατά Θεόν και ανεφέρθη εις τον 'Αββάν, επειδή ήθέλησε να ωφελήση τον αδελφόν. Και αν πράγματι έτσι είναι, ας τα αφήση όλα εις τον Θεόν και Εκείνος, όπως γνωρίζει, θα πληροφορήση την καρδίαν του αδελφού. Αν πάλιν, του είπη αυτός ο αδελφός, ή ο ίδιος, ή δια μέσου άλλου, ότι έμαθεν εκείνα, που είπε δι' αυτόν εις τον Αββάν και λυπάται δι' αυτά, τότε έχει υποχρέωσιν να τον πληροφορήση μετά ταπεινώσεως. Ο Θεός γνωρίζει αδελφέ, - να του είπη – ότι ωμίλησα αυτά εις τον 'Αββάν, επειδή σε αγαπώ και θέλω την ωφέλειάν σου.

Διότι, - είπέ μου, τί είχα να ωφεληθώ από αυτά, αν τα έλεγα δι' άλλον σκοπόν; Δεν φοβούμαι νομίζεις την φοβεραν απόφασιν του Θεού ότι εκείνος που μισεί τον αδελφός του είναι ανθρωποκτόνος (Α΄ Ιωάν. γ΄, 15). Επειδή λοιπόν είχα υπ' όψιν μου Αυτόν, που λέγει προσπάθησε να σώσης τον αδελφόν σου, όπως τον εαυτόν σου

(Ματθ. ιθ', 19), εζήτησα να διορθώσω και εσένα, προς χάριν Αυτού που λέγει όταν ο αδελφός βοηθείται από τον αδελφόν είναι και οι δύο ωσαν πόλις οχυρά και περιτειχισμένη (Παροιμ. ιη', 19). Σε παρακαλώ, αν και συ ίδης κανένα πταίσμα μου και συ να με ελέγξης, διά να αισθανθώ έτσι έντροπην και να μετανοήσω διά το πταίσμα μου.

Αν πάλιν τα είπεν εις τον 'Αββάν όχι διότι θέλει να διορθώση τον αδελφόν, αλλά να τον κατηγορήση, έχει υποχρέωσιν να καταδικάση πρώτα τον εαυτόν του και να παρακαλέση τον Θεόν να τον συγχωρήση.

Έπειτα, αν γνωρίζη μετά βεβαιότητος, ότι το έκατάλαβεν ο αδελφός, οφείλει να υπάγη να τον συναντήση, να του βάλη μετάνοιαν με ταπείνωσιν και να του ομολογήση το σφάλμα του συγχώρεσέ με, αδελφέ – να τού είπη – διότι εξεγελάσθηκα από τους δαίμονας και σε κατηγόρησα. Παρακάλεσε δι' εμέ να με συγχωρήση ο Κύριος και να μου δώση καιρόν μετανοίας, διότι παρεσύρθην εις πλάνην. Δεν είναι δυνατόν να πληροφορήση τον αδελφόν με πλαστόν ψεύδος, αλλά πρέπει να τον πληροφορήση λέγων όλην την αλήθειαν.

Αν όμως δεν αντελήφθη τίποτε ο αδελφός, ας μη του είπη τίποτε, διά να μη του βάλη λογισμούς: έχει όμως υποχρέωσιν να μετανοήση ενώπιον του Θεού διά το σφάλμα του και να το εξομολογηθή εις τον Αββάν.

3. Ο ίδιος αδελφός ηρώτησε και πάλιν τον ίδιον Γέροντα:

- Αν ένας αδελφός με ερωτήση για κάποιον λόγον ή πράγμα και το γνωρίζω, είτε διότι το ήκουσα είτε διότι έχω πείραν δι' αυτό, να του απαντήσω ή όχι; "Αν, πάλιν, δεν ερωτηθώ, αντιληφθώ όμως ότι κάτι δεν γίνεται καλά, θα είναι άραγε σωστόν να υποδείξω, διά μίαν φοράν, εις αυτόν που το κάμνει, ότι δεν το κάμνει καλά ή όχι; .

Είς αυτό ο Γέρων απήντησε:

– Πρόσεξε να μη ομιλήσης από κενοδοξίαν, αλλά με ταπείνωσιν και φόβον Θεού. Και δι' όλα όσα με ήρώτησας, να είπης και να υπενθυμίσης τα δέοντα, αν παραστη ανάγκη, εις το Κοινόβιόν σου όμως και όχι άλλου· διότι οι Μοναχοί του Κοινοβίου είναι όπως ένα σώμα. Αν ευρεθής αλλού, τίποτε να μην είπης από ιδικήν σου πρωτοβουλίαν· αν ερωτηθής, απάντησε με ταπείνωσιν.

4. Ο αδελφός ήρώτησε πάλιν:

- Αν αντιληφθώ ότι η καρδία μου ευχαριστείται από κενοδοξίαν, καθώς όμιλώ, ή ότι τότε μεν δεν ευχαριστείται, καταλαβαίνω όμως, ότι πρόκειται ύστερα να δοκιμάσω ευχαρίστησιν, μήπως τότε θα πρέπει να σιωπήσω ή όχι;

Ο Γέρων απήντησε: .

-Το να είπη κανείς κάτι με ταπείνωσιν, σημαίνει ότι πρέπει να ομιλη όχι ως να διδάσκη, αλλ' ώς να λέγη αυτά που ήκουσεν από τον Αββάν ή τους Πατέρας. "Αν λοιπόν απ' αυτό το πράγμα έχη ωφέλειαν ο αδελφός και σε πολεμή η κενοδοξία με το να σου προτείνη ευχαρίστησιν, πρόσεχε τον εαυτόν σου, διότι (ο διάβολος) θέλει να εμποδίση την ωφέλειαν του αδελφούς και αν ακούσης αυτήν την συμβουλήν, ουδέποτε θα αφήση να ωφεληθή κανείς αδελφός. Να επιτιμήσης λοιπόν την κενοδοξίας και να την καταφρονήσης και μετά από αυτά που θα είπης εις τον αδελφόν, να μετανοήσης ενώπιον του Θεού· συγχώρεσέ με -να λέγηςΚύριε, διότι ελάλησα με κενοδοξίαν. Το ίδιον να κάμνης και όταν σου έρχεται ύστερα και λογισμός της κενοδοξίας.

5. Είπεν ο αδελφός:

-Πώς, Πάτερ, μου επέτρεψες, αν ίδω πράγμα παράλογον, να όμιλήσω και πριν ακόμη ερωτηθώ, ενώ οι Πατέρες συμβουλεύουν να μη απαντάς, αν δεν ερωτηθής;

Ο Γέρων απεκρίθη:

Αδελφέ, οι Γέροντες όμιλούν σύμφωνα με το μέτρον (δηλαδή την πνευματικήν ωριμότητα) του ανθρώπου. Υπάρχει λοιπόν καιρός, κατά τον οποίον αρμόζει εις τον αδελφόν το να υπηρετή άνθρωπον διά της υποταγής και υπακοής: όταν δηλαδή είναι νέος και ατελής και εις αυτόν τον καιρόν οφείλει να παρουσιάση έργα. Υπάρχει, αντιθέτως, και άλλος καιρός, όταν ο άνθρωπος αυτός φθάση εις την κατάστασιν να τον υπηρετούν, οπόταν και τα μέτρα της περιόδου αυτής είναι άλλα. Τα τέλεια εις τους τελείους λέγονται, ενώ τα άλλα εις εκείνους που ευρίσκονται ακόμη υπό Νόμον· διότι ακόμη ευρίσκονται υπό την καθοδήγησιν παιδαγωγού.

6. Ηρώτησεν ο αδελφός:

– Κάποιος κάμνει κάτι, που δεν έχει χαρακτήρα αμαρτίας: εγώ όμως, διά το θέλημά μου, στενοχωρούμαι με αυτόν. Αραγε, να σωπάσω και να μη ικανοποιήσω την καρδίαν μου, ή να ομιλήσω με αγάπην διά να μή έχω ψυχικήν ταραχήν; Αν αυτό το

πράγμα στενοχωρή άλλους και όχι εμένα, να ομιλήσω χάριν των άλλων; ή μήπως τούτο φανή τάχα ως τέχνασμα;

Ο Γέρων απήντησεν:

- Αν είναι πράγμα που δεν έχει αμαρτίαν, είναι δηλαδή ηθικά αδιάφορον, και ομιλήσης για να αναπαύσης την καρδίαν σου, αυτό αποτελεί δια σε ήταν, ότι από αδυναμίαν δεν ημπόρεσες να το κρατήσης: κατηγόρησε τον εαυτόν σου και σιώπησε. Αν πάλιν στενοχωρή άλλους, να το ειπής εις τον 'Αββάς σου και ή ο ίδιος του το λέγει, ή σού λέγει τι πρέπει να του είπης, και συ ησυχάζεις.

7. Ο αδελφός είπεν:

- Αν λοιπόν θέλω να είπω εις τον Αββάν κάτι, που δεν αφορά τον εαυτόν μου, αλλ' επειδή στενοχωρούνται άλλοι, καταλαβαίνω δε ότι ταράσσεται ο αδελφός (περί του οποίου θέλω να ομιλήσω) τι να κάμω; Αν πάλιν και εγώ, μαζί με εκείνους, θλίβομαι δι' αυτό το πράγμα, να το είπω (εις τον 'Αββάν) διά να αναπαύσω εκείνους, ή να σιωπήσω διά να μη προσφέρω ικανοποίησιν εις τον εαυτόν μου;

Ο Γέρων απεκρίθη:

- Αν είπης εις τον Αββάν διά την ταραχήν του αδελφού, όταν είναι ανάγκη, συ δεν έχεις ευθύνην. Αν λοιπόν δεν σε στενοχωρή η περίπτωσις, να το αναφέρης εις τον Αββάν διά να αναπαύσης τους άλλους. Αν δε και συ το ίδιος με εκείνους θλίβεσαι, έστω και αν ενδιαφέρεσαι δι' εκείνους, αλλ' όμως διά τον εαυτόν σου και μόνον, διά να μη ικανοποιήσης το πάθος σου, βίασε τον εαυτόν σου να μη το είπης.

8. Λέγει ο αδελφός:

Ο λογισμός μου μού λέγει, ότι αν ταραχθή ο αδελφός, γίνεται εχθρός μου, με την δικαιολογίαν ότι τον κατηγόρησα εις τον Αββάν.

Ο Γέρων απεκρίθη:

-Ο λογισμός αυτός είναι πονηρός, επειδή θέλει να εμποδίση την διόρθωσιν του αδελφού, όπως σου προείπα μην τον ακούσης λοιπόν, αλλά ομίλησε, κατά Θεόν όμως και όχι προς κατηγορίαν. Και κατά των ιατρών γογγύζουν οι άρρωστοι, κατά το διάστημα της θεραπείας των αλλ' οι ιατροί δεν ενδιαφέρονται διά τον τωρινον αυτόν γογγυσμόν, επειδή γνωρίζουν, ότι ύστερα από την θεραπείαν θα τους ευχαριστήσουν.

9. Ο αδελφός ήρώτησεν:

- Αν βλέπω ότι ο λογισμός θέλει να μιλήσω εις τον 'Αββάν όχι διά την ωφέλειαν του αδελφού, αλλά με σκοπόν να τον κατηγορήσω, να είπω ή να σιωπήσω;

Ο Γέρων απεκρίθη:

- Συμβούλευσε τον λογισμός σου να τα είπη κατά Θεόν και όχι προς κατηγορίαν· αλλά και αν ακόμη νικάται ο λογισμός σου από φιλοκατηγορίαν, συ να ομιλήσης εις τον 'Αββάν, εξομολογούμενος και την ιδικήν σου αδυναμίαν, δια να θεραπευθήτε και οι δύο: ο αδελφός από το πταίσμα και συ από την φιλοκατηγορίαν.

10. Είπεν ο αδελφός:

- Αν δεν με αφήνη ο λογισμός να ομολογήσω εις τον 'Αββάν, ότι τα λέγω με σκοπόν να κατηγορήσω τον αδελφόν, τι να κάνω; να τα είπω ή όχι;

Ο Γέρων απήντησε:

-Τίποτε να μή του είπης και θα φροντίση ο Κύριος διότι δεν είναι ανάγκη να είπης με βλάβης της ψυχής σου και ο Θεός, όπως Εκείγος θέλει, θα φροντίση δια την διόρθωσιν του αδελφού.

11. Ο αδελφός ήρώτησε:

– Και ο ίδιος ο αδελφός που έσφαλλε, διά τον οποίον εγώ ή κάποιος άλλος είπεν εις τον Αββάν, ποίαν διάθεσιν πρέπει να έχη απέναντι εκείνου που ωμίλησεν εις τον Αββάν δι' αυτόν;

Ο Γέρων απεκρίθη:

-Εάν είναι πιστός και ζη κατά Θεόν, τότε και αν ακόμα από έχθραν είπεν εκείνος που ανέφερε δι' αυτόν εις τον 'Αββάν, αυτός οφείλει να σκεφθή ότι ο αδελφός ήθελε να με ωφελήση με αυτά, που είπε: έτσι εφαρμόζεται εις αυτήν την περίπτωσιν το λεγόμενον: «ο καλός άνθρωπος από τον θησαυρός της καλής του καρδιάς εξάγει καλά». Και όταν σκεφθή αυτά, οφείλει να αγαπά περισσότερον τον αδελφόν και να τον ευχαριστή. Εκείνος λοιπόν που συμπεριφέρεται έτσι, γρήγορα θα προκόψη κατά Θεόν.

12. Ήρώτησεν ο αδελφός :

ΥΠΟΘΕΣΙΣ Ν΄ (Οι αδελφοί να μενουν μαζί να αλληλοδιορθώνονται)

Αν σφάλλουν οι αδελφοί που είναι μαζί μου εις την υπηρεσίας του νοσοκομείου, πώς πρέπει να τους διορθώσω;

Ο Γέρων απεκρίθη:

- Αν χαράξης βαθειά μέσα εις την καρδίαν σου το θέλημα του Θεού, δεν ταράσσεσαι, αλλά κάμνεις το καθήκον σου, όπως οι Πατέρες.

Αν δεν προσέξης και παρασυρθής ως άνθρωπος, εξομολογήσου με μετάνοιαν εις τον Θεόν: «συγχώρεσέ με, Δέσποτα, και ελέησέ με». Και εις αυτούς που είναι μαζί σου να ειπής: προσέχετε, αδελφοί μου, διότι απ' αυτά καταδικαζόμεθα και χάνομεν τας ψυχάς μας. Πρόσεχε να μη φωνάζης δυνατά, όταν τους ομιλής, αλλά πολύ σιγά, ώσαν να ομιλής εις το αυτί του καθενός ξεχωριστά. Αν με αυτά άλλοιωθή η καρδία σου, έρχεται κατόπιν ή κατά Θεόν κατάστασις.

13. Ο αδελφός είπε:

– Πάτερ, σε παρακαλώ, ειπέ μου πώς πρέπει να γίνεται η διόρθωσις και πότε πρέπει να προσποιούμαι τον αδιάφορον, να κάνω δηλαδή τον κουτόν και να παραβλέπω αυτό πού έγινε και αν νικηθώ από αυτό το πράγμα, και παρασυρθώ και ταραχθώ, ποίον δεσμόν οφείλω να ορίσω εις τον εαυτόν μου, δηλαδή ποίον επιτίμιον να επιβάλω;

Ο Γέρων απήντησεν:

-Αναλόγως με τους ανθρώπους να ενεργής πάντοτε αν ιδης ότι είναι συνετός ο αδελφός που ευρίσκεται υπό την εξουσίαν σου και ταραχθη εναντίον σου καθώς κάμνει την υπηρεσίας του, είπε τους αδελφέ, αν κάμνωμεν με αμέλειαν το έργον του Θεού, θα χάσωμεν την ψυχήν μας: αυτήν λοιπόν την στιγμήν έγινεν η εργασία όπως έπρεπε; Φρόντισε από τώρα και εις το εξής να γίνεται καλά. Αν όμως δεν είναι φρόνιμος αλλά απρόσεκτος να του είπης: σε διαβεβαιώ, αδελφέ, ότι είναι ανάγκη να τιμωρηθής: έτσι παραμελείς το διακόνημά σου; Εάν το είπω εις τον Αββάν, δηλαδή εις τον Ηγούμενον, θα σε τιμωρήση δικαίως.

Όσον αφορά το να προσποιήσαι τον αδιάφορον, να το κάμης ανάλογα με το σφάλμα: αν είναι μικρόν, κάμνε τον κουτόν, ότι δεν κατάλαβες: όχι όμως όταν είναι μεγάλο το σφάλμα. Μη βάλης εις τον εαυτόν σου κανένα περιορισμόν διά την τυχόν αποτυχίαν σου, αλλά ούτε πάλιν και να αδιαφορήσης: όταν ηττηθής, παρακάλεσε τον Θεόν να σε συγχωρήση: αν αδιαφορήσης, τότε υποπίπτεις εις αμέλειαν.

14. Είπεν ο αδελφός:

- Αν σφάλη κάποιος από τους αδελφούς που είναι μαζί μου ή από τους ίδιους τους αρρώστους, όταν θέλω να τον διορθώσω, να του όμιλήσω αυστηρά, ή πρέπει να του βάλω μετάνοιαν; Αν δε οργισθη και φύγη από το νοσοκομείον, τι να κάνω; Γενικά διά ποία αμαρτήματα πρέπει να βάζω μετάνοιαν; Διότι η υπερηφάνεια και η εξουσία σκοτίζουν τον νούν και δεν αφήνουν κανένα να αυτοκατηγορηθή και να βάλη είς τον αδελφόν μετάνοιαν. Αν πάλιν βάλη κανείς μετάνοιαν, έρχεται αμέσως η κενοδοξία και φουσκώνει από υπερηφάνειαν αυτόν που έβαλε μετάνοιαν, ότι τάχα έκαμε καλόν έργον.

Ο Γέρων απήντησεν:

- Όταν είσαι ταραγμένος να μην είπης τίποτε διότι το κακόν δεν γεννά καλόν εκείνο, δηλαδή, που λέγεται με ταραγμένην καρδίαν δεν αναπαύει αυτόν που το ακούει, ούτε τον διορθώνει. Να μακροθυμήσης λοιπόν έως ότου ηρεμήση ο λογισμός σου και τότε να ομιλήσης ειρηνικά: και αν μέν ο αδελφός πεισθή, έχει καλώς αν πάλιν δεν πεισθή, ειπέ του: αν θέλης, το λέγω εις τον Αββάν, και ας κάμωμεν αυτό που θα κρίνη σωστόν και έτσι ησυχάζεις. Αν όμως φύγη ώργισμένος, να το είπης εις τον 'Αββάν και εκείνος θα του επιβάλη τιμωρίαν. Εις την περίπτωσιν αυτήν να μη του βάλης μετάνοιαν, διότι του γεννάς υποψίαν ότι έσφαλες πραγματικά με το να τού όμιλήσης έτσι και θα σε πολεμή περισσότερον.

Διά δε τους υπολοίπους αδελφούς, που δεν είναι υπό την επίβλεψίν σου εις την ιδίαν υπηρεσίας, όπου βλέπεις σφάλμα, κάμνε γρήγορα αυτό που πρέπει. "Αν είναι μεγάλο το σφάλμα σου, βάλε μετάνοιαν εις τον αδελφόν αν πάλιν είναι μικρόν, να του είπης με το στόμα: συγχώρησέ με, αδελφέ, και νοερά, με την καρδίαν σου, βάλε του μετάνοιαν. Να προφυλάσσεσαι πάρα πολύ από την υπερηφάνειας και το δικαίωμα της εξουσίας, διότι αυτά τα δύο δεν αφήνουν τον άνθρωπον να προκόψη: ακόμη και από κενοδοξίαν ήμπορεί κανείς να βάλη μετάνοιαν. Αφού λοιπόν αδιαφορήσης δι' αυτάς τας τρεις περιπτώσεις, την υπερηφάνειαν, το δικαίωμα της εξουσίας και την κενοδοξίαν, βάλε όπου πρέπει μετάνοιαν με ταπείνωσιν, με φόβον Θεού και με διάκρισιν. Κάμνε ό,τι ήμπορείς και θα σε βοηθή ο Θεός, με τας ευχάς των Αγίων Του Πατέρων. Εις Αυτόν πρέπει κάθε δόξα, τιμή και προσκύνησις και τώρα και πάντοτε. Αμήν.